This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.


+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

NYPL RESEARCH LIBRARIES
3 3433 07437104 2



1795
NSPL

ΠΛΟΥΤΑΡΧΟΥ

ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ.

ΠΛΟΥΤΑΡΧΟΥ
ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ
ΤΑ ΗΘΙΚΑ.

PLUTARCHI
CHÆRONENSIS
MORALIA,
ID EST
OPERA, EXCEPTIS VITIS, RELIQUA.

GRÆCA EMENDAVIT,
NOTATIONEM EMENDATIONUM, ET LATINAM XYLANDRI INTERPRETATIONEM CASTIGATAM, SUBJUNXIT,
ANIMADVERSIONES EXPLICANDIS REBUS AC VERBIS, ITEM INDICES COPIOSOS, ADJECIT,

DANIEL WYTTENBACH,
HIST. ELOQ. LITT. GR. ET LAT.
IN ILLUSTRI ATHEN. AMSTELOD. PROFESSOR.

TOMUS II.

ASTOR LIBRARY
NEW-YORK.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
M DCC XCVI.

Hoc Volumine II, continentur,

PLUTARCHI MORALIA,

GRÆCE ET LATINE,

INTERJECTA EMENDATIONUM NOTATIONE.

		PAG.
XIX.	ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ. *Mulierum Virtutes.*	1
XX.	ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ. ῬΩΜΑΙΚΑ. *Capitulorum Deſcriptio. Quæſtiones Romanæ.*	77
XXI.	ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ. ἙΛΛΗΝΙΚΑ. *Capitulorum Deſcriptio. Quæſtiones Græcæ.*	193
XXII.	ΠΕΡΙ ΠΑΡΑΛΛΗΛΩΝ ἙΛΛΗΝΙΚΩΝ ΚΑΙ ῬΩΜΑΙΚΩΝ. *Parallela Græca et Romana.*	249
XXIII.	ΠΕΡΙ ΤΗΣ ῬΩΜΑΙΩΝ ΤΥΧΗΣ. *De Fortuna Romanorum.*	295
XXIV.	ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ. ΛΟΓΟΣ Α'. *De Alexandri Magni Fortuna aut Virtute. Oratio I.*	337
XXV.	ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ. ΛΟΓΟΣ Β'. *De Alexandri Magni Fortuna aut Virtute. Oratio II.*	365
XXVI.	ΠΟΤΕΡΟΝ ΑΘΗΝΑΙΟΙ ΚΑΤΑ ΠΟΛΕΜΟΝ Η ΚΑΤΑ ΣΟΦΙΑΝ ΕΝΔΟΞΟΤΕΡΟΙ. *Bello ne an Pace clariores fuerint Athenienſes.*	413

		PAG.
XXVII.	ΠΕΡΙ ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ. *De Iſide et Oſiride.*	439
XXVIII.	ΠΕΡΙ ΤΟΥ ΕΙ ΕΝ ΔΕΛΦΟΙΣ. *De EI Delphico.*	573
XXIX.	ΠΕΡΙ ΤΟΥ ΜΗ ΧΡΑΝ ΕΜΜΕΤΡΑ ΝΥΝ ΤΗΝ ΠΥΘΙΑΝ. *Cur Pythia nunc non reddat Oracula carmine.*	615
XXX.	ΠΕΡΙ ΤΩΝ ΕΚΛΕΛΟΙΠΟΤΩΝ ΧΡΗΣΤΗΡΙΩΝ. *De defectu Oraculorum.*	677
XXXI.	ΟΤΙ ΔΙΔΑΚΤΟΝ Η ΑΡΕΤΗ. *Virtutem doceri poſſe.*	791
XXXII.	ΠΕΡΙ ΤΗΣ ΗΘΙΚΗΣ ΑΡΕΤΗΣ. *De Virtute Morali.*	799
XXXIII.	ΠΕΡΙ ΑΟΡΓΗΣΙΑΣ. *De cohibenda Ira.*	847
XXXIV.	ΠΕΡΙ ΕΥΘΥΜΙΑΣ. *De Tranquillitate Animi.*	895
XXXV.	ΠΕΡΙ ΦΙΛΑΔΕΛΦΙΑΣ. *De Fraterno Amore.*	947
XXXVI.	ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΕΚΓΟΝΑ ΦΙΛΟΣΤΟΡΓΙΑΣ. *De Amore Prolis.*	1003

E # ΠΛΟΥΤΑΡΧΟΥ

ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ.

PLUTARCHI

MULIERUM VIRTUTES.

ΠΕΡΙ ἀρετῆς, ὦ Κλέα, γυναικῶν, οὐ τὴν αὐτὴν τῷ Θουκυδίδῃ γνώμην ἔχομεν· ὁ μὲν γὰρ, ἧς ἂν ἐλάχιστος ᾖ παρὰ τοῖς ἐκτὸς ψόγου πέρι ἢ ἐπαίνου λόγος, ἀρίστην ἀποφαίνεται· καθάπερ τὸ σῶμα, καὶ τοὔνομα τῆς ἀγαθῆς γυναικὸς οἰόμενος δεῖν κατάκλειστον εἶναι καὶ ἀνέξοδον. Ἡμῖν δὲ κομψότερος μὲν ὁ Γοργίας φαίνεται, κε-
F λεύων μὴ τὸ εἶδος ἀλλὰ τὴν δόξαν εἶναι πολλοῖς γνώρι-

ALIA eſt, O Clea, de mulierum virtute mea quam Thucydidis ſententia. Is enim ei primam laudem tribuit fœminæ, *de qua foris minimus eſt vel in bonam vel in malam partem ſermo:* cenſens nimirum ut corpus, ita famam quoque bonæ mulieris domi incluſam eſſe, neque in publicum exire debere. Mihi autem elegantior videtur Gorgiæ opinio, qui *mulieris non formam, ſed famam vult multis*

μον τῆς γυναικός. Ἄριστα δὲ ὁ Ῥωμαίων δοκεῖ νόμος ἔχειν, ὥσπερ ἀνδράσι, καὶ γυναιξὶ δημοσίᾳ μετὰ τὴν τελευτὴν τοὺς προσήκοντας ἀποδιδοὺς ἐπαίνους. Διὸ καὶ Λεοντίδος τῆς ἀρίστης ἀποθανούσης, εὐθύς τε μετὰ σοῦ τότε πολὺν λόγον εἴχομεν, οὐκ ἀμοιροῦντα παραμυθίας φιλοσόφου· καὶ νῦν, ὡς ἐβουλήθης, τὰ ὑπόλοιπα τῶν λεγομένων εἰς τὸ μίαν εἶναι καὶ τὴν αὐτὴν ἀνδρός τε καὶ γυναικὸς ἀρετὴν, προσανέγραψά σοι, τὸ ἱστορικὸν ἀπο- 24
δεικτικὸν ἔχοντα, καὶ πρὸς ἡδονὴν μὲν ἀκοῆς οὐ συντεταγμένον· εἰ δὲ τῷ πείθοντι καὶ τὸ τέρπον ἔνεστι φύσει τοῦ παραδείγματος, οὐ φεύγει χάριν ἀποδείξεως συνεργὸν ὁ λόγος, οὐδ᾽ αἰσχύνεται ταῖς μούσαις τὰς χάριτας συγκαταμιγνὺς καλλίστην συζυγίαν, ὡς Εὐριπίδης φησὶν, ἐκ τοῦ φιλοκάλου μάλιστα τῆς ψυχῆς ἀναδούμενος τὴν πίστιν. Φέρε γὰρ εἰ λέγοντες τὴν αὐτὴν εἶναι ζωγραφίαν ἀνδρῶν καὶ γυναικῶν, παρειχόμεθα τοιαύτας γραφὰς γυ-

A. 2. συντεταγμένον] Sumpſi a T. Vulgo συντεταγμένην.

eſſe notam. Et Romanam legem maxime probo, quæ mulieres itidem ut viros poſt mortem publice laudari pro dignitate jubet. Itaque optima Leontide vita defuncta, cum ſtatim tunc mihi tecum colloquium fuit non expers philoſophicæ conſolationis: tum in præſentia quidquid reſtabat eorum, quæ ad docendum eandem eſſe viri ac mulieris virtutem, differuntur, hiſtorica demonſtratione tibi conſcripſi: non eſt illa comparata ad voluptatem auditione parandam: ſed tamen, ſi exemplorum hæc eſt natura ut perſuadendo ſimul oblectent, oratio non abhorrebit a venuſtate demonſtrationem adjuvante, neque verebitur *Muſis admiſcere Gratias, pulcherrimo*, ut ait Euripides, *conjugio*, maxime cum ab ea parte animi, quæ honeſtati ſtudet, fidem ſibi conciliet. Agedum enim, ſi dicentes eandem eſſe virorum ac mulierum artem pingendi, tales a mulieribus elaboratas proferremus picturas, quales A-

ναικῶν οἵας Ἀπελλῆς ἀπολέλοιπεν, ἢ Ζεῦξις, ἢ Νικόμα-
B χος, ἆρ' ἄν τις ἐπετίμησεν ἡμῖν ὡς τοῦ χαρίζεσθαι καὶ ψυχαγωγεῖν μᾶλλον ἢ τοῦ πείθειν στοχαζομένοις; ἐγὼ μὲν οὐκ οἶμαι. Τί δέ; ἐὰν ποιητικὴν πάλιν ἢ μιμητικὴν ἀποφαίνοντες, οὐχ ἑτέραν μὲν ἀνδρῶν, ἑτέραν δὲ γυναικῶν οὖσαν, ἀλλὰ τὴν αὐτὴν τὰ Σαπφοῦς μέλη τοῖς Ἀνακρέοντος, ἢ τὰ Σιβύλλης λόγια τοῖς Βάκιδος ἀντιπαραβάλλοιμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα καὶ τερπόμενον ἐπάγει τῇ πίστει τὸν ἀκροατήν; οὐδὲ τοῦτο ἂν εἴποις. Καὶ μὴν οὐκ ἔστιν ἀρετῆς γυναικείας καὶ ἀνδρείας ὁμοιότητα καὶ διαφορὰν ἄλλο-
C θεν καταμαθεῖν μᾶλλον, ἢ βίους βίοις, καὶ πράξεσι πράξεις, ὥσπερ ἔργα μεγάλης τέχνης παραθέντας, ἅμα, καὶ σκοποῦντας εἰ τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ τύπον ἡ Σεμιράμεως μεγαλοπραγμοσύνη τῇ Σεσώστριος, ἢ Τανακυλλίδος σύνεσις τῇ Σερουΐου τοῦ βασιλέως, ἢ τὸ Πορκίας φρόνημα τῷ Βρούτου, καὶ τὸ Πελοπίδου

B. 5. αὐτὴν] Sumpſi a Cod. Xyl. et Mez. Vulgo ἐπὶ τὴν manifeſto errore.

pelles, Zeuxis, aut Nicomachus. reliquerunt, eſſetne qui nos reprehenderet, ac gratificandi et delectandi majorem nos, quam fidem faciendi rationem habuiſſe diceret? non ſane opinor. Rurſum ſi poeticam imitandive artem eandem eſſe mulierum et virorum affirmantes, Sapphus carmina cum Anacreonteis, aut Sibyllæ cum Bacidis oracula compararemus, juſtene aliquis culpare demonſtrationem poſſet, quod gaudentem ea et voluptate affectum auditorem ad fidem propoſito habendam adduceret? non profecto. Atqui ſimilitudinem ac diſcrimen mulieris atque virilis virtutis aliunde rectius diſcere non poſſis, quam ſi vitas vitis, et actiones actionibus tanquam magnæ artis opera componens, conſideres eandemne habeant formam atque effigiem Semiramidis et Seſoſtris magnificentia, Tanaquilidis et Servii regis calliditas, Porciæ magnanimitas et Bruti, Ti-

τοῦ Τιμοκλείας, κατὰ τὴν κυριωτάτην ὁμοιότητα καὶ
δύναμιν. Ἐπειδὴ διαφοράς γε τινὰς ἑτέρας, ὥσπερ
χροιὰς ἰδίας, αἱ ἀρεταὶ διὰ τὰς φύσεις λαμβάνουσι, καὶ
συνεξομοιοῦνται τοῖς ὑποκειμένοις ἤθεσι καὶ κράσεσι
σωμάτων καὶ τροφαῖς καὶ διαίταις· ἄλλως γὰρ ἀνδρεῖος
ὁ Ἀχιλλεὺς, ἄλλως ὁ Αἴας, καὶ φρόνησις Ὀδυσσέως οὐχ
ὁμοία τῇ Νέστορος, οὐδὲ δίκαιος ὡσαύτως Κάτων καὶ D
Ἀγησίλαος, οὐδὲ Εἰρήνη φίλανδρος ὡς Ἄλκηστις, οὐδὲ
Κορνηλία μεγαλόφρων ὡς Ὀλυμπιάς. Ἀλλὰ μὴ παρὰ
τοῦτο πολλὰς καὶ διαφόρους ποιῶμεν ἀνδρίας καὶ φρο-
νήσεις καὶ δικαιοσύνας, ἂν μόνου τοῦ λόγου τοῦ οἰκείου μηδε-
μίαν αἱ καθ' ἕκαστον ἀνομοιότητες ἐκβιάζωσι. Τὰ μὲν
οὖν ἄγαν περιβόντα, καὶ ὅσων οἶμαί σε βεβαίοις βιβ-
λίοις ἐντυχοῦσαν ἱστορίαν ἔχειν καὶ γνῶσιν, ἤδη παρήσω·

C. 8. Ἐπειδὴ] Rectius Ἐπεὶ *Cæterum, Quamquam*: vel Ἐπεὶ δὲ *Quandoquidem vero.* Concluſio ſententiæ eſt in ἀλλὰ μὴ παρὰ τοῦτο &c. Media habent locum parentheſis. Paulo ante pro καινότητα recepi ὁμοιότητα ex T. P. Poterat et κοινότητα corrigi ut Mez. fecit: ſed illud recipere malui quia auctoritatem certiorem habet.

D. 6. ἐκβιάζωσι] Corrigendum ἐκβιβάζωσι. Paulo ante μόνον malim pro μόνου.

D. 7. βεβαίοις] Delendum ut errore librarii ortum ex βιβλίοις.

mocleæ et Pelopidæ, ſi ad vim iſtarum virtutum præcipuam reſpiciatur. Alias enim quaſdam differentias virtus, tanquam colores quoſdam peculiares accipit ob diverſitatem naturæ, adſimilaturque moribus, temperiei corporis, cibo et vivendi rationi ejus cui ineſt. Aliter enim fortis fuit Achilles, aliter Ajax: neque prudentiæ Neſtoris ſimilis fuit Ulyſſis prudentia: neque eodem modo juſti fuerunt Cato et Ageſilaus: aliter maritum dilexit Eirene quam Alceſtis: diverſa fuit ratio magnanimitatis Corneliæ et Olympiadis. Neque tamen eo adducimur, ut multas et diverſas conſtituamus fortitudines, prudentias, et juſtitias: dum modo diverſitates ſingulorum nullam virtutem ſua definitione excludant. Proinde exempla nimis trita, et quæ tibi, quippe verſatæ in frequenti librorum lectione, cognita eſſe

πλὴν εἰ μή τινα τοὺς τὰ κοινὰ καὶ δεδημευμένα περὶ ἡμῶν ἱστορήσαντας, ἀκοῆς ἄξια διαπέφευγεν· ἐπεὶ δὲ
E πολλὰ καὶ κοινῇ καὶ ἰδίᾳ γυναιξὶν ἄξια λόγου πέπρακται, βραχέα τῶν κοινῶν οὐ χεῖρόν ἐστι προσιστορῆσαι.

α'. ΤΡΩΑΔΕΣ.

Τῶν ἀπ' Ἰλίου περὶ τὴν ἅλωσιν ἐκφυγόντων οἱ πλεῖστοι χειμῶνι χρησάμενοι, καὶ δι' ἀπειρίαν τοῦ πλοῦ καὶ ἄγνοιαν τῆς θαλάττης, ἀπενεχθέντες εἰς τὴν Ἰταλίαν, καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὅρμοις καὶ ναυλόχοις ἀναγκαίοις μόλις ὑποδραμόντες, αὐτοὶ μὲν ἐπλανῶντο περὶ τὴν χώραν, φραστήρων δεόμενοι· ταῖς δὲ γυναιξὶν
F ἐμπίπτει λογισμὸς, ὡς ἡτισοῦν ἵδρυσις ἐν γῇ πάσῃ πλάνῃ καὶ ναυτιλίᾳ εὖ τε καὶ καλῶς πράττουσιν ἀνθρώποις ἀμείνων ἐστὶ, καὶ πατρίδα δὲ ποιεῖν αὐτοὺς, ἀπολαβεῖν ἣν ἀπολωλέκασι μὴ δυναμένους· ἐκ δὲ τούτου

F. 1. ἐν γῇ πάσῃ πλάνῃ—δὲ ποιεῖν αὐτοὺς] Locus male habitus a librariis. Primum corrigendum ἐν γῇ πάσης πλάνης καὶ ναυτιλίας, pro vulgato ἐν τῇ π. π. κ. ν: mox pro δὲ legendum δεῖ: quorum utrumque monuit Xyl. prius etiam in codice ſcripto invenit. Verſionem ejus correxi.

puto, in præſentia omittam, niſi ſi qua digna memoratu fugerunt eos qui ante nos vulgaria et publice nota in litteras retulerunt. Quando autem mulieres multa præclara facinora cum publice tum privatim ediderunt, pauca quædam de publicis referre operæ pretium videtur.

I. Trojanæ.

Qui ab Ilio, cum id everteretur, profugerunt, eorum plerique tempeſtatis vi, et ob imperitiam navigandi, mariſque ignorationem, ad Italiam ſunt delati: et ad Tiberim fluvium ægre portubus ac ſtationibus neceſſariis ſubvecti, pervagati ſunt regionem, quærentes qui ipſis locorum iſtorum conditiones enarrarent. Interim mulieribus cogitatio incidit, qualemcunque ſedem quavis in terra potiorem eſſe quavis quamvis felicium hominum navigatione: patriamque eam eſſe faciendam, cum amiſſa recuperari non poſſit. Proinde

συμφρονήσασαι κατέφλεξαν τὰ πλοῖα, μιᾶς καταρξα-
μένης, ὥς φασι, Ῥώμης· πράξασαι δὲ ταῦτα, τοῖς
ἀνδράσιν ἀπήντων βοηθοῦσι πρὸς τὴν θάλασσαν, καὶ
φοβούμεναι τὴν ὀργήν, αἱ μὲν ἀνδρῶν, αἱ δὲ οἰκείων,
ἀντιλαμβανόμεναι καὶ καταφιλοῦσαι λιπαρῶς, ἐξεπράϋναν 244
τῷ τρόπῳ τῆς φιλοφροσύνης. Διὸ καὶ γέγονε καὶ πα-
ραμένει ταῖς Ῥωμαίων γυναιξὶν ἔτι νῦν ἔθος ἀσπάζεσθαι
μετὰ τοῦ καταφιλεῖν τοὺς κατὰ γένος προσήκοντας αὐταῖς.
Συνιδόντες γάρ, ὡς ἔοικε, τὴν ἀνάγκην οἱ Τρῶες, καὶ
ἅμα πειρώμενοι τῶν ἐγχωρίων εὐμενῶς καὶ φιλανθρώπως
προσδεχομένων, ἠγάπησαν τὸ πραχθὲν ὑπὸ τῶν γυ-
ναικῶν, καὶ συγκατῴκησαν αὐτόθι τοῖς Λατίνοις.

β΄. ΦΩΚΙΔΕΣ.

Τὸ δὲ τῶν Φωκίδων ἔνδοξον μὲν οὐ τετύχηκε συγ-
γραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἔλαττον εἰς ἀρετήν B
ἐστι μαρτυρούμενον ἱεροῖς τε μεγάλοις ἃ δρῶσι Φωκεῖς
ἔτι νῦν περὶ Ὑάμπολιν, καὶ δόγμασι παλαιοῖς, ὧν τὸ
μὲν καθ' ἕκαστον τῆς πράξεως ἐν τῷ Δαϊφάντου βίῳ

conſpiratione facta, naves cremaverunt, duce facinoris Roma, ut aiunt. Hoc facto, maritis opitulatum navibus ad mare contendentibus occurrerunt, metuenteſque iram eorum, aliæ maritos, aliæ neceſſarios amplexæ, blandeque deoſculatæ ſunt, eaque ſuavitate animos eorum deliniverunt. Inde mos ortus eſt etiamnum durans, ut Romanæ fœminæ cognatos oſculo ſalutent. Nam neceſſitatem nimirum cernentes Trojani, ſimulque humanos et benignos experti incolas eorum locorum, factum mulierum probaverunt, ibique cum Latinis habitaverunt.

II. Phocides.

Phocidum facinus a nullo nobili ſcriptore commemoratur, ſed virtutis laude nulli muliebri facto cedit. Teſtimonium ei ferunt magna ſacrificia quæ Phocenſes hodieque ad Hyampolin peragunt, ac vetuſta decreta. Singulas hiſtoriæ totius partes ego in

ἐγκατέλιπε· τὸ δὲ τῶν γυναικῶν τοιοῦτόν ἐστιν. Ἄσπονδος
ἦν Θετταλοῖς πρὸς Φωκέας πόλεμος. Οἱ μὲν γὰρ ἄρ-
χοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσιν
ἡμέρᾳ μιᾷ πάντας ἀπέκτειναν· οἱ δὲ πεντήκοντα καὶ
διακοσίους ἐκείνων ὁμήρους κατηλόησαν, εἶτα πανστρατιᾷ
διὰ Λοκρῶν ἐνέβαλον, δόγμα θέμενοι μηδενὸς φείδεσθαι
τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασ-
C θαι. Δαΐφαντος οὖν ὁ Βαθυλλίου, τρίτος αὐτὸς ἄρχων,
ἔπεισε τοὺς Φωκεῖς μὲν, αὐτοὺς ἀπαντήσαντας, τοῖς
Θετταλοῖς μάχεσθαι, τὰς δὲ γυναῖκας ἅμα τοῖς τέκ-
νοις εἰς ἕνα που τόπον συναγαγόντας ἐξ ἁπάσης τῆς
Φωκίδος, ὕλην τε περινῆσαι ξύλων καὶ φυλακὰς κατα-
λιπεῖν, πρόσταγμα δόντας, ἂν αἴσθωνται νικωμένους αὐ-
τοὺς, κατὰ τάχος τὴν ὕλην ἀνάψαι καὶ καταπρῆσαι τὰ
σώματα. Ψηφιζομένων δὲ ταῦτα τῶν ἄλλων, εἷς ἐξ-
αναστὰς ἔφη, Δίκαιον εἶναι ταῦτα συνδοκεῖν καὶ ταῖς γυ-
ναιξίν· εἰ δὲ μὴ, χαίρειν ἐᾶν, καὶ μὴ προσβιάζεσθαι.

vita Daiphanti perſcripſi. Phocidum res ita geſta eſt. Implacabile bellum erat ortum inter Theſſalos et Phocenſes. Hi enim principes ipſorum et tyrannos in Phocicis urbibus una die univerſos necaverant: illi autem ducentos et quinquaginta Phocenſium obſides trucidaverant, omnibuſque cum copiis per Locros in Phocidem irrumpebant, decretoque facto jubebant nulli adulto parcere, pueros et mulieres captivos abducere. Ibi Daiphantus Bathyllii filius qui cum duobus collegis Phocenſium reipublicæ præerat, ſuis perſuaſit, ut ad pugnam conſerendam Theſſalis obviam irent: mulieres autem cum liberis unum in locum ex univerſa Phocide conducerent, eumque congeſtis lignis cingerent, ac cuſtodes adderent, mandato ut ſi ſuos victos ſentirent, confeſtim materiam accenderent, ac corpora comburerent. Hæc cum eſſet reliquorum ſententia, unus in concilio ſurgens, *Æquum eſt*, inquit, *ut mulieres quoque iſthuc probent, alioquin omittendum eſt, neque vi eo ſunt adigendæ.*

Τούτου τοῦ λόγου διελθόντος εἰς τὰς γυναῖκας, αὐταὶ D καθ' αὑτὰς συνελθοῦσαι ταῦτα ἐψηφίσαντο, καὶ τὸν Δαΐφαντον ἀνέδησαν, ὡς τὰ ἄριστα τῇ Φωκίδι βεβουλευμένον. Τὰ δ' αὐτὰ καὶ τοὺς παῖδας ἰδίᾳ φασὶν ἐκκλησιάσαντας ἐπιψηφίσασθαι. Πραχθέντων δὲ τούτων, συμβαλόντες οἱ Φωκεῖς περὶ Κλεωνὰς τῆς Ὑαμπόλιδος ἐνίκησαν. Τὸ μὲν οὖν ψήφισμα Φωκέων, ΑΠΟΝΟΙΑΝ οἱ Ἕλληνες ὠνόμασαν· ἑορτὴν δ' ἐκ πασῶν μεγίστην τὰ Ἐλαφηβόλια μέχρι νῦν τῇ Ἀρτέμιδι τῆς νίκης ἐκείνης ἐν Ὑαμπόλιδι τελοῦσιν. E

γ'. ΧΙΑΙ.

Χῖοι Λευκωνίαν ἐπῴκησαν ἐκ τοιαύτης αἰτίας. Ἐγάμει τις ἐν Χίῳ τῶν δοκούντων γνωρίμων εἶναι. Ἀγομένης δὲ τῆς νύμφης ἐπὶ ζεύγους, ὁ βασιλεὺς Ἵπποκλος ἐπιτήδειος ὢν τῷ γαμοῦντι, καὶ παρὼν ὥσπερ οἱ λοιποὶ, μέθης οὔσης καὶ γέλωτος, ἀνεπήδησεν ἐπὶ τὸ ζεῦγος, οὐδὲν ὑβριστικὸν πράξων, ἀλλ' ἔθει κοινῷ καὶ

Qui ſermo ut pervenit ad mulieres, ipſæ ſeorſim convenerunt, itaque fieri debere decreverunt, Daiphantumque coronaverunt, ut qui optime rebus Phocicis conſuluiſſet. Idem quoque pueros aiunt concione privatim convocata ſciviſſe. His ita actis, Phocenſes ad Cleonas Hyampolidis cum hoſte conflixerunt, victoriaque ſunt potiti. Decretum hoc Phocenſium, Græci *Aponœam*, utpote deſperatis rebus audacter factum, appellaverunt. Omnium autem feſtivitatum ſuarum maximam Elaphebolia Minervæ Phocenſes in hunc uſque diem quotannis peragunt atque celebrant.

III. Chiæ.

Chii Leuconiam coloniam deduxerunt tali de cauſa. Quidam in Chio non minimi nominis matrimonium contraxerat. Cum autem ſponſa in curru duceretur, rex Hippoclus ſponſi familiaris, qui una cum reliquis aderat, oborto ex ebrietate jocandi ſtudio, in currum inſiluit, non animo ullius injuriæ faciendæ, ſed communem conſuetudinem lu-

πενθερᾷ χρώμενος· οἱ δὲ φίλοι τῦ γαμοῦντος ἀπέκτειναν αὐτόν. Μηνιμάτων δὲ τοῖς Χίοις προφαινομένων, καὶ τῦ θεοῦ κελεύσαντος τὺς Ἵπποκλον ἀνελόντας ἀνελεῖν, 1 ἅπαντες ἔφασαν Ἵπποκλον ἀνῃρηκέναι. Πάντας οὖν αὖθις ὁ θεὸς ἐκέλευε τὴν πόλιν ἐκλιπεῖν, εἰ πᾶσι τῦ ἄγυς μέτεστι. Οὕτω δὲ τὺς αἰτίυς καὶ μετασχόντας τῦ φόνυ, καὶ συνεπαινέσαντας ἁμωσγέπως, οὐκ ὀλίγυς γενομένυς, ὐδ᾽ ἀδυνάτυς ὄντας, ἀπῴκισαν εἰς Λευκωνίαν, ἣν Κορωνεῖς ἀφελόμενοι πρότερον ἐκτήσαντο μετ᾽ Ἐρυθραίων. Ὕστερον δὲ πολέμυ πρὸς τὺς Ἐρυθραίυς αὐτοῖς γενομένυ, μέγιστον Ἰώνων δυναμένυς, τότε κἀκείνων ἐπὶ τὴν Λευκωνίαν στρατευσάντων ἀντέχειν μὴ δυνάμενοι, συνε-
145 χώρησαν ἐξελθεῖν ὑπόσπονδοι, χλαῖναν μίαν ἑκάστου καὶ ἱμάτιον, ἄλλο δὲ μηδὲν ἔχοντος. Αἱ δὲ γυναῖκες ἐκάκιζον αὐτὺς, εἰ προέμενοι τὰ ὅπλα, γυμνοὶ διὰ τῶν πολεμίων ἐξίασιν· ὀμωμοκέναι δὲ φασκόντων, ἐκέλευον αὐτὺς τὰ μὲν ὅπλα μὴ καταλιπεῖν, λέγειν δὲ πρὸς

ſumque ſecutus: tamen hunc ſponſi amici interfecerunt. Inde cum Chii iræ divinæ argumenta cernerent, oraculo conſulto juſſi ſunt *percuſſores Hippocli necare*, cumque univerſos ejus cædis ſontes ſe eſſe dicerent, *univerſos* deus juſſit *urbe excedere, ſi quidem univerſi flagitio iſto ſe obſtrinxiſſent.* Ita demum ſontes, cædiſque ſocios aut approbatores, utcunque et multos et potentes, in Leuconiam deportaverunt. Hanc Coronenſibus ademptam primum cum Erythræis poſſederant Chii. Poſtea temporis bello cum Erythræis Ionum potentiſſimis contracto, cum hi ad Leuconiam ducerent exercitum, Chii impares ſe viribus videntes, pacti ſunt exceſſuros ſe Leuconia, unam tantum quoque chlænam, unamque tunicam ſecum auferente. Mulieres autem Chios objurgabant, quod armis dimiſſis nudi per hoſtes eſſent exituri: cumque hi dicerent jurejurando adhibito ſe id promiſiſſe, monuerunt ne arma relinquerent,

τοὺς πολεμίους ὅτι χλαῖνα μέν ἐστι τὸ ξυστόν, χιτὼν δὲ ἡ ἀσπίς, ἀνδρὶ θυμὸν ἔχοντι. Πεισθέντων δὲ ταῦτα τῶν Χίων, καὶ πρὸς τοὺς Ἐρυθραίους παῤῥησιαζομένων, καὶ τὰ ὅπλα δεικνυόντων, ἐφοβήθησαν οἱ Ἐρυθραῖοι τὴν τόλμαν αὐτῶν, καὶ οὐδεὶς προσῆλθεν οὐδὲ ἐκώλυσεν, ἀλλ᾽ ἠγάπησαν ἀπαλλαγέντων. Οὗτοι μὲν οὖν θαῤῥεῖν B διδαχθέντες ὑπὸ τῶν γυναικῶν, οὕτως ἐσώθησαν. Τούτου δὲ οὐδέν τι λειπόμενον ἔργον ἀρετῇ καὶ χρόνοις ὕστερον πολλοῖς ἐπράχθη ταῖς Χίων γυναιξίν, ὁπηνίκα Φίλιππος ὁ Δημητρίου, πολιορκῶν τὴν πόλιν ἐκήρυξε κήρυγμα βάρβαρον καὶ ὑπερήφανον, ἀφίστασθαι τοὺς οἰκέτας πρὸς ἑαυτὸν ἐπ᾽ ἐλευθερίᾳ καὶ γάμῳ τῆς κεκτημένης, ὡς συνοικιῶν αὐτοὺς ταῖς τῶν δεσποτῶν γυναιξί. Δεινὸν δὲ αἱ γυναῖκες καὶ ἄγριον θυμὸν λαβοῦσαι, μετὰ τῶν οἰκετῶν καὶ αὐτῶν συναγανακτούντων καὶ συμπαρόντων, ὥρμησαν ἀναβαίνειν ἐπὶ τὰ τείχη, καὶ λίθους καὶ βέλη προσφέρουσαι, καὶ παρακελευόμεναι καὶ προσλι- C

B. 10. συμπαρόντων] Corrigendum puto συμπαρορμώντων.
C. 1. προσλιπαροῦσαι] Malim προσταλαιπωροῦσαι.

ſed hoſtibus dicerent *haſtam eſſe loco chlænæ, clypeum loco tunicæ viro animoſo.* Cum obtemperaſſent Chii, libereque adverſus Erythræos locuti arma oſtenderent: territi eorum audacia Erythræi ſunt, nemoque eorum acceſſit aut prohibuit, ſed diſceſſum eorum gratum habuerunt. Atque hi quidem a mulieribus edocti audere, hoc modo tum ſervati ſunt. Sed nihilo minoris virtutis facinus eſt Chiarum mulierum, longo poſt perpetratum tempore. Philippus Demetrii filius urbem Chiorum oppugnans, ſuperbum ac barbaricum edictum propoſuerat, quo ſervos ad defectionem ad ſe invitabat, pollicens iis dominarum conjugia et libertatem. Mulieres vero atroci atque effera correptæ ira una cum ſervis, ipſis quoque una indignantibus et auxilium ferentibus, cum impetu in muros evaſerunt, lapideſque et tela congerentes, ac pugnantes exhortantes et animantes, ip-

παρεῦσαι ταῖς μαχομένοις, τέλος δὲ ἀμυνόμεναι καὶ βάλλουσαι τοὺς πολεμίους, ἀπώσαντο τὸν Φίλιππον, οὐδενὸς δούλου τοπαράπαν ἀποστάντος πρὸς αὐτόν.

δʹ. ΑΡΓΕΙΑΙ.

Οὐδενὸς δὲ ἧττον ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων, ὁ πρὸς Κλεομένην περὶ Ἄργους ἀγὼν, ὃν ἠγωνίσαντο Τελεσίλλης τῆς ποιητρίας προτρεψαμένης. Ταύτην δέ φασιν οἰκίας οὖσαν ἐνδόξου, τῷ δὲ σώματι νοσηματικὴν, εἰς θεοὺς πέμψαι περὶ
D ὑγείας, καὶ χρησθὲν αὐτῇ Μούσας θεραπεύειν, πειθομένην τῷ θεῷ καὶ ἐπιθεμένην ᾠδῇ καὶ ἁρμονίᾳ, τοῦ τε πάθους ἀπαλλαγῆναι ταχὺ, καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. Ἐπεὶ δὲ Κλεομένης ὁ βασιλεὺς τῶν Σπαρτιατῶν, πολλοὺς ἀποκτείνας, (οὐ μὴν, ὡς ἔνιοι μυθολογοῦσιν, ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίοις) ἐβάδιζε πρὸς τὴν πόλιν, ὁρμὴ καὶ τόλμα δαιμόνιος παρέστη ταῖς ἀκμαζούσαις τῶν γυναικῶν ἀμύ-

ſeque etiam ad extremum hoſtem profligantes et telis impetentes, Philippum repulerunt: cum quidem ad hunc nullus omnino ſervorum tranſiviſſet.

IV. Argivæ.

Inter res a mulieribus publice præclare geſtas, nullum illuſtrius extat facinus certamine quod Argivæ pro patria adverſus Cleomenem, Teleſillæ poetriæ hortatu, obierunt. Hanc ferunt nobili ortam familia, cum eſſet corpore morbis obnoxio, deos de paranda bona valetudine conſuluiſſe: oraculoque monitam ut *Muſas coleret*, deæ obtemperaſſe, ſtudiumque in carmina et harmoniam collocaſſe: et cum morbo liberatam eſſe, tum ob poeticam in admiratione mulieribus fuiſſe. Cum Cleomenes Spartæ rex multis Argivorum occiſis (fabula eſt quod quidam numerum eorum perhibent ſepties millenos, ſeptingenos, ſeptagenos et ſeptem), ad ipſam urbem duceret, impetus et divinitus quædam injecta audacia mulieres quæ

νασθαι τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος. Ἡγουμένης
δὲ τῆς Τελεσίλλης ὅπλα λαμβάνουσι, καὶ παρ' ἔπαλξιν E
ἱστάμεναι κύκλῳ τὰ τείχη περιέστεψαν, ὥστε θαυμάζειν
τοὺς πολεμίους. Τὸν μὲν οὖν Κλεομένην πολλῶν πε-
σόντων ἀπεκρούσαντο· τὸν δὲ ἕτερον βασιλέα Δημάρατον,
ὡς Σωκράτης φησὶν, ἐντὸς γενόμενον καὶ κατασχόντα τὸ
Παμφυλιακὸν, ἐξέωσαν. Οὕτω δὲ τῆς πόλεως περι-
γενομένης, τὰς μὲν πεσούσας ἐν τῇ μάχῃ τῶν γυναικῶν,
ἐπὶ τῆς ὁδοῦ τῆς Ἀργείας ἔθαψαν, ταῖς δὲ σωθείσαις
ὑπόμνημα τῆς ἀριστείας ἔδοσαν ἱδρύσασθαι τὸν Ἐνυά-
λιον. Τὴν δὲ μάχην οἱ μὲν ἑβδόμῃ λέγουσιν ἱσταμένου
μηνὸς, οἱ δὲ, νουμηνίᾳ γενέσθαι τοῦ νῦν μὲν τετάρτου, πά-
λαι δὲ Ἑρμαίου παρ' Ἀργείοις, καθ' ἣν μέχρι νῦν τὰ F
Ὑβριστικὰ τελοῦσι γυναῖκας μὲν ἀνδρείοις χιτῶσι καὶ
χλαμύσιν, ἄνδρας δὲ πέπλοις γυναικῶν καὶ καλύπτραις
ἀμφιεννύντες. Ἐπανορθούμενοι δὲ τὴν ὀλιγανδρίαν, οὐχ,
ὡς Ἡρόδοτος ἱστορεῖ, τοῖς δούλοις, ἀλλὰ τῶν περιοίκων

ætate integra eſſent, excitavit ad propulſandos a patria hoſtes. Proinde Teleſilla duce arma capiunt, propugnacula occupant, muros corona cingunt, non ſine admiratione hoſtium. Ac Cleomenem quidem repulerunt, multos ſuorum deſiderantem: alterum regem Demaratum, ut Socrates ait, qui in urbem pervenerat, et Pamphyliacum occupaverat, vi exturbarunt. Hoc modo urbe ſervata, mulieres quæ in pugna ceciderant, in via Argiva ſepultæ ſunt a civibus: ſuperſtitibus autem præmium virtutis dedicatio Martis conceſſa eſt. Pugnatum alii ſeptima die, alii ipſo in novilunio tradunt menſis, qui nunc quartus, olim Hermæus, id eſt Mercurialis, apud Argivos dicitur. Ea die etiam hodię Hybriſtica (id eſt contumelioſa) ſacra agunt, mulieres virilibus tunicis et lænis, viros muliebribus vittis ac velis veſtientes. Virorum penuriam ut exſarcirent, mulieres non, ut Herodotus narrat, ſervis, ſed vicinorum optimis in

ποιησάμενοι πολίτας τοὺς ἀρίστους, συνῴκισαν ταῖς γυναιξί. Ἐδόκουν δὲ καὶ τούτους ἀτιμάζειν καὶ περιορᾶν ἐν τῷ συγκαθεύδειν, ὡς χείρονας. Ὅθεν ἔθεντο νόμον τὸν κελεύοντα, πώγωνα δεῖν ἐχούσας συναναπαύεσθαι τοῖς ἀνδράσι τὰς γεγαμημένας.

14 ε'. ΠΕΡΣΙΔΕΣ.

Πέρσας Ἀστυάγου βασιλέως καὶ Μήδων ἀποστήσας Κῦρος, ἡττήθη μάχῃ· φεύγουσι δὲ τοῖς Πέρσαις εἰς τὴν πόλιν, ὀλίγον ἀπεχόντων συνεισπεσεῖν τῶν πολεμίων, ἀπήντησαν αἱ γυναῖκες πρὸ τῆς πόλεως, καὶ τοὺς πέπλους ἐκ τῶν κάτω μερῶν ἐπάρασαι, Ποῖ φέρεσθε, εἶπον, ὦ κάκιστοι πάντων ἀνθρώπων; οὐ γὰρ ἐνταῦθά γε δύνασθε καταδῦναι φεύγοντες, ὅθεν ἐξεγένεσθε. Ταύτην τὴν ὄψιν ἅμα καὶ τὴν φωνὴν αἰδεσθέντες οἱ Πέρσαι, καὶ κακίσαντες ἑαυτοὺς, ἀνέστρεψάν τε καὶ συμβαλόντες ἐξ ἀρχῆς ἐτρέψαντο τοὺς πολεμίους. Ἐκ τούτου κατέστη νόμος, εἰσελάσαντος βασιλέως εἰς τὴν πόλιν, ἑκάστην γυναῖκα χρυσοῦν λαμβάνειν, Κύρου νομοθετήσαντος.

civitatem receptis conjunxerunt: quos illæ videbantur contemnere et ignominia afficere in concubitu. Itaque legem poſuerunt, quæ nuptas barbam jubebat habere quando cum viris concumberent.

V. Persides.

Cyrus cum Perſas ab Aſtyage rege et Medis abalienaſſet, prœlio victus eſt. Perſis autem fuga ſe ad urbem recipientibus, cum parum abeſſet quin ſimul hoſtes irruerent, occurrerunt ante urbem mulieres, veſtibuſque ſurſum ab inferioribus partibus attractis, dixerunt: *Quo fugitis omnium hominum peſſimi? non quidem fuga hâc penetrare poteſtis unde exiviſtis.* Hoc ſpectaculum, atque hæc vox pudorem incuſſit Perſis, ſeque ipſos culpantes converſi ſunt, et inſtaurata pugna hoſtes fuderunt. Inde lex poſita a Cyro eſt, ut quoties rex in urbem intrat, ſingulis mulieribus aureus de-

τοὺς ἄλλους· ἐκαλεῖτο δὲ Καφένη. Περιπαθομένη δὲ τούτων οὐ δυναμένη τὸν Νυμφαῖον περιορᾶν ἀπολλύμενον, ἐξήγγειλε τὴν διάνοιαν αὐτῷ τῶν πολιτῶν. Ὡς οὖν ἧκον οἱ Κρυασσεῖς καλοῦντες αὐτοὺς, οὐκ ἔφη νόμον ὁ Νυμφαῖος Ἕλλησιν εἶναι βαδίζειν ἐπὶ δεῖπνον ἄνευ γυναι- F
κῶν. Ἀκούσαντες δὲ οἱ Κᾶρες ἐκέλευον ἄγειν καὶ τὰς γυναῖκας. Οὕτω δὴ φράσας τὰ πεπραγμένα Μηλίοις, ἐκέλευσεν αὐτοὺς μὲν ἀνόπλους ἐν ἱματίοις βαδίζειν, τῶν δὲ γυναικῶν ἑκάστην ξίφος ἐν τῷ κόλπῳ κομίζειν, καὶ καθέζεσθαι παρὰ τὸν αὑτῆς. Ἐπεὶ δὲ τοῦ δείπνου μεσοῦντος ἐδόθη τὸ σύνθημα τοῖς Καρσὶ, καὶ συνῄσθοντο τὸν καιρὸν οἱ Ἕλληνες, αἱ μὲν γυναῖκες ἅμα πᾶσαι τοὺς κόλπους διέσχον, οἱ δὲ τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις, καὶ διέφθειραν αὐτοὺς ἅμα πάντας. Κτησάμενοι δὲ τὴν χώραν, καὶ τὴν πόλιν ἐκείνην καταβαλόντες, ᾤκισαν ἑτέραν, ἣν Νέαν Κρύασσαν ὠνόμασαν. Ἡ δὲ Καφένη τῷ Νυμφαίῳ γαμηθεῖσα, τιμὴν 24
καὶ χάριν ἔσχε ταῖς εὐεργεσίαις πρέπουσαν. Ἄξιον

tur, non ſuſtinens ſalutem amaſii negligere, conſilium ei civium aperuit. Cum ergo Cryaſſenſes venirent eos vocatum, reſpondit Nymphæus moris non eſſe Græcis, ad cœnam venire ſine mulieribus. Quo audito Cares eas ut ſecum adducerent juſſerunt. Tum Nymphæus re Meliis expoſita, ipſos tunicatos et inermes ſecum ire ad cœnam juſſit, mulierum autem quamque gladium ſub ſinu geſtare et ſuo marito aſſidere. Sub mediam cœnam cum Cares teſſeram dediſſent, Græci articulum temporis rei gerendæ adeſſe ſentientes, ſimul omnibus uxoribus ſinus pandentibus, gladios arripuerunt, barbaroſque adorti univerſos interfecerunt: agroque et urbe ea potiti, aliam novam condiderunt, *Cryaſſamque Novam* appellaverunt. Caphena autem Nymphæo nupſit, dignamque beneficio gratiam et meritos honores conſecuta eſt. Digna autem eſt admiratione

ἄγασθαι τὴν γυναικῶν καὶ τὴν σιωπὴν καὶ τὸ
ος, καὶ τὸ μηδεμίαν ἐν πολλαῖς μηδὲ ἄκουσαν
ὶ δειλίας κακὴν γενέσθαι.

η'. ΤΥΡΡΗΝΙΔΕΣ.

ὑρρηνῶν τοίνυν τὴν Λῆμνον καὶ Ἴμβρον καταχόν-
ἁρπασάντων δὲ Βραυρωνόθεν τὰς Ἀθηναίων γυναι-
ἐγένοντο παῖδες, οὓς ἐξήλασαν Ἀθηναῖοι, μιξοβάρ-
ς ὄντας, ἐκ τῆς νήσων. Οἱ δὲ εἰς Ταίναρον
ἐραντες, ἐγένοντο χρήσιμοι Σπαρτιάταις περὶ τὸν
τικὸν πόλεμον, καὶ διὰ τοῦτο πολιτείας καὶ γάμων
τες, οὐκ ἀξιούμενοι δὲ ἀρχείων καὶ βουλῆς, ὑπό-
ἔχον ὡς ἐπὶ νεωτερισμῷ συνερχόμενοι, καὶ διανοού-
τὰ καθεστῶτα κινεῖν. Συλλαβόντες οὖν αὐτοὺς οἱ
δαιμόνιοι, καὶ καθείρξαντες, ἐφύλαττον ἰσχυρῶς, ζη-
τες ἑλεῖν σαφέσι καὶ βεβαίοις ἐλέγχοις. Αἱ δὲ τῶν
γμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν παραγενόμεναι,

ραυρωνόθεν] Ita Xyl. edidit e codice ſcripto : et monuit ita legendum eſſe L. Holſten. ad Steph. Byz. p. 74. et res ipſa loquitur. Vulgo Βαυρωνόθεν : item infra Βαύρωνος.

rum taciturnitas atque a, et quod nulla earum tam multas ne invita n præ metu officium lit.

III. Tyrrhenæ.

rrheni cum Lemnum et m occupaſſent, Atheni- n mulieribus Braurone tis filios procreaverunt, ut ſemibarbaros Athe- s inſulis expulerunt. Hi Tænarum appuliſſent, æmoniis in ſervili ſeu heilotico bello utilem præbuerunt operam, ideoque civitate et matrimoniis dignati ſunt. Quod autem in ſenatum et ad conſilia non adhibebantur, venerunt in ſuſpicionem quaſi novarum rerum moliendarum cauſa coirent. Itaque a Spartanis comprehenſi et in carcerem conjecti, accurate cuſtodiebantur, cupientibus liquidis et ſtabilibus eos convincere argumentis. Captorum vero uxores ad carcerem venerunt,

πολλαῖς ἱκεσίαις καὶ δεήσεσι παρέπεισαν ὑπὸ τῶν φυλά-
κων, ὅσον ἀσπάσασθαι καὶ προσειπεῖν τοὺς ἄνδρας. Ἐ-
πεὶ δὲ εἰσῆλθον, ἐκέλευον αὐτοὺς μεταμφιέννυσθαι ταχὺ
τὰ ἱμάτια, καὶ τὰ μὲν αὑτῶν ἐκείναις ἀπολιπεῖν, τὰς C
δὲ ἐκείνων ἐνδύντας αὐτοὺς ἀπιέναι συγκαλυψαμένους.
Γενομένων δὲ τούτων, αἱ μὲν ὑπέμειναν, αὐτοῦ παρα-
ταξάμεναι πρὸς πάντα τὰ δεινά, τοὺς δὲ ἄνδρας ἐξα-
πατηθέντες οἱ φύλακες παρῆκαν ὡς δὴ γυναῖκας. Ἐκ
δὴ τούτου καταλαβομένων αὐτῶν τὰ Ταΰγετα, καὶ τὸ
εἱλωτικὸν ἀφιστάντων καὶ προσδεχομένων, οἱ Σπαρτιᾶται
εἰς πολὺν φόβον καταστάντες ἐπεκηρυκεύσαντο, καὶ διηλ-
λάγησαν ἐπὶ τῷ κομίσασθαι μὲν αὐτοὺς τὰς γυναῖκας,
χρήματα δὲ καὶ ναῦς λαβόντας ἐκπλεῦσαι, καὶ γῆς τυ-
χόντας ἀλλαχόσε καὶ πόλεως, ἀποίκους Λακεδαιμονίων D
καὶ συγγενεῖς νομίζεσθαι. Ταῦτα ἔπραττον οἱ Πελασ-
γοί, Πόλλιν ἡγεμόνα καὶ ἀδελφὸν καὶ Κραταΐδα Λακε-
δαιμονίους λαβόντες· καὶ μέρος μὲν αὐτῶν ἐν Μήλῳ

D. 3. ἀδελφὸν] Sic item omnes libri. Corrigendum Δελφὸν nomine proprio: monuit J. Meurſ. Miſc. Lacon. II. 7. Latine quidem reddidi.

multiſque obſecrationibus et precibus a cuſtodibus impetraverunt, ut ad maritos intromitterentur, ſalutaturæ eos et compellaturæ. Poſtquam intro venerunt, celeriter viros ſecum permutare veſtes juſſerunt, muliebribuſque in veſtibus exire. Ita mulieres quidem paratæ ad omnia adverſa in carcere manſerunt, viros autem decepti cuſtodes pro uxoribus dimiſerunt. Exinde Tyrrheni Taygeta occupaverunt, heiloteſque ad defectionem ſuamque ſocietatem pertraxerunt: qua re Spartani cum in magnum veniſſent metum, pacem cum iis per internuncios compoſuerunt, ea conditione, ut receptis uxoribus, acceptaque pecunia et navibus diſcederent, alibique agrum et urbem nacti, coloni Lacedæmoniorum cognatique haberentur. Fecerunt hoc Pelaſgi, ducibus Polli, Delpho, Crataida, Lacedæmoniis: ac pars quidem eorum in Melo ſedem fixit: plerique cum Polli

κατῴκησαν· τοὺς δὲ πλείστους οἱ περὶ Πόλλιν ἔχοντες,
εἰς Κρήτην ἔπλευσαν, ἀποπειρώμενοι τοῦ λογίου· ἐχρήσθη
γὰρ αὐτοῖς, ὅταν τὴν θεὸν καὶ τὴν ἄγκυραν ἀπολέ-
σωσι, παύσασθαι πλάνης, καὶ πόλιν ἐκεῖ συνοικίζειν.
Ὁρμισθεῖσιν οὖν περὶ τῇ λεγομένῃ Χερρονήσῳ, θόρυβοι
πανικοὶ προσέπεσον νύκτωρ· ὑφ' ὧν διαπτοηθέντες, ἐνε-
E πήδησαν εἰς τὰς ναῦς ἀκόσμως, ἀπολιπόντες ἐν τῇ γῇ
ξόανον τῆς Ἀρτέμιδος, ὃ πατρῷον ἦν αὐτοῖς εἰς Λῆμνον
ἐκ Βραύρωνος κομισθὲν, ἐκ δὲ Λήμνου πανταχοῦ συμπε-
ριαγόμενον. Ἐπεὶ δὲ τοῦ θορύβου λήξαντος, ἐπόθησαν
αὐτὸ κατὰ πλοῦν, ἅμα δὲ ὁ Πόλλις κατέμαθε τῇ ἀγ-
κύρᾳ τὸν ὄνυχα μὴ προσόντα· βίᾳ γὰρ ἑλκομένης, ὡς
ἔοικεν, ἐν τόποις ὑποπετρέοις ἀποσπασθεὶς ἔλαθε· πε-
ραίνεσθαι τὰ πυθόχρηστα φήσας, ἐσήμαινεν ἀναστρέφειν·
καὶ κατέσχε τὴν χώραν, καὶ μάχαις πολλαῖς τῶν ἀντι-
F ταξαμένων ἐπικρατήσας, Λύκτον ᾤκησε, καὶ πόλεις
ἄλλας ὑποχειρίους ἔλαβεν. Διὸ καὶ νομίζουσιν αὐ-

in Cretam navigarunt, oraculique eventum periclitati ſunt: reſponſum enim fuerat, *ubi deam et anchoram amiſiſſent, fore finem errorum, ibique eis eſſe urbem condendam.* Cum ergo ad locum Cretæ, qui dicitur Cherroneſus (id eſt peninſula) appuliſſent, noctu panici terrores oblati iis ſunt: quibus conſternati tumultuaria feſtinatione naves conſcenderunt, relicto in terra Dianæ ſimulachro, quod a majoribus acceperant Braurone in Lemnum advectum, et a Lemno ſemper ſecum circumtulerant. Cum autem tumultu ſedato navigantes id deſiderarent, Pollis, qui ſimul etiam anchoræ unguem deeſſe ſenſerat, (vi enim attracta anchora is in ſaxoſis, ut apparet, locis abruptus erat) oraculum Pythiæ finem ſuum conſequi jam dicens, ſigno dato retro navigavit in Cretam, occupavitque regionem, multiſque pugnis cum viciſſet hoſtes, Lyctum aliaſque urbes in ſuam poteſtatem redactas incoluit. Itaque Lyctii et Athenienſium ſe cog-

τοὺς Ἀθηναίοις τε διὰ τὰς μητέρας κατὰ γένος προσήκειν, καὶ Σπαρτιατῶν ἀποίκους εἶναι).

θʹ. ΛΥΚΙΑΙ.

Τὸ δ' ἐν Λυκίᾳ γενέσθαι λεγόμενον, μυθῶδες μέν ἐστιν, ἔχει δέ τινα φήμην ὁμοῦ μαρτυροῦσαν. Ἀμισώδαρος γάρ (ὥς φασιν) ὃν Ἰσάραν Λύκιοι καλοῦσιν, ἧκεν ἐκ τῆς περὶ Ζέλειαν ἀποικίας Λυκίων, ληστρίδας ἄγων ναῦς, ὧν Χίμαῤῥος ἡγεῖτο, πολεμιστὴς μὲν ἀνὴρ, ὠμὸς δὲ καὶ θηριώδης· ἔπλει δὲ πλοίῳ λέοντα μὲν ἔχοντι πρῴραθεν ἐπίσημον, ἐκ δὲ πρύμνης δράκοντα· καὶ πολλὰ 241 κακὰ τοὺς Λυκίους ἐποίει, καὶ πλεῦσαι τὴν θάλατταν οὐκ ἦν, οὐδὲ τὰς ἐγγὺς θαλάττης πόλεις οἰκεῖν. Τοῦτον οὖν ἀποκτείνας ὁ Βελλεροφόντης φεύγοντα τῷ πηγάσῳ διώξας, ἐκβαλὼν δὲ καὶ τὰς Ἀμαζόνας, οὐδενὸς ἐτύγχανε τῶν δικαίων, ἀλλ' ἦν ἀδικώτατος περὶ αὐτὸν Ἰοβάτης. Ὅθεν εἰς τὴν θάλατταν ἐμβὰς, ηὔξατο κατ' αὐτοῦ τῷ Ποσειδῶνι τὴν χώραν ἄκαρπον γενέσθαι καὶ ἀνό-

F. 7. ὁμοῦ] Corrigendum ὅμως, cum Mez.

natos matrum cauſa ducunt et Spartanorum colonos.

IX. Lyciæ.

Fabuloſum eſt quod eveniſſe in Lycia dicitur, quanquam ei fama teſtimonium ferat. Sic autem narratur. Amiſodarus, quem Iſaram Lycii nominant, ex colonia Lyciorum quæ apud Zeleiam erat, cum navibus venit piraticis, duce Chimaro, homine bellicoſo, cæterum crudeli et effero: ejus navis in prora leonis, in puppi draconis habebat inſigne. Multum is mali fecit Lyciis, infeſtumque habuit mare, ut neque navigari hoc, neque maritimæ urbes habitari poſſent. Hunc cum interfeciſſet Bellerophontes, fugientem Pegaſo inſecutus, et Amazones quoque ejeciſſet, nullam retulit ab Iobate gratiam, ſed eſt ab eo injuſtiſſime tractatus. Itaque ad mare acceſſit, ac Neptunum precatus eſt ut Iobatæ regionem ſterilem inutilemque redderet, votiſque factis retro diſceſſit. Fluctus

πτον. Εἶτα ὁ μὲν ἀπῄει κατευξάμενος, κῦμα δὲ διαρ-
θὲν ἐπέκλυζε τὴν γῆν· καὶ θέαμα δεινὸν ἦν, ἑπομένης
μετεώρου τῆς θαλάττης, καὶ ἀποκρυπτούσης τὸ πεδίον.
B Ἐπεὶ δὲ τῶν ἀνδρῶν δεομένων τὸν Βελλεροφόντην ἐπισ-
χεῖν, οὐδὲν ἔπειθον, αἱ γυναῖκες ἀνασυράμεναι τοὺς
χιτωνίσκους, ἀπήντησαν αὐτῷ· πάλιν οὖν ὑπ' αἰσχύνης
ἀναχωροῦντος ὀπίσω, καὶ τὸ κῦμα λέγεται συνυποχωρῆσαι.
Τινὲς δὲ τοῦ λόγου τούτου παραμυθούμενοι τὸ μυθῶδες,
οὔ φασι κατάραις ἐπαγαγέσθαι τὴν θάλασσαν αὐτόν,
ἀλλὰ τοῦ πεδίου τὸ πιότατον ὑποκεῖσθαι τῇ θαλάσσῃ
ταπεινότερον, ὀφρὺν δὲ παρατείνουσαν ἀκτῆς ἣ διεῖργε
τὴν θάλασσαν, ἐκρῆξαι τὸν Βελλεροφόντην, καὶ βίᾳ τοῦ
C πελάγους ἐπιφερομένου καὶ κατακλύζοντος τὸ πεδίον,
τοὺς μὲν ἄνδρας οὐδὲν περαίνειν δεομένους αὐτοῦ· τὰς δὲ
γυναῖκας ἀθρόας περιχυθείσας, αἰδοῦς τυχεῖν, καὶ ἀπο-
παῦσαι τὴν ὀργήν. Οἱ δ' ὅλως τὴν λεγομένην Χίμαιραν,
ὄρος ἀντήλιον γεγονέναι φασί, καὶ ποιεῖν ἀνακλάσεις καὶ

B. 8. διεῖργε] Hoc revocavi ex Ald. Baſ. Xyl. E. Venet. Διῆργε dederat Stephanus, neſcio unde.

autem elatus terram inundavit: eratque atrox ſpectaculum, cum ſublime mare ſequeretur eum et agros occultaret. Cum deprecantes viri Bellerophontem non moverent, mulieres occurrerunt ei, tunicis ſublatis corpora denudantes: itaque præ pudore eo retro recedente, fluctus quoque, ut aiunt, ſimul receſſit. Alii fabulam vitantes, non exſecrationibus mare ab eo adductum dicunt: ſed cum pinguiſſima pars planitiei ad mare eſſet humilior, ſupercilium montanum, quod præter litus maris porrectum undas arcebat, fuiſſe a Bellerophonte perruptum: cumque mare vi inferretur, et planitiem illuvie tegeret, viros Bellerophontem deprecando nihil impetraſſe, mulieres autem facto agmine circumfuſas obtinuiſſe ut ipſas reveritus iram poneret. Sunt qui affirment, Chimæram illam poetarum fabulis nobilitatam, montem omnino fuiſſe Soli oppoſitum, in quem Solis radii

ἀνακλάσεις ἐν τῷ ὄρει χαλεπὰς καὶ πυρώδεις, ὑφ' ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων, μαραίνεσθαι τοὺς καρπούς· τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα, διασκάψαι τοῦ κρημνοῦ τὸ λειότατον, καὶ μάλιστα τὰς ἀνακλάσεις ἀνταποστέλλον· ἐπεὶ δ' οὐκ ἐτύγχανε χάριτος, ὀργῇ πρὸς ἄμυναν τραπέσθαι τῶν Λυκίων, πεισθῆναι δὲ ὑπὸ τῶν γυναικῶν. Ἣν δὲ Νύμφις ἐν τῷ τετάρτῳ περὶ Ἡρακλείας αἰτίαν εἴρηκεν, ἥκιστα μυθώδης ἐστί· λέγει γὰρ D ὅτι σῦν ἄγριον ἐν τῇ Ξανθίων χώρᾳ καὶ ζῶα καὶ καρποὺς λυμαινόμενον ἀνελὼν ὁ Βελλεροφόντης, οὐδεμιᾶς ἐτύγχανεν ἀμοιβῆς· καταρασαμένου δὲ τῶν Ξανθίων αὐτοῦ πρὸς τὸν Ποσειδῶνα, πᾶν τὸ πεδίον ἐξήνθησεν ἁλμυρίδα, καὶ διέφθαρτο παντάπασι, τῆς γῆς πικρᾶς γενομένης· μέχρις οὗ τὰς γυναῖκας αἰδεσθεὶς δεομένας, εὔξατο τῷ Ποσειδῶνι τὴν ὀργὴν ἀφεῖναι· διὸ καὶ νόμος ἦν τοῖς Ξανθίοις μὴ πατρόθεν ἀλλ' ἀπὸ μητέρων χρηματίζειν.

cum reflecterentur, et æſtum vehementem ac quaſi igneum in planitiem retorquerent, factum eſſe ut fruges marceſcerent. Bellerophontem autem cauſa mali intellecta, præcipitii eam partem quæ erat læviſſima, et maxime Solis radios reflectebat, excidiſſe: cumque ei non haberentur gratiæ, iratum ad ulciſcendum Lycios ſe contuliſſe, a mulieribus autem fuiſſe placatum. Nymphis quarto de Heraclea libro cauſam adfert a fabula maxime remotam. Aprum, qui in agro Xanthio animalia et fructus perderet, fuiſſe interemptum a Bellerophonte, neque ei ullam relatam gratiam. Itaque eum Xanthios fuiſſe exſecratum, impetraſſeque ut totum ſolum ſalſuginem emitteret, terræque amarore indito omnes fruges corrumperentur: idque duraſſe, donec mulierum victus reverentia deprecantium, Neptunum exoraverit ut finem iræ faceret. Atque hinc legem eſſe apud Xanthios, ut non a patribus, ſed a matribus nomina ſumant.

ι'. ΣΑΛΜΑΤΙΔΕΣ.

E Ἀννίβα δὲ τοῦ Βάρκα, πρὶν ἐπὶ Ῥωμαίους στρατεύειν, ἐν Ἰβηρίᾳ πόλει μεγάλῃ Σαλματικῇ προσμαχομένου, πρῶτον μὲν ἔδεισαν οἱ πολιορκούμενοι, καὶ συνέθεντο ποιήσειν τὸ προσταττόμενον, Ἀννίβᾳ τριακόσια δόντες ἀργυρίου τάλαντα καὶ τριακοσίους ὁμήρους. Ἀνέντος δὲ τὴν πολιορκίαν ἐκείνου, μεταγνόντες οὐδὲν ἔπραττον ὧν ὡμολόγησαν. Αὖθις οὖν ἐπιστρέψαντος αὐτοῦ, καὶ τοὺς
F στρατιώτας ἐπὶ διαρπαγῇ χρημάτων κελεύσαντος ἐπιχειρεῖν τῇ πόλει, παντάπασι καταπλαγέντες οἱ βάρβαροι, συνεχώρησαν ἐξελθεῖν ἐν ἱματίῳ τοὺς ἐλευθέρους, ὅπλα καὶ χρήματα καὶ ἀνδράποδα καὶ τὴν πόλιν καταλιπόντας. Αἱ δὲ γυναῖκες οἰόμεναι τῶν μὲν ἀνδρῶν φωράσειν ἕκαστον ἐξιόντα τοὺς πολεμίους, αὐτῶν δὲ οὐκ ἂν ἅψασθαι, ξίφη λαβοῦσαι καὶ ἀποκρύψασαι, συνεξέπιπτον τοῖς ἀνδράσιν. Ἐξελθόντων δὲ πάντων, ὁ Ἀννίβας φρουρὰν Μασαισυλίων ἐπιστήσας, ἐν τῷ προαστείῳ συνεῖχεν αὐτούς, οἱ δὲ ἄλλοι τὴν πόλιν ἀτάκτως ἐμπεσόντες διήρπαζον. Πολλῶν δὲ

X. Salmanticæ.

Cum Annibal Barcæ filius, antequam bellum Romanis inferret, in Hiſpania Salmanticam urbem magnam oppugnaret, metuentes ſibi oppidani, promiſerunt imperata ſe facturos, daturoſque Annibali trecenta argenti talenta, et trecentos obſides. Ut Annibal ab obſidione deſtitit, mutata Salmantici ſententia promiſſis non ſteterunt. Itaque reverſus eſt, urbemque diripiendam militibus propoſuit. Ibi tum prorſus perterriti barbari, pacti ſunt, ut liceret liberis corporibus diſcedere tunicatis, relicta urbe, armis, opibus, et mancipiis. At mulieres ratæ in viros inquiſitum ſingulatim, ſe exploratum non iri, gladiis ſumptis occultatiſque viros exeuntes comitatæ ſunt. Egreſſis omnibus Annibal cuſtodiæ cauſa Maſæſylios addidit, inque ſuburbio eos his ſtipatos continuit: reliqui promiſcue urbem diripuerunt. Maſæſylii autem magnam agi prædam

ἀγομένων, οἱ Μασαισύλιοι καρτερεῖν οὐκ ἠδύναντο βλέποντες, οὐδὲ τῇ φυλακῇ τὸν νοῦν προσεῖχον, ἀλλ' 249 ἠγανάκτουν, καὶ ἀπεχώρουν ὡς μεθέξοντες τῆς ὠφελείας. Ἐν τούτῳ δὲ αἱ γυναῖκες ἐμβοήσασαι τοῖς ἀνδράσι τὰ ξίφη παρέδοσαν, ἔνιαι δὲ καὶ δι' ἑαυτῶν ἐπετίθεντο τοῖς φρουροῖς· μία δὲ καὶ λόγχην ἐξαρπάσασα Βάνωνος τοῦ ἑρμηνέως, αὐτὸν ἐκεῖνον ἔπαισεν· ἔτυχε δὲ τεθωρακισμένος· τῶν δὲ ἄλλων τοὺς μὲν καταβαλόντες, τοὺς δὲ τρεψάμενοι, διεξέπεσον ἀθρόοι μετὰ τῶν γυναικῶν. Πυθόμενος δὲ ὁ Ἀννίβας καὶ διώξας, τοὺς μὲν καταληφθέντας εἷλεν· οἱ δὲ τῶν ὀρῶν ἐπιλαβόμενοι, παραχρῆμα μὲν B διέφυγον, ὕστερον δὲ πέμψαντες ἱκετηρίαν, εἰς τὴν πόλιν ὑπ' αὐτοῦ κατήχθησαν, ἀδείας καὶ φιλανθρωπίας τυχόντες.

ια'. ΜΙΛΗΣΙΑΙ.

Τὰς Μιλησίων ποτὲ παρθένους δεινόν πάθος καὶ ἀλλόκοτον κατέσχεν, ἐκ δή τινος αἰτίας ἀδήλου. Μάλιστα δὲ εἰκάζετο κρᾶσιν ἐκστατικὴν καὶ φαρμακώδη λαβὼν

cernentes, continere ſe amplius, aut captivorum cuſtodiæ intenti eſſe non potuerunt: ſed indigne ſuam ferentes ſortem, ipſi quoque abiverunt ut prædæ partem peterent. Interim mulieres viros ſuos exhortatæ ſunt clamore, eiſque gladios tradiderunt: atque adeo nonnullæ ipſæ cuſtodes ſunt adortæ: inter quas una Bannoni interpreti haſtam eripuit, eaque ipſum, quamvis thorace indutum, feriit: viri aliis fugatis, aliis occiſis, frequentes una cum mulieribus effugerunt. Annibal nuncio rei accepto inſecutus, quos in fuga arripere potuit, necavit: reliqui, montes cum attigiſſent, cæde evitata, poſtmodo ſupplicibus miſſis deprecatoribus, gratia impunitateque impetrata, in urbem ab eo ſunt reducti.

XI. Milesiæ.

Mileſias virgines quodam tempore atrox animi et abſurda inceſſit perturbatio: qua de cauſa, incertum. Putabatur aëris temperies veneno infecta, et ad inſaniam excitandam

ὁ ἀὴρ τρεπτικὴν αὐταῖς καὶ παραφορὰν τῆς διανοίας ἐνεργάσασθαι. Πάσαις μὲν γὰρ ἐξαίφνης ἐπιθυμία θανάτου καὶ πρὸς ἀγχόνην ὁρμὴ περιμανὴς ἐνέπιπτε, πολλαὶ δὲ ἀπήγχοντο λανθάνουσαι. Λόγοι δὲ καὶ δάκρυα
C γονέων καὶ παρηγορίαι φίλων οὐδὲν ἐπέραινον, ἀλλὰ περιῆσαν ἐπινοίας καὶ πανουργίας ἁπάσης τῶν φυλαττόντων, ἑαυτὰς διαχρώμεναι. Καὶ τὸ κακὸν ἐδόκει δαιμόνιον εἶναι καὶ κρεῖττον ἀνθρωπίνης βοηθείας· ἄχρις οὗ γνώμῃ νοῦν ἔχοντος ἀνδρὸς ἐγράφη προβούλευμα, τὰς ἀπαγχομένας γυμνὰς ἐκκομίζεσθαι δι' τῆς ἀγορᾶς. Καὶ τοῦτο κυρωθὲν οὐ μόνον ἐπέσχεν, ἀλλὰ καὶ παντελῶς ἔπαυσε θανατώσας τὰς παρθένους. Μέγα δὴ τεκμήριον εὐφυΐας καὶ ἀρετῆς ἡ τῆς ἀδοξίας εὐλάβεια, καὶ τὸ πρὸς τὰ δεινότατα τῶν ὄντων θάνατον καὶ πόνον ἀδεῶς ἐχού-
D σας, αἰσχροῦ φαντασίαν μὴ ὑπομεῖναι, μηδὲ ἐνεγκεῖν αἰσχύνης μετὰ θάνατον ἐσομένης.

parata, mutationem iſtam animorum atque abalienationem effeciſſe. Subito omnes mortis cupiditas, et ad vitam ſuſpendio finiendam furioſus impetus egit, et multæ ſe ipſas clam ſuſpendebant. Verba et lachrymæ parentum, amicorumque alloquia nihil valebant, ſed ſeſe interficiendis omnem ipſas cuſtodientium induſtriam atque calliditatem vincebant. Et calamitas divinitus immiſſa, et remediis humanis videbatur major: donec quidam homo prudens legem promulgavit, quæ juberet, *omnes quæ ſibi ſuſpendio mortem conſciviſſent, nudas per forum efferri.* Hæc lex ſancita, non inhibuit modo, ſed et omnino abolevit illam qua virgines laborabant mortis cupiditatem. Magnum vero argumentum eſt bonæ indolis ac virtutis, metus ignominiæ: et quod nihil formidantes mortem ac dolorem, quæ omnium maxime terribilia habentur, turpitudinis tamen imaginationem non pertulerunt, neque ſuſtinuerunt dedecus poſt mortem ipſis eventurum.

ιβ΄. ΚΙΑΙ.

Ταῖς Κίων παρθένοις ἔθος ἦν εἰς ἱερὰ δημόσια συμπορεύεσθαι καὶ διημερεύειν μετ᾽ ἀλλήλων· οἱ δὲ μνηστῆρες ἐθεῶντο παιζούσας καὶ χορευούσας· ἑσπέρας δὲ πρὸς ἑκάστην ἀνὰ μέρος βαδίζουσαι, διηκονοῦντο τοῖς ἀλλήλων γονεῦσι καὶ ἀδελφοῖς, ἄχρι τοῦ καὶ τοὺς πόδας ἀπονίζειν. Ἤρων πολλάκις μιᾶς πλείονες οὕτω κόσμιον ἔρωτα καὶ νόμιμον, ὥστε τῆς κόρης ἐγγυηθείσης ἑνὶ, τοὺς ἄλλους εὐθὺς πεπαῦσθαι. Κεφάλαιον δὲ τῆς εὐταξίας τῶν γυναικῶν, τὸ μήτε μοιχείαν μήτε φθορὰν ἀνέγγυον ἐτῶν ἑπτακοσίων E
μνημονεύεσθαι παρ᾽ αὐτοῖς γενομένην.

ιγ΄. ΦΩΚΙΔΕΣ.

Τῶν ἐν Φωκεῦσι τυράννων κατειληφότων Δελφοὺς, καὶ τὸν ἱερὸν κληθέντα πόλεμον Θηβαίων πολεμούντων πρὸς αὐτοὺς, αἱ περὶ τὸν Διόνυσον γυναῖκες, ἃς θυιάδας ὀνομάζουσιν, ἐκμανεῖσαι καὶ πλανηθεῖσαι νυκτὸς, ἔλαθον ἐν

D. 3. ΚΙΑΙ] Ita omnes libri et Stephaniana adeo: attamen Græco-Latinæ tres Χῖαι, et mox Χίων: neſcio, conſilione au caſu.

XII. Ciæ.

Cianis virginibus mos erat, ut ad ſacra publica coirent, diemque una exigerent: proci autem ludentium et choreas ducentium ſpectatores erant: ſub veſperam autem ſingularum domos adibant, invicemque parentibus et fratribus inſerviebant, adeo ut pedes eorum abluerent. Sæpe eandem plures amabant, ita modeſte atque legitime, ut puella uni deſponſa, reliqui ſtatim eam amare deſinerent. Muliebris autem hujus modeſtiæ, ut in ſumma dicam, hic fuit fructus, quod apud Cianos annorum ſeptingentorum ſpatio, neque adulterii ullius, neque virginitati oblati extra matrimonium vitii mentio ulla fuit.

XIII. Phocides.

Cum Phocenſium tyranni Delphos occupaſſent, contraque eos a Thebanis bellum, quod *Sacrum* uſurpatur, gereretur; Baccho addictæ mulieres, quas Thyadas vocant, furore correptæ, actæque per

Ἀμφίσσῃ γενόμεναι· κατάκοποι δὲ οὖσαι, καὶ μηδέπω τοῦ φρονεῖν παρόντος αὐταῖς, ἐν τῇ ἀγορᾷ προέμεναι τὰ σώματα, σποράδην ἔκειντο καθεύδουσαι. Τῶν δὲ
F Ἀμφισσέων αἱ γυναῖκες, φοβηθεῖσαι μὴ διὰ τὸ σύμμαχον τὴν πόλιν Φωκέων γεγονέναι, καὶ συχνοὺς στρατιώτας παρεῖναι τῶν τυράννων, ἀγνωμονηθῶσιν αἱ Θυϊάδες, ἐξέδραμον εἰς τὴν ἀγορὰν ἅπασαι, καὶ κύκλῳ περιστᾶσαι σιωπῇ, κοιμωμέναις μὲν οὐ προσῄεσαν· ἐπεὶ δ' ἐξανέστησαν, ἄλλαι περὶ ἄλλας ἐγίνοντο θεραπεύουσαι, καὶ τροφὴν προσφέρουσαι, τέλος δὲ πείσασαι τοὺς ἄνδρας ἐπηκολούθησαν αὐταῖς ἄχρι τῶν ὅρων ἀσφαλῶς προπεμπομέναις.

150 ιδ'. ΟΥΑΛΕΡΙΑ ΚΑΙ ΚΛΟΙΛΙΑ.

Ταρκύνιον Σούπερβον, ἕβδομον ἀπὸ Ῥωμύλου βασιλεύοντα Ῥωμαίων, ἐξήλασεν ὕβρις καὶ ἀρετὴ Λουκρητίας, γυναικὸς ἀνδρὶ γεγαμημένης λαμπρῷ καὶ κατὰ γένος προσήκοντι τοῖς βασιλεῦσιν. Ἐβιάσθη μὲν γὰρ ὑφ' ἑνὸς τῶν Ταρκυνίου παίδων, ἐπιξενωθέντος αὐτῇ· φράσασα δὲ

noctem erroribus, imprudentes Amphiſſam venerunt: utque erant defatigatæ, necdum ad ſeſe redierant, corporibus ſparſim in foro demiſſis obdormiverunt. Amphiſſenſium autem uxores veritæ, ne quia multi tyrannorum milites ea in urbe, Phocenſibus nimirum fœdere juncta, aderant, injuria aliqua Thyadibus fieret: in forum univerſæ procurrerunt, tacitæque in orbem adſtantes, neque aggreſſæ dormientes, ſomno ſolutis aliæ aliis operam dederunt, cibumque obtulerunt, tandemque a maritis hoc impetraverunt, ut eas tuto deductas ipſæ ad fines uſque comitarentur.

XIV.

Valeria et Cloelia.

Tarquinium Superbum, qui ſeptimus a Romulo fuit Romæ rex, expulit Lucretiæ et contumelia et virtus mulieris nuptæ claro viro et regibus genere cognato. Nam quum unus e Tarquinii filiis ejus pudicitiæ vim intuliſſet, illa

τοῖς φίλοις καὶ οἰκείοις τὸ πάθος, εὐθὺς ἀπέσφαξεν ἑαυτήν. Ἐκπεσὼν δὲ τῆς ἀρχῆς ὁ Ταρκύνιος, ἄλλους τε πολλοὺς ἐπολέμησε πολέμους, πειρώμενος ἀναλαβεῖν τὴν ἡγεμονίαν· καὶ τέλος ἄρχοντα Τυῤῥηνῶν Πορσίναν ἔπεισεν B
ἐπὶ τὴν Ῥώμην στρατεῦσαι μετὰ πολλῆς δυνάμεως. Ἅμα δὲ τῷ πολέμῳ καὶ λιμοῦ συνεπιτιθεμένου τοῖς Ῥωμαίοις, πυνθανόμενοι τὸν Πορσίναν οὐ πολεμικὸν εἶναι μόνον, ἀλλὰ καὶ δίκαιον ἄνδρα καὶ χρηστόν, ἐβούλοντο χρῆσθαι δικαστῇ τὴν πρὸς Ταρκύνιον. Ἀπαυθαδισαμένου δὲ τοῦ Ταρκυνίου, καὶ τὸν Πορσίναν, εἰ μὴ μένει σύμμαχος βέβαιος, οὐδὲ κριτὴν δίκαιον ἔσεσθαι φάσκοντος, ἀφεὶς ἐκεῖνον ὁ Πορσίνας, ἔπραττεν ὅπως φίλος ἄπεισι Ῥωμαίων, τῆς τε χώρας ὅσην ἀπετέτμηντο Τυῤῥηνῶν, καὶ τοὺς αἰχμαλώτους κομισάμενος. Ἐπὶ τούτοις ὁμήρων αὐτῷ δοθέντων, δέκα μὲν ἀῤῥένων παίδων, δέκα δὲ θηλειῶν, ἐν C
αἷς ἦν ἡ Ποπλικόλα τοῦ ὑπάτου θυγάτηρ Οὐαλερία, πᾶσαν εὐθὺς ἀνῆκεν τὴν πρὸς τὸν πόλεμον παρασκευήν, καίπερ οὔπω τέλος ἐχούσης τῆς ὁμολογίας. Αἱ δὲ παρ-

B. 6. τὴν πρὸς] πρὸς τὴν Venet. T. P.

facinus amicis et neceſſariis aperuit, et continuo ſe ipſam interfecit. Expulſus Tarquinius cum alia multa geſſit bella, conatus regnum recipere: tum Porſenæ Etruſcorum principi perſuaſit, ut magno cum exercitu ad Romam expeditionem faceret. Romani ſimul et bello et fame preſſi, cognito Porſenam non bello tantum, ſed et juſtitia atque humanitate præclarum eſſe, arbitrium huic cauſæ Tarquinianæ detulerunt. Contumaciter hoc Tarquinio recuſante, ac dicente Porſenam juſtum arbitrum non fore, ſi in fide ſocietatis non perſiſteret: eo omiſſo Porſena hoc egit, ut Romanorum amicus, quem hi Etruſcis ademerant agro, captiviſque receptis, diſcederet. Datis ei hanc ob rem obſidibus decem pueris, totidemque puellis, tametſi nondum confectis pactis, omnem ſtatim belli apparatum dimiſit. Vir-

θένοι κατέβησαν μὲν ἐπὶ τὸν ποταμὸν, ὡς λουσόμεναι μικρὸν ἀπωτέρω τοῦ στρατοπέδου· μιᾶς δὲ αὐτῶν ὄνομα Κλοιλίας προτρεψαμένης, ἀναδησάμεναι περὶ τὰς κεφαλὰς τοὺς χιτωνίσκους, παρεβάλοντο πρὸς ῥεῦμα πολὺ, καὶ δίνας βαθείας νέουσαι διεπέρασαν ἀλλήλων ἐχόμεναι
D πολυπόνως καὶ μόλις. Εἰσὶ δὲ οἱ λέγοντες ἵππου τὴν Κλοιλίαν εὐπορήσασαν, αὐτὴν μὲν ἐπιβῆναι καὶ διεξελαύνειν ἠρέμα, ταῖς δὲ ἄλλαις ὑφηγεῖσθαι, παραθαρσύνουσαν νηχομένας καὶ παραβοηθοῦσαν. Ὧι δὲ τεκμηρίῳ χρῶνται μετ' ὀλίγον ἐροῦμεν. Ἐπεὶ δὲ σωθείσας εἶδον οἱ Ῥωμαῖοι, τὴν μὲν ἀρετὴν καὶ τόλμαν ἐθαύμασαν, τὴν δὲ κομιδὴν οὐκ ἠγάπησαν, οὐδ' ὑπέμειναν ἐν πίστει χείρονες ἀνδρὸς ἑνὸς γενέσθαι. Πάλιν οὖν τὰς κόρας ἐκέλευσαν ἀπιέναι, καὶ συνέπεμψαν αὐταῖς ἀγωγούς· οἷς διαβᾶσι τὸν ποταμὸν ἐνέδραν ὑφεὶς ὁ Ταρ-
E κύνιος, ὀλίγον ἐδέησεν ἐγκρατὴς γενέσθαι τῶν παρθένων. Ἡ μὲν οὖν τοῦ ὑπάτου Ποπλικόλα θυγάτηρ

D. 8. χείρονες] Sic E. T. P. Vulgo χείρονος.

gines, quas obſides datas dixi, cum ſub lavandi præſcriptione ad fluvium aliquantulum longius a caſtris proceſſiſſent, una earum Clœlia ipſas exhortante, tuniculis circum capita alligatis, auſæ ſunt fluvium vaſtum atque vorticibus profundis periculoſum magno cum labore tranare, invicem ſeſe tenentes, ægreque ulteriorem in ripam evaſerunt. Sunt qui Clœliam dicant nactam equum, eo conſcenſo ſenſim tranſiviſſe, aliiſque natantibus ducem ſe præbuiſſe, et animum verbis adjeciſſe, opemque tuliſſe. Quo hi utantur argumento, mox dicetur. Romani ubi eas ſalvas rediiſſe videre, audaciam quidem et virtutem admirati ſunt, reditum tamen non probaverunt, neque vinci ſe fide ab uno homine ſuſtinuerunt. Itaque additis qui deducerent in caſtra eas Porſenæ remiſerunt: cum tranſiiſſent fluvium, parum abfuit quin per inſidias a Tarquinio interciperentur. Conſulis ta-

Οὐαλερία μετὰ τριῶν παρεξέφυγεν οἰκετῶν εἰς τὸ τοῦ Πορσίνα στρατόπεδον, τὰς δὲ ἄλλας ὁ τοῦ Πορσίνα υἱὸς Ἄῤῥους ταχὺ προσβοηθήσας ἐξείλετο τῶν πολεμίων. Ἐπεὶ δὲ ἤχθησαν, ἰδὼν αὐτὰς ὁ Πορσίνας, ἐκέλευσεν εἰπεῖν ἥτις ἐστὶν ἡ προστρεψαμένη καὶ κατάρξασα τοῦ βουλεύματος. Αἱ μὲν οὖν ἄλλαι φοβηθεῖσαι περὶ τῆς Κλοιλίας ἐσιώπησαν· αὐτῆς δὲ τῆς Κλοιλίας εἰπούσης ἑαυτὴν, ἀγασθεὶς ὁ Πορσίνας, ἐκέλευσεν ἵππον ἀχθῆναι κεκοσμημένον εὐπρεπῶς, καὶ τῇ Κλοιλίᾳ δωρησάμενος, F
ἀπέπεμψεν εὐμενῶς καὶ φιλανθρώπως πάσας. Τοῦτο ποιοῦνται σημεῖον οἱ πολλοὶ τοῦ τὴν Κλοιλίαν ἵππῳ διεξελάσαι τὸν ποταμόν. Οἱ δὲ, οὔ φασιν, ἀλλὰ τὴν ῥώμην θαυμάσαντα καὶ τὴν τόλμαν αὐτῆς ὡς κρείττονα γυναικὸς, ἀξιῶσαι δωρεᾶς ἀνδρὶ πολεμιστῇ πρεπούσης. Ἀνέκειτο γοῦν ἔφιππος εἰκὼν γυναικὸς ἐπὶ τῆς ὁδοῦ τῆς ἱερᾶς λεγομένης, ἣν οἱ μὲν τῆς Κλοιλίας, οἱ δὲ τῆς Οὐαλερίας λέγουσιν εἶναι.

ιε'. ΜΙΚΚΑ ΚΑΙ ΜΕΓΙΣΤΩ.

Ἀριστότιμος Ἠλείοις ἐπαναστὰς τύραννος ἴσχυε μὲν

men Poplicolæ filia Valeria cum tribus famulis occupavit in caſtra Porſenæ effugere: reliquas Porſenæ filius armis ſtatim ſuppetiis latis ex hoſtibus eripuit. Adductas ad ſe conſpicatus Porſena, quæſivit quænam autor fuiſſet hujus conſilii. Tum Clœlia, reliquis, quod ei metuerent tacentibus, ipſa de ſeſe indicium profeſſa eſt. Magna autem admiratione permotus Porſena, equum egregie ornatum adduci juſſit, eo Clœliam donavit, univerſaſque benigne et humane ſuis remiſit. Hoc ſigno multi docere volunt, Clœliam equo amnem trajeciſſe. Alii hoc negant, ſed Porſenam aiunt, virtutem ejus audaciamque muliebri majorem admiratum, dignatum eſſe dono quod bellatori conveniret viro. Sane equeſtris ſtatua poſita eſt mulieris in via ſacra: ab aliis ea Clœliæ, ab aliis Valeriæ attribuitur.

XV. Micca et Megisto.

Ariſtotimus auxilio regis

δι' Ἀντιγόνου τοῦ βασιλέως, ἐχρῆτο δὲ τῇ δυνάμει πρὸς
251 οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον. Καὶ γὰρ αὐτὸς ἦν φύσει
θηριώδης, καὶ τοῖς φυλάττουσι τὴν ἀρχὴν καὶ τὸ σῶμα
βαρβάροις μιγάσι δουλεύων ὑπὸ φόβου, πολλὰ μὲν
ὑβριστικά, πολλὰ δὲ ὠμὰ τοὺς πολίτας ὑπ' αὐτῶν
περιεώρα πάσχοντας. Οἷον ἦν καὶ τὸ Φιλοδήμου πάθος.
Ἔχοντος γὰρ αὐτοῦ θυγατέρα καλὴν ὄνομα Μίκκαν,
ἐπεχείρησέ τις τῶν περὶ τὸν τύραννον ξεναγῶν ὄνομα
Λεύκιος, ὕβρει μᾶλλον ἢ ἔρωτι συγγενέσθαι· καὶ πέμψας
ἐκάλει τὴν παρθένον. Οἱ μὲν οὖν γονεῖς τὴν ἀνάγκην
ὁρῶντες, ἐκέλευον βαδίζειν· ἡ δὲ παῖς οὖσα γενναία καὶ
B μεγαλόφρων, ἐδεῖτο τοῦ πατρὸς περιπλεκομένη καὶ καθι-
κετεύουσα, μᾶλλον αὐτὴν περιιδεῖν ἀποθανοῦσαν ἢ τὴν
παρθενίαν αἰσχρῶς καὶ παρανόμως ἀφαιρεθεῖσαν. Καὶ δια-
τριβῆς γενομένης, σπαργῶν καὶ μεθύων ὁ Λεύκιος αὐτὸς
ἐξανέστη, μεταξὺ πίνων, πρὸς ὀργήν· καὶ τὴν Μίκκαν εὑρὼν
ἐν τοῖς γόνασι τοῦ πατρὸς τὴν κεφαλὴν ἔχουσαν, ἐκέλευεν

Antigoni tyrannide, quam in Eleos occupaverat, conſtabilita, inique admodum atque immoderate ſua uſus eſt potentia: quippe homo natura ferus, barbariſque ſtipatoribus corpus tyrannidemque ejus tutantibus convenis ſerviens præ metu, multa ab iis in cives contumelioſe, multa crudeliter facta diſſimulabat. Quo in numero fuit Philodemi calamitas. Hujus enim filiam formoſam, Miccam nomine, quidam tyranni peregrinis militibus dux præfectus Lucius, contumeliæ inferendæ magis ſtudio quam amore ductus, cum cuperet corrumpere, miſit qui eam arceſſerent. Parentes quidem neceſſitatem animadvertentes, ire eam jubebant. Micca vero, ut erat generoſa indole, animoque magno, patrem amplexa ſupplexque obſecrare, pateretur potius mori ipſam, quam ita turpiter atque injuſte virginitate ſpoliari. Interjecta mora, ipſe Lucius libidine ac vino ebrius, inter potandum proſiluit iratus: cumque Miccam inveniſſet caput inter patris habentem genua, ſequi ſe juſſit: de-

αὐτῷ συνακολουθεῖν· οὐ βουλομένης δὲ τὸ χιτώνιον περι-
ῤῥήξας ἐμαστίγου γυμνὴν, αὐτὴν μὲν ἐγκαρτεροῦσαν σιωπῇ
ταῖς ἀλγηδόσιν· ὁ δὲ πατὴρ καὶ ἡ μήτηρ, ὡς οὐδὲν
ἀντιβολοῦντες καὶ δακρύοντες ἐπέραινον, ἐτράποντο πρὸς C
θεῶν καὶ ἀνθρώπων ἀνάκλησιν, ὡς δεινὰ καὶ παράνομα
πάσχοντες. Ὁ δὲ βάρβαρος, ἐκμανεὶς παντάπασιν ὑπὸ
τοῦ θυμοῦ καὶ μέθης, ἀποσφάττει τὴν παρθένον ὡς ἔτυ-
χεν ἐν τοῖς κόλποις τοῦ πατρὸς ἔχουσα τὸ πρόσωπον.
Ἀλλ' οὐδὲ τούτοις ὁ τύραννος ἐκάμπτετο, πολλοὺς δὲ
ἀνῄρει, καὶ πλείονας ἐφυγάδευεν· ὀκτακόσιοι γοῦν λέγονται
καταφυγεῖν ἐπ' Αἰτωλοὺς, δεόμενοι τὰς γυναῖκας αὐτοῖς
καὶ τὰ νήπια τῶν τέκνων κομίσασθαι παρὰ τοῦ τυράννου.
Ὀλίγῳ δ' ὕστερον αὐτὸς ἐκήρυξε τὰς βουλομένας γυναῖ-
κας ἀπιέναι πρὸς τοὺς ἄνδρας ὅσον βούλονται τῶν γυ-
ναικείων χρημάτων ἐπιφερομένας. Ἐπεὶ δὲ πάσας
ᾔσθετο μεθ' ἡδονῆς τὸ κήρυγμα δεδεγμένας (ἐγένοντο γὰρ
ὑπὲρ ἑξακόσιαι τὸ πλῆθος) ἐκέλευσεν ἀθρόας ἡμέρᾳ D
ῥητῇ βαδίζειν, ὡς τὴν ἀσφάλειαν αὐτὸς παρέξων.

trectanti veſtem deripuit, flagriſque eam cecidit, tacite dolores perferentem; cum pater et mater poſtquam deprecando et flendo nihil ſe proficere ſentirent, deos hominesque teſtarentur atrocia ſe et iniqua pati. Tandem barbarus ira et crapula plane in furorem actus, virginem, ut in patris tum ſinu faciem habebat, confodit. Neque hoc animum tyranni flexit facinus: ſed et multos interfecit, et plures in exſilium ejecit; nam octingenti ad Ætolos veniſſe dicuntur extorres, flagitantes ut ſe in uxoribus et liberis a tyranno auferendis juvarent. Paulo poſt Ariſtotimus ultro propoſuit edictum, quo mulieribus, ſi quæ vellent, permittebat proficiſci ad maritos, ac de dotalibus bonis quantum vellent ſecum ferre. Ubi ſenſit omnibus gratum eſſe hoc edictum, (nam amplius ſexcenti erant quæ ſe ad iter parabant) diem definiit ad quam confertim irent, tutum ſe iter ipſis præbiturum.

Ἐνστάσης δὲ τῆς ἡμέρας, αἱ μὲν ἐπὶ τὰς πύλας ἠθροίζοντο τὰ χρήματα συσκευασάμεναι, καὶ τῶν τέκνων τὰ μὲν ἐν ταῖς ἀγκάλαις φέρουσαι, τὰ δὲ ἐπὶ τῶν ἁμαξῶν ἔχουσαι, καὶ περιέμενον ἀλλήλας. Ἄφνω δὲ πολλοὶ τῶν τοῦ τυράννου ἐπεφέροντο, μένειν βοῶντες ἔτι πόρρωθεν· ὡς δὲ ἐγγὺς ἐγένοντο, τὰς μὲν γυναῖκας ἐκέλευον ἀναχωρεῖν ὀπίσω, τὰ δὲ ζεύγη καὶ τὰς ἁμάξας ὑποστρέψαντες ἔωσαν εἰς αὐτάς, καὶ διὰ μέσων ἀφειδῶς διήλαυνον, οὔτε
E ἀκολουθεῖν οὔτε μένειν ἐῶντες, οὔτε τοῖς νηπίοις βοηθεῖν ἀπολλυμένοις, (τὰ μὲν γὰρ ἐκπίπτοντα τῶν ἁμαξῶν, τὰ δ' ὑποπίπτοντα διεφθείροντο) βοῇ καὶ μάστιξιν ὥσπερ πρόβατα τῶν μισθοφόρων ἐπειγόντων ἀνατρεπομένας ὑπ' ἀλλήλων, ἕως εἰς τὸ δεσμωτήριον ἐνέβαλον ἁπάσας· τὰ δὲ χρήματα πρὸς τὸν Ἀριστότιμον ἀπεκομίσθη. Χαλεπῶς δὲ τῶν Ἠλείων ἐπὶ τούτοις ἐχόντων, αἱ περὶ τὸν Διόνυσον ἱεραὶ γυναῖκες, ἃς ἑκκαίδεκα καλοῦσιν, ἱκετηρίας καὶ στέμματα τῶν ἀπὸ τοῦ θεοῦ λα-

E. 4. ἐπειγόντων] Sumpſi a Venet. E. T. P. Vulgo ἐπαγόντων.

ſimulans. Cum dies appetiiſſet, et mulieres ad portam convenirent, pecuniamque congererent, et pueros aliæ in ulnis geſtarent, aliæ curribus imponerent, ac ſe invicem præſtolarentur; ſubito multi a tyranno immiſſi ſatellites, eminus clamore elato eas manere juſſerunt: cum autem appropinquaſſent, mulieribus ut retro abirent imperaverunt, curruſque et vehicula invertentes per ipſas retro impulerunt, nihil cuiquam parcentes, et neque abire, neque manere, aut infantibus opitulari ſinentes: quorum alii curribus excidentes peribant, alii curribus ſupervehentibus delapſos elidebantur: veluti oves, clamore et flagris eas urgentibus mercenariis militibus, ſubverſas a ſe invicem, univerſas in carcerem compulerunt, et pecuniam ad Ariſtotimum retulerunt. Hanc rem cum graviter ferrent Elei, Baccho ſacræ mulieres, quas *Sedecim* vocant, ſupplicibus ramis et ſtemma-

βοῦσαι, περὶ τὴν ἀγορὰν ἀπήντησαν τῷ Ἀριστοτίμῳ· καὶ, τῶν δορυφόρων ὑπὸ αἰδοῦς διαστάντων, ἔστησαν τὸ- F
πρῶτον σιωπῇ ὁσίως προϊσχόμεναι τὰς ἱκετηρίας· ἐπεὶ δὲ ἐγένοντο φανεραὶ δεόμεναι καὶ παραιτούμεναι τὴν ὀργὴν ὑπὲρ τῶν γυναικῶν, παροξυνθεὶς πρὸς τοὺς δορυφόρους, καὶ κεκραγὼς ὅτι προσελθεῖν εἴασαν αὐτὰς, ἐποίησε τὰς μὲν ὠθοῦντας, τὰς δὲ τύπτοντας ἐξελάσαι ἐκ τῆς ἀγορᾶς, ἑκάστην δὲ δυσὶ ταλάντοις ἐζημίωσε. Γενομένων δὲ τούτων, ἐν μὲν τῇ πόλει συνέστησε πρᾶξιν ἐπὶ τὸν τύραννον Ἑλλάνικος, ἀνὴρ διὰ γῆρας ἤδη καὶ δύο τέκνων θάνατον, ὡς οὐδὲν ἂν πράξας, ὑπὸ τοῦ τυράννου περιορώμενος. Ἐκ δ' Αἰτωλίας διαπεράσαντες οἱ φυγάδες, καταλαμβάνουσι τῆς χώρας ἐπιτήδειον ἐμπολεμεῖν ἔρυμα τὴν Ἀμυμώνην, καὶ συχνοὺς προσεδέχοντο τῶν πολιτῶν ἐκ τῆς Ἤλιδος ἀποδιδράσκοντας. Ταῦτα δὲ δείσας ὁ Ἀριστότιμος, εἰσῆλθε πρὸς τὰς γυναῖκας, καὶ νομίζων φόβῳ μᾶλλον ἢ χάριτι διαπράξεσθαι, προσέταττε

tibus dei ſumptis, in foro obvias ſeſe Ariſtotimo tulerunt, decedentibuſque ob reverentiam ſtipatoribus, tacitæ primum adſtiterunt, ſupplicatorias frondes prætendentes. At Ariſtotimus, ſimul atque deprecari eas pro mulieribus ſenſit, ſtipatoribus iratus et cum clamore exprobrans quod eas paſſi eſſent accedere, effecit ut alias trudendo, alias verberando e foro exigerent: unamquanque porro duobus talentis mulctavit. His ita actis, Hellanicus Elide conſilium de opprimendo tyranno agitavit, re cum aliis compoſita: homo quem, ut ſenem et duobus filiis orbatum, ideoque nihil quicquam acturum, tyrannus negligebat. Simul etiam exſules ex Ætolia trajicientes, in agro Eleo Amymonam, locum commodam arcem bello futurum, occuparunt, compluresque civium Elide profugientes ad ſe receperunt. Ariſtotimus, cui metum iſta objiciebant, ad captivas ſe contulit, remque terrendo ſe facilius quam gratia confecturum ra-

πέμπειν καὶ γράφειν αὐτὰς τοῖς ἀνδράσιν ὅπως ἀπίωσιν ἐκ τῆς χώρας· εἰ δὲ μή, κατασφάξειν ἠπείλει πάσας αἰκισάμενος, καὶ προανελὼν τοὺς παῖδας. Αἱ μὲν οὖν
B ἄλλαι, πολὺν χρόνον ἐφεστῶτος καὶ κελεύοντος εἰπεῖν εἴ τι πράξουσι τούτων, οὐδὲν ἀπεκρίναντο πρὸς ἐκεῖνον, ἀλλὰ προσέβλεψαν ἀλλήλαις σιωπῇ, καὶ δι᾽ εὐνοίας, ἀνθομολογούμεναι τὸ μὴ δεδιέναι, μηδὲ ἐκπεπλῆχθαι τὴν ἀπειλήν. Μεγιστὼ δὲ ἡ Τιμολέοντος γυνή, καὶ διὰ τὸν ἄνδρα καὶ τὴν ἀρετήν, ἡγεμονικὴν ἔχουσα τάξιν, διαναστῆναι μὲν οὐκ ἠξίωσεν, οὐδὲ εἴασε τὰς ἄλλας· καθεζομένη δ᾽ ἀπεκρίνατο πρὸς αὐτόν, Εἰ μὲν ἦς ἀνὴρ φρόνιμος, οὐκ ἂν διελέγου γυναιξὶ περὶ ἀνδρῶν, ἀλλὰ πρὸς ἐκείνους ἄν, ὡς κυρίους ἡμῶν, ἔπεμπες, ἀμείνονας λόγους εὑρὼν ἢ δι᾽ ὧν ἡμᾶς ἐξηπάτησας· εἰ
C δὲ αὐτὸς ἐκείνους πεῖσαι ἀπεγνωκώς, δι᾽ ἡμῶν ἐπιχειρεῖς παραλογίζεσθαι, μήτε ἡμᾶς ἔλπιζε πάλιν ἐξαπατήσειν,

B. 3. καὶ δι᾽ εὐνοίας] Non ſatisfacit ſententiæ. Credo auctorem ſcripſiſſe καὶ [illegible].

tus, mandavit ut miſſis ad maritos litteris diſcedere ex ea regione juberent: ni facerent, univerſas ſe contumelioſe vexatas necaturum, liberis ante interfectis, minitans. Cum aliquandiu inſtaret atque dicere juberet an facturæ eſſent quod poſtulabat, reliquæ nihil reſpondentes, intuitæ ſunt ſeſe mutuo, tacita invicem benevolentia ſignificantes, nihil ſe metuere, neque minis his terreri. At Megiſto Timoleontis uxor, et cum mariti, tum propriæ virtutis cauſa cæterarum facile princeps, non dignata aſſurgere, neque reliquas paſſa, ſedens tyranno reſpondit. *Si vir eſſes cordatus, non utique de viris cum mulieribus colloquereris: ſed ad ipſos, ut qui in nos jus habent, miſiſſes meliori inventa oratione, quam qua nos decepiſti: quod ſi autem deſperato te iis perſuaſurum, noſtra opera imponere illis moliris: neque ſperare debes te nobis denuo verba daturum, et abſit tam nullius ii conſilii*

μήτε ἐκεῖνοι κακῶς οὕτω φρονήσαιεν, ὥστε, φειδόμενοι παιδαρίων καὶ γυναικῶν, ἐγκαταλιπεῖν τὴν τῆς πατρίδος ἐλευθερίαν· οὐ γὰρ τοσοῦτο κακὸν αὐτοῖς ἡμᾶς ἀπολέσαι, μηδὲ νῦν ἔχουσαι, ὅσον ἀγαθὸν ἐξελέσθαι τῆς σῆς ὠμότητος καὶ ὕβρεως τοὺς πολίτας. Ταῦτα τῆς Μεγιστοῦς λεγούσης, οὐκ ἀνασχόμενος ὁ Ἀριστότιμος, ἐκέλευσε τὸ παιδίον αὐτῆς, ὡς ἀποκτενῶν ἐν ὄψει, κομισθῆναι. Ζητούντων δὲ τῶν ὑπηρετῶν ἀναμεμιγμένον ἐν τοῖς
ἄλλοις παίζουσι καὶ διαπαλαίουσιν, ἡ μήτηρ ὀνομαστὶ προσ- D
καλεσαμένη, Δεῦρο, ἔφη, τέκνον, πρὶν αἰσθέσθαι καὶ φρονεῖν, ἀπαλλάγηθι τῆς πικρᾶς τυραννίδος· ὡς ἐμοὶ βαρύτερόν ἐστιν δουλεύοντά σε παρ' ἀξίαν ἐφορᾶν, ἢ ἀποθνήσκοντα. Τοῦ δὲ Ἀριστοτίμου σπασαμένου τὴν μάχαιραν ἐπ' αὐτὴν ἐκείνην, καὶ μετ' ὀργῆς ἐπιφερομένου, τῶν συνήθων τις αὐτοῦ, Κύλων ὄνομα, πιστὸς δοκῶν εἶναι, μισῶν δὲ καὶ μετέχων τῆς συνωμοσίας τῆς περὶ τὸν Ἑλλάνικον, ἀντέστη, καὶ ἀπέστρεψε δεόμενος, καὶ λέγων ἀγεννὲς εἶναι καὶ γυναικῶδες, οὐκ ἀνδρὸς ἡγεμονικοῦ καὶ

ut ſint, ut dum parcant mulieribus et infantibus ſuis, patriæ prodant libertatem; non enim tantum mali eſt nos amittere, quibus quidem alias carent, quantum boni eſt cives tua ſævitia et inſolentia liberare. Hæc fata Megiſtone Ariſtotimus animi impos, filium ejus adferri illico juſſit, ante oculos matris eum necaturus. Quem cum quærerent miniſtri inter alios ludentem et lucta ſe exercentem, mater eum nominatim vocaus: *Ades huc,* inquit, *fili, et antequam ſentias et intelligas, liberare acerba tyrannide; mihi enim difficilius fuerit ſervientem te indigne, quam morientem cernere.* Ariſtotimum vero ſtricto gladio ipſam jam matrem impetiturum, iraque concitum in eam ruentem, Cylo unus de familiaribus, cui tyrannus fidem habebat, cum quidem is ipſum odiſſet, ſociuſque factæ ab Hellanico conſpirationis eſſet, reſtitit, eumque avertit orans, monenſque, Indignum fore hoc ipſo, et muliebre factum, non conveniens principi

πράγμασι χρῆσθαι μεμαθηκότος, τὸ ἔργον· ὥστε μόλις ἔπειτα γενόμενον τὸν Ἀριστότιμον ἀπελθεῖν. Γίνεται δὲ σημεῖον αὐτῷ μέγα· μεσημβρία μὲν γὰρ ἦν, καὶ μετὰ τῆς γυναικὸς ἀνεπαύετο· παρασκευαζομένων δὲ τῶν περὶ τὸ δεῖπνον, αἰετὸς μετέωρος ὤφθη δινούμενος ὑπὲρ τῆς οἰκίας, εἶθ' ὥσπερ ἐκ προνοίας καὶ στοχασμοῦ, λίθον ἀφῆκεν εὐμεγέθη κατ' ἐκεῖνο τῆς στέγης τὸ μέρος, οὗ τὸ δωμάτιον ἦν ἐν ᾧ κατακείμενος ἐτύγχανεν ὁ Ἀριστότιμος. Ἅμα δὲ ἄνωθεν ψόφου μεγάλου καὶ κραυγῆς ἔξωθεν ὑπὸ τῶν ἰδόντων τὸν ὄρνιν γενομένης, ἐκπλαγεὶς καὶ πυθόμενος τὸ γεγονός, μετεπέμψατο μάντιν ᾧ χρώμενος διετέλει κατ' ἀγοράν, καὶ διηρώτα περὶ τοῦ σημείου συντεταραγμένος. Ὁ δὲ ἐκεῖνον μὲν παρεκάλει, ὡς τοῦ Διὸς αὐτὸν ἐξεγείροντος καὶ βοηθοῦντος· οἷς δὲ ἐπίστευε τῶν πολιτῶν, ἔφρασεν ὅσον ἤπω τὴν δίκην αἰωρουμένην ὑπὲρ κεφαλῆς ἐμπεσεῖσθαι τῷ τυράννῳ. Διὸ καὶ τοῖς περὶ τὸν Ἑλλάνικον ἔδοξε μὴ μέλλειν, ἀλλ' ἐπιτίθεσθαι τῇ ὑστεραίᾳ. Τῆς δὲ νυκτὸς Ἑλλάνικος ἐδόκει κατὰ τοὺς

viro et rerum gerendarum gnaro; itaque vix tandem Ariſtotimus, cum ad ſe rediiſſet, inde abiit. Magnum vero oſtentum ei factum eſt. Cum enim meridie cum uxore cubaret, prandiumque eſſet paratum, viſa eſt aquila in aëre ſe librans ſupra domum, ac quaſi prudens et dedita opera lapidem juſtæ magnitudinis in eam partem tecti dejecit, ubi erat cubiculum in quo jacebat Ariſtotimus. Simul autem deſuper ingenti ſonitu exiſtente, et foris clamore ſublato ab his qui avem viderant, perterritus tyrannus re cognita vatem accivit, quo ſolebat aſſidue in foro uti, perturbatuſque interrogavit quid iſto ſigno portenderetur. Vates bono ipſum eſſe animo juſſit, quod excitatus et adjutus eſſet a Jove: civium autem quibus fidebat, iis dixit, vindictam tyranni capiti impendere, et jamjam illapſuram. Itaque etiam Hellanico viſum eſt non cunctandum, ſed poſtridie rem gerendam. Nocte iſta Hellanicus per quietem imaginatus eſt alte-

ὕπνους τῶν τεθνηκότων υἱῶν τὸν ἕτερον λέγειν αὐτῷ παρα-
στάντα, Τί πέπονθας, ὦ πάτερ, καθεύδων; αὔριον δέ σε
δεῖ τῆς πόλεως στρατηγεῖν. Οὗτός τε δὴ διὰ τὴν ὄψιν 253
εὐθαρσὴς γεγενημένος, παρεκάλει τοὺς ἑτέρους. Ὅ, τε
Ἀριστότιμος πυθόμενος Κρατερὸν αὐτῷ βοηθοῦντα μετὰ
πολλῆς δυνάμεως ἐν Ὀλυμπίᾳ καταστρατοπεδεύειν,
οὕτως ἐξεθάρσησεν ὥστε ἄνευ δορυφόρων εἰς τὴν ἀγορὰν
προελθεῖν μετὰ τοῦ Κύλωνος. Ὡς οὖν συνεῖδε τὸν καιρὸν
ὁ Ἑλλάνικος, ὃ μὲν ἦν σημεῖον αὐτῷ πρὸς τοὺς μέλ-
λοντας ἐπιχειρεῖν συγκείμενον, οὐκ ἔδωκε, λαμπρᾷ δὲ
τῇ φωνῇ, καὶ ἅμα τὰς χεῖρας προτείνων ἀμφοτέρας,
Τί μέλλετε ἄνδρες ἀγαθοὶ καλὸν τὸ θέατρον ἐν μέσῳ
τῆς πατρίδος ἐναγωνίσασθαι; Πρῶτον μὲν οὖν ὁ Κύ- B
λων σπασάμενος τὸ ξίφος παίει τινὰ τῶν ἑπομένων τῷ
Ἀριστοτίμῳ· Θρασυβούλου δὲ καὶ Λάμπιδος ἐξ ἐναντίας
ἐπιφερομένων, ἔφθη μὲν ὁ Ἀριστότιμος εἰς τὸ τοῦ Διὸς ἱερὸν
καταφυγών· ἐκεῖ δὲ ἀποκτείναντες αὐτὸν, καὶ τὸ σῶμα

A. 1. Οὗτος] Præſtat Οὕτως.

rum filiorum ſuorum mortuorum ſibi adſtare, ac dixiſſe: *Pater, quid tibi accidit ut dormires? cras te civitatis ducem eſſe oportet.* Hoc ille ſomnio confirmatus, ſocios ad inſtitutum exequendum cohortatus eſt. Et Ariſtotimus audito Craterum auxilii ſibi ferendi gratia Olympiæ cum magno exercitu caſtra habere, tantum concepit audaciæ, ut abſque ſtipatoribus in forum Cylone comitante deſcenderit. Hellanicus occaſione conſpecta, teſſeram, qua data ad irruendum ſuos e compoſito fuerat hortaturus, non protulit: ſed ambas intendens manus, clara voce, *Quid ceſſatis*, inquit, *viri boni? præclarum eſt hoc theatrum in medio patriæ certaturis.* Primus ibi Cylo enſe ſtricto quendam comitum Ariſtotimi feriit. Thraſybulo autem et Lampide adverſis ſeſe ei inferentibus, Ariſtotimus fuga in Jovis templum evaſit. Hic eum interfecerunt, et cadavere in forum protracto, cives ad

προσβαλόντες εἰς τὴν ἀγορὰν, ἐκάλουν τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν. Οὐ μὴν ἔφθησάν γε πολλοὶ τὰς γυναῖκας· εὐθὺς γὰρ ἐξέδραμον μετὰ χαρᾶς καὶ ὀλολυγμοῦ, καὶ περιστᾶσαι τοὺς ἄνδρας ἀνέδουν καὶ κατέστεφον· εἶτα τοῦ πλήθους ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου ῥυέντος, ἡ μὲν C γυνὴ συγκλείσασα τὸν θάλαμον, αὐτὴν ἀνήρτησε. Δύο δ' ἦσαν αὐτῷ θυγατέρες, παρθένοι μὲν ἔτι, κάλλισται δὲ τὴν ὄψιν, ἤδη γάμων ὥραν ἔχουσαι· ταύτας συλλαβόντες εἷλκον ἔξω, πάντως μὲν ἀνελεῖν, αἰκίσασθαι δὲ καὶ καθυβρίσαι πρότερον ἐγνωκότες. Ἀπαντήσασα δὲ ἡ Μεγιστὼ μετὰ τῶν ἄλλων, ἐβόα δεινὰ ποιεῖν αὐτοὺς, εἰ δῆμος ἀξιοῦντες εἶναι, ταῦτα τολμῶσι καὶ ἀσελγαίνουσι τοῖς τυράννοις ὅμοια. Ἐντρεπομένων δὲ πολλῶν τὸ ἀξίωμα τῆς γυναικὸς παῤῥησιαζομένης καὶ δακρυούσης, ἔδοξεν ἀφελεῖν τὴν ὕβριν, αὐτὰς δ' ἐᾶσαι δι' αὐτῶν ἀποθανεῖν.

D Ὡς δ' οὖν ἀναστρέψαντες ἔνδον ἐκέλευον εὐθὺς ἀποθνήσκειν τὰς παρθένους, ἡ πρεσβυτέρα Μυρὼ λύσασα τὴν ζώνην, καὶ βρόχον ἐνάψασα, τὴν ἀδελφὴν κατησπάζετο,

libertatem vocarunt. Neque vero multum anteverterunt mulieres ſuas; ſtatim enim eæ procurrerunt cum gaudio et ejulatu, viriſque circumfuſæ eos coronaverunt. Deinde multitudine ad tyranni domum confluente, uxor ejus cubiculo clauſo ſeſe ſuſpendio vita eduxit. Erant tyranno duæ filiæ, virgines adhuc et forma pulcherrima, jamque nuptiis tempeſtivæ: has Elei captas foras protraxerunt, omnino quidem necaturi, ſed prius excruciare ac contumeliis afficere volentes. Quibus occurrens cum aliis Megiſto vociferata eſt, Indignum vero eos facinus meditari, qui populum ſe profitentes liberum, facinora libidinoſorum tyrannorum imitentur. Multis dignitatem mulieris reverentibus, libere loquentis ac plorantis, placuit omiſſis contumeliis, ipſis vita exeundi permittere poteſtatem. Cum intro adductas virgines juſſiſſent abſque mora necem ſibi conſciſcere, major natu Myro cum zonam ſolutam collo circundediſſet, ſo-

καὶ παρεκάλει περιέχειν καὶ ποιεῖν ἅπερ ἂν αὐτὴν θεάσηται ποιοῦσαν, Ὅπως ἄν, ἔφη, μὴ ταπεινῶς μηδ' ἀναξίως ἑαυτῶν καταστρέψωμεν. Τῆς δὲ νεωτέρας δεομένης αὐτῇ παρεῖναι προτέρᾳ ἀποθανεῖν, καὶ τῆς ζώνης ἀντιλαμβανομένης, Οὐδὲν ἄλλο πώποτε, εἶπεν, οὐδὲν ἤρνημαί σοι δεομένῃ· καὶ ταύτην οὖν λάβε τὴν χάριν· ἐγὼ δὲ ὑπομενῶ καὶ τλήσομαι τοῦ θανάτου βαρύτερον, τὸ σέ, φιλτάτη, πρότερον ἰδεῖν θνήσκουσαν. Ἐκ τούτου ἡ μὲν ἀδελφὴν αὐτὴ διδάξασα τῷ τραχήλῳ περιβαλέσθαι τὸν βρόχον, ὡς ᾔσθετο τεθνηκυῖαν, καθεῖλε καὶ κατεκάλυψεν· αὐτὴν δὲ τὴν Μεγιστὼ παρεκάλεσεν ἐπιμεληθῆναι, καὶ μὴ περιιδεῖν αἰσχρῶς, ἐπειδὰν ἀποθάνῃ, τεθεῖσαν. Ὥστε μηδένα πικρὸν μηδὲ μισοτύραννον οὕτω γενέσθαι τῶν παρόντων, ὃς οὐκ ἔκλαυσεν οὐδὲ κατηλέησεν τὴν τῶν παρθένων εὐγένειαν.

ΤΩΝ μὲν οὖν κοινῇ πεπραγμένων γυναιξὶ μυρίων ὄντων, ἱκανὰ ταῦτα παραδείγματα· τὰς δὲ καθ' ἑκάστην

rorem conſalutavit, hortataque eſt ut ſe imitaretur, *Ne*, inquiens, *abjecte nobiſque indigne finiamus vitam.* Juniore precante ut ſibi prius moriendi copiam faceret, cingulumque apprehendente, *Neque ante*, inquit, *quicquam tibi oranti denegavi, et nunc hanc quoque tibi facio gratiam: ego autem id, quod morte ipſa mihi eſt gravius, tolerabo, ſpectans te, cariſſima, me prius morientem.* Proinde cum docuiſſet ſororem cingulo cervicem elidere, ut mortuam vidit, depoſuit atque texit: ipſa autem Megiſtonem oravit, ut curam ſui gereret, neque pateretur mortuam ſe indecore collocari. Itaque inter eos qui aderant nemo fuit ita acerbus, nemo ita infenſus tyrannis, qui non defleret aut miſeraretur virginum egregiam indolem.

HÆC exempla rerum a mulieribus publice præclare geſtarum, de innumeris pauca, ſufficiant. Singularum autem

b ἀρετὰς, ὅπως ἂν ἐπίῃ σποράδην ἀναγράφομεν, οὐδὲν οἰόμενοι τῆς κατὰ χρόνον τάξεως δεῖσθαι τὴν ὑποκειμένην ἱστορίαν.

ιϛ΄. ΠΙΕΡΙΑ.

Τῶν εἰς Μίλητον ἀφικομένων Ἰώνων στασιάσαντες ἔνιοι πρὸς τοὺς Νείλεω παῖδας, ἀπεχώρησαν εἰς Μυοῦντα, κἀκεῖ κατῴκουν, πολλὰ κακὰ πάσχοντες ὑπὸ τῶν Μιλησίων· ἐπολέμουν γὰρ αὐτοῖς διὰ τὴν ἀπόστασιν· οὐ μὴν ἀκήρυκτος ἦν οὐδὲ ἀνεπίμικτος ὁ πόλεμος, ἀλλ' ἔν τισιν ἑορταῖς ἐφοίτων εἰς Μίλητον ἐκ τῆς Μυοῦντος αἱ γυναῖκες. Ἦν δὲ Πύθης ἀνὴρ ἐν αὐτοῖς ἐμφανὴς, γυναῖκα μὲν ἔχων Ἰαπυγίαν, θυγατέρα δὲ Πιερίαν. Οὔσης οὖν ἑορτῆς Ἀρτέμιδι καὶ θυσίας παρὰ Μιλησίοις,
54 ἣν Νηληΐδα προσαγορεύουσιν, ἔπεμψε τὴν γυναῖκα καὶ τὴν θυγατέρα, δεηθείσας ὅπως τῆς ἑορτῆς μετάσχωσι. Τῶν δὲ Νείλεω παίδων ὁ δυνατώτατος ὄνομα Φρύγιος τῆς Πιερίας ἐρασθεὶς, ἐνενόει τί ἂν αὐτῇ μάλιστα γένοιτο παρ' αὐτοῦ κεχαρισμένον· εἰπούσης δ' ἐκείνης, Εἰ δια-

pulchra facinora ſparſim uti ſeſe nobis offerent referemus: nihil arbitrati temporum ordine præſentem indigere narrationem.

XVI. Pieria.

Ionum, qui Miletum ſe contulerant, nonnulli ob natam cum Nelei filiis diſcordiam Myuntem ſunt profecti: quibus ob defectionem Mileſii bellum multaque damna intulerunt. Neque tamen id bellum omnino induciis commerciiſque carebat, ſed quibuſdam feſtis diebus mulieres Myunte Miletum commeabant. Erat inter Myuntios Pythes quidam vir illuſtris, eique uxor Iapygia, filia Pieria. Is cum feſtivitas Mileti in honorem Dianæ eſſet, et ſacrificium, quod Neleium dicebatur, eo uxorem et filiam miſit, precatas ut ei ſe paterentur intereſſe feſtivitati. Ibi Phrygius Nelei filiorum potentia primus amore Pieriæ flagrans, cogitare cepit quidnam præſtare poſſet ei quam maxime gratum. Illa vero ſignificavit, nihil ſibi fore acceptius, quam

παρέξαιό μοι τὸ πολλάκις ἐνταῦθα καὶ μετὰ πολλῶν βαδίζειν. Συνεὶς οὖν ὁ Φρύγιος δεομένην φιλίας καὶ εἰρήνης τοῖς πολίταις, κατέπαυσε τὸν πόλεμον. Ἦν οὖν ἐν ἀμφοτέραις ταῖς πόλεσι δόξα καὶ τιμὴ τῆς Πιερίας, B ὥστε καὶ τὰς Μιλησίων εὔχεσθαι γυναῖκας ἄχρι νῦν, Οὕτως ἐρᾶν αὐτὰς ὡς Φρύγιος ἠράσθη Πιερίας.

ιζʹ. ΠΟΛΥΚΡΙΤΗ.

Ναξίοις καὶ Μιλησίοις συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τοῦ Μιλησίου γυναῖκα Νέαιραν. Αὕτη γὰρ ἠράσθη Προμέδοντος Ναξίου, καὶ συνέπλευσεν, ὃς ἦν μὲν ξένος τοῦ Ὑψικρέοντος, ἐρασθείσῃ δὲ τῇ Νεαίρᾳ συνῆλθε, καὶ τὸν ἄνδρα φοβουμένην ἀπαγαγὼν εἰς Νάξον, ἱκέτιν τῆς Ἑστίας ἐκάθισεν. Τῶν δὲ Ναξίων οὐκ ἐκδιδόντων, χάριν τοῦ Προμέδοντος, ἄλλως δὲ ποιουμένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. Τοῖς δὲ Μιλησίοις ἄλλοι C τε πολλοὶ, καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνεμάχουν, καὶ μῆκος ἔσχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος· εἶτα ἐπαύσατο δι᾽ ἀρετὴν γυναικός,

ſi efficeret, ut frequenter ſibi Miletum et multis comitatæ venire liceret. Senſit Phrygius, amicitiam ſuis eam civibus ac pacem expetere, bellumque pacavit. Ex eo celebris utraque in urbe, inque honore fuit Pieria: ac mulieres Mileſiæ etiamnum optant ita ſe amari a viris, ut Pieriam amavit Phrygius.

XVII. Polycrita.

Propter Neæram Hypſicreontis Mileſii uxorem bellum inter Naxios et Mileſios ortum fuit. Ea enim cum amaret Promedontem Naxium mariti ſui hoſpitem, corpus cum eo miſcuit, veritaque iram mariti, cum eo in Naxum navigavit. Eam Promedon ſupplicem Veſtæ collocavit. Naxiis autem mulierem ſub præſcriptione ſupplicationis in gratiam Promedontis non dedentibus, bellum quod dixi, conflatum eſt. Mileſiis cum alii multi, tum Ionum ſtudioſiſſime Erythræi auxilia tulerunt, bellumque hoc tractum magnis calamitatibus, tandem virtute mulieris finitum eſt, ſicuti cepe-

ὡς συνέστη διὰ μοχθηρίαν. Διόγνητος γὰρ ὁ τῶν Ἐρυθραίων στρατηγὸς, ἔχων καὶ πεπιστευμένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλὴν, καὶ γυναῖκας ἐλευθέρας καὶ παρθένους ἔλαβεν, ὧν μιᾶς Πολυκρίτης ἐρασθεὶς εἶχεν αὐτὴν οὐχ ὡς αἰχμάλωτον, ἀλλ' ἐν τάξει γαμετῆς γυναικός. Ἑορτῆς δὲ τοῖς Μιλησίοις καθηκούσης ἐν τῇ στρατιᾷ, καὶ πρὸς πόσιν ἁπάντων καὶ συνουσίας τετραμμένων, ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη, Μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. Ἐπιτρέψαντος δὲ ἐκείνου καὶ κελεύσαντος, ἐνέβαλε μολίβδινον γραμματίδιον εἰς πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς ὅπως αὐτοὶ μόνοι καταναλώσωσιν ἃ ἔπεμψε. Οἱ δ' ἐντυχόντες τῷ μολίβδῳ, καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόντες, κελευούσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προσήγγειλαν τοῖς στρατηγοῖς, καὶ παρώρμησαν ἐξελθεῖν

rat mulieris ob pravitatem. Diognetus Erythræorum dux munitionem quandam ſibi commiſſam tenebat, opportune admodum contra Naxiorum urbem ſitam; itaque et magnam Naxiis prædam abſtulit, et mulieres ac virgines liberas. Harum unam, nomine Polycritam, amore captus, ſecum non ut captivam, ſed uxoris loco habuit. Evenit ut in caſtris Mileſiorum dies ageretur feſtus: ibi cum omnes poculis eſſent ac conviviis dediti, rogavit Diognetum Polycrita, ut liceret ſibi fratribus partes placentarum mittere. Cumque is permitteret ac juberet, plumbeam tabellam placentæ inſeruit, mandato ei qui eam fratribus adferebat, ut ſolos veſci juberet fratres iis quæ mittebat. Hi cum offendiſſent tabellam et legiſſent quæ ſcripſerat Polycrita, (hortabatur autem ut noctu hoſtes adorirentur, ob ebrietatem feſto die contractam plane ſocordia diſſolutos) rem ducibus Naxiorum ſignificaverunt, et permoverunt ut ſecum exirent rei ge-

μετ' αὐτῶν. Ἁλόντος δὲ τοῦ χωρίου, καὶ πολλῶν διαφ- B
θαρέντων, ἐξῃτήσατο τὸν Διόγνητον ἡ Πολυκρίτη παρὰ
τῶν πολιτῶν, καὶ διέσωσεν. Αὐτὴ δὲ πρὸς ταῖς πύλαις
γενομένους τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ
στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε
τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα
περὶ τὴν πύλην· ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου
τάφος, ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθο-
νηθεῖσαν ἀπολαῦσαι τῶν τιμῶν. Οὕτω μὲν οἱ Ναξίων
συγγραφεῖς ἱστοροῦσιν. Ὁ δὲ Ἀριστοτέλης φησὶν οὐδὲ
ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν
Διόγνητον ἐρασθῆναι, καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον Γ
εἶναι· τὴν δὲ ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτὸν, ἑνὸς μόνου
τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον, ὥς φησιν ὁ φιλόσοφος,
ὅρκον ᾔτησεν· ἐπεὶ δὲ ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δο-
θῆναι, (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον) ἄλλως δὲ οὐκ
ἂν ἔφη συνελθεῖν· ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ

rendæ cauſa. Occupato a Naxiis caſtello, multiſque hoſtium interfectis, Diogneto precibus Polycrita a civibus impetravit ſalutem. Ipſa autem civibus ad portam occurrentibus magno cum gaudio, collaudantibuſque et ſerta ferentibus, magnitudine lætitiæ exanimata, in ipſa porta concidit mortua: atque ibi ſepulta eſt, et monimentum ejus vocatur *Livoris tumulus:* quod invidia quadam fortunæ faſcinata Polycrita putaretur meritis honoribus non potuiſſe frui. Hæc Naxiorum hiſtoricorum eſt narratio. Ariſtoteles captam Polycritam fuiſſe non dicit, ſed conſpectam a Diogneto, ſui eum amore irretiviſſe, ipſumque promiſiſſe omnia ſe, ut ea potiretur, dare ac facere paratum eſſe: at Polycritam ſe ad ipſum venturam pollicitam, ſi unicum quippiam ab eo obtineret, fuiſſe: cumque id jurejurando interpoſito Diognetus confirmaſſet, tradi ſibi Delium poſtulaſſe, (id enim caſtello nomen erat) aliter ſe morem geſturam ipſi negaſſe: victum amore Diog-

τὸν ὅρκον ἐξέστη, καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. Ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες ἐφ' οἷς ἠβούλοντο πρὸς τοὺς Μιλησίους διελύθησαν.

255 ιη'. ΛΑΜΨΑΚΗ.

Ἐκ Φωκαίας τοῦ Κοδριδῶν γένους, ἦσαν ἀδελφοὶ δίδυμοι Φόβος καὶ Βλέψος· ὧν ὁ Φόβος ἀπὸ τῶν Λευκάδων πετρῶν πρῶτος ἀφῆκεν ἑαυτὸν εἰς θάλασσαν, ὡς Χάρων ὁ Λαμψακηνὸς ἱστόρηκεν. Ἔχων δὲ δύναμιν καὶ βασιλικὸν ἀξίωμα, παρέπλευσεν εἰς Πάριον, ἰδίων ἕνεκα πραγμάτων· καὶ γενόμενος φίλος καὶ ξένος Μάνδρωνι βασιλεύοντι Βεβρύκων τῶν Πιτυοεσσηνῶν προσαγορευομένων, ἐβοήθησε καὶ συνεπολέμησεν αὐτοῖς ὑπὸ τῶν προσοίκων ἐνοχλουμένοις. Ὁ δὲ Μάνδρων ἄλλην τε
B πολλὴν ἐνεδείξατο τῷ Φόβῳ φιλοφροσύνην ἀποπλέοντι, καὶ μέρος τῆς τε χώρας καὶ τῆς πόλεως ὑπισχνεῖτο δώσειν εἰ βούλοιτο Φωκαεῖς ἔχων ἐποίκους εἰς τὴν Πιτυόεσσαν ἀφικέσθαι. Πείσας οὖν τοὺς πολίτας ὁ Φόβος ἐξέπεμψε

petum, et jurejurandi permotum religione, Polycritæ caſtellum, hocque eam civibus tradidiſſe. Ita Naxios rurſum Mileſiis pares viribus factos, pacem in ſuas leges confeciſſe.

XVIII. Lampsace.

Codridæ genere, patria Phocæenſes fuerunt duo gemini fratres Phobus et Blepſus: quorum Phobus primus a Leucadibus petris in mare ſe dedit, ut Charo Lampſacenus ſcriptum reliquit. Is Phobus, vir potentia et dignitate præditus regia, cum navigaſſet Parium ſuorum cauſa negotiorum, amicitiam et hoſpitii jus contraxit cum Mandrone Bebrycum rege, eorum qui Pityoeſſenſes cognominantur, eique a vicinis bello infeſtato auxilium tulit. Mandro autem navibus avehenti Phobo cum alia detulit officia, tum partem urbis agrique largiturum ſe promiſit, ſi Phocæorum coloniam vellet Pityoeſſam deducere. Phobus cum id conſilium civibus probaſſet, fratrem

τὸν ἀδελφὸν ἄγοντα τοὺς ἐποίκους. Καὶ τὰ μὲν παρὰ τοῦ Μάνδρωνος ὑπῆρχεν αὐτοῖς ὥσπερ προσεδόκησαν· ὠφελείας δὲ μεγάλας καὶ λάφυρα καὶ λείας ἀπὸ τῶν περιοίκων βαρβάρων λαμβάνοντες, ἐπίφθονοι πρῶτον, εἶτα καὶ φοβεροὶ τοῖς Βέβρυξιν ἦσαν. Ἐπιθυμοῦντες οὖν αὐτῶν ἀπαλλαγῆναι, τὸν μὲν Μάνδρωνα χρηστὸν ὄντα καὶ δίκαιον ἄνδρα περὶ τοὺς Ἕλληνας οὐκ ἔπεισαν· ἀποδημήσαντος δὲ ἐκείνου, παρεσκευάζοντο τοὺς Φωκαεῖς C
δόλῳ διαφθεῖραι. Τοῦ δὲ Μάνδρωνος ἡ θυγάτηρ Λαμψάκη, παρθένος οὖσα, τὴν ἐπιβουλὴν προέγνω, καὶ πρῶτον ἐπεχείρει τοὺς φίλους καὶ οἰκείους ἀποτρέπειν, καὶ διδάσκειν ὡς ἔργον καὶ δεινὸν καὶ ἀσεβὲς ἐγχειροῦσι πράττειν, εὐεργέτας καὶ συμμάχους ἄνδρας, νῦν δὲ καὶ πολίτας, ἀποκτιννύντες. Ὡς δ' οὐκ ἔπειθε, τοῖς Ἕλλησιν ἔφρασε κρύφα τὰ πραττόμενα, καὶ παρεκελεύσατο φυλάττεσθαι. Οἱ δὲ, θυσίαν τινὰ παρασκευασάμενοι καὶ θοίνην, ἐξεκαλέσαντο τοὺς Πιτυοεσσηνοὺς εἰς τὸ προάστειον· αὐτοὺς δὲ διελόντες δίχα, τοῖς μὲν τὰ τείχη κατε- D

miſit, qui colonos eo deduceret. Stetit ſane promiſſis Mandro. Sed Phocæi, cum ſpoliis, præda, opibuſque magnis e finitimis barbaris potirentur, inviſi primum, poſt etiam terrori Bebrycibus fuerunt. Cupientes itaque iis liberari, cum Mandro homo probus et juſtus perſuaderi ſibi non pateretur ut mala fide cum Græcis ageret, peregre eo profecto moliti ſunt, quomodo eos per dolum necarent. Lampſace autem Mandronis filia virgo, cum inſidias prænoſſet, primum a facinore hoc amicos et domeſticos avertere dictis aggreſſa eſt, impiam docens eos rem et atrocem perpetraturos, ſi benefactores, et quorum auxiliis in bello uſi eſſent, eoſque jam cives, interficerent. Ubi non perſuaſit, occulte Græcis quid ageretur detexit, utque ſibi caverent monuit. Phocæi ſacrificio quodam et convivio apparato, Pityoeſſenos in ſuburbium evocaverunt: ipſi in duo diviſi

λάβοντο, τοῖς δὲ τοὺς ἀνθρώπους ἀνεῖλον. Οὕτω δὴ τὴν πόλιν κατέχοντες, τόν τε Μάνδρωνα μετεπέμποντο, συμβυλεύειν τοῖς παρ' αὐτῶν κελεύοντες· καὶ τὴν Λαμψάκην ἐξ ἀρρωστίας ἀποθανοῦσαν, ἔθαψαν ἐν τῇ πόλει μεγαλοπρεπῶς, καὶ τὴν πόλιν ἀπ' αὐτῆς Λάμψακον προσηγόρευσαν. Ἐπεὶ δὲ ὁ Μάνδρων προδοσίας ὑποψίαν φεύγων, τὸ μὲν οἰκεῖν μετ' αὐτῶν παρῃτήσατο, παῖδας δὲ τῶν τεθνηκότων καὶ γυναῖκας ἠξίωσε κομίσασθαι· καὶ ταῦτα προθύμως οὐδὲν ἀδικήσαντες ἐξέπεμψαν, καὶ τῇ Λαμψάκῃ πρότερον ἡρωϊκὰς τιμὰς ἀποδιδόντες, ὕστερον ὡς θεῷ θύειν ἐψηφίσαντο· καὶ διατελοῦσιν οὕτω θύοντες.

ιθ'. ΑΡΕΤΑΦΙΛΑ.

Ἀρεταφίλα δὲ ἡ Κυρηναία, παλαιὰ μὲν οὐ γέγονεν, ἀλλ' ἐν τοῖς Μιθριδατικοῖς καιροῖς, ἀρετὴν δὲ καὶ πρᾶξιν ἐνάμιλλον τῇ βουλῇ τῶν ἡρωΐδων παρέσχεν. Ἦν δὲ θυγάτηρ μὲν Αἰγλάτορος, Φαιδίμου δὲ γυνή, γνωρίμων

p. 4. συμβυλεύειν] Forte rectius eſt συμβασιλεύειν ut habet E. Non procul abit βασιλεύειν notatum ex P.

agmina, altero urbem occuparunt, altero homines trucidaverunt. Sic urbe potiti, Mandronem acciverunt, ut de ſuis conſilium una caperet: Lampſacenque, cum ea ex invaletudine mortua eſſet, magnifice in urbe ſepeliverunt, cui et ab ejus nomine Lampſaci nomen impoſuerunt. Ut autem Mandro proditionis vitans ſuſpicionem, habitare cum ipſis recuſavit, petiitque ut mulieres liberique defunctorum ad ſe mitterentur: Phocæi abſque omni maleficio ſtudioſe eos miſerunt, et Lampſacæ cum initio heroicos honores habuiſſent, poſtmodo ut numini ſacrificandum decreverunt: idque decretum adhuc ratum eſt apud eos.

XIX. Aretaphila.

Aretaphila Cyrenæa, non ita priſca fuit, ut quæ belli Mithridatici tempore vixerit; ſed virtute et rebus geſtis comparari cum heroidibus poſſe meruit. Filia fuit Æglatoris, uxor Phædimi, illuſtri-

ἀνδρῶν· καλὴ δὲ τὴν ὄψιν οὖσα, καὶ τὸ φρονεῖν ἐδόκει περιττή τις εἶναι, καὶ πολιτικῆς δεινότητος οὐκ ἄμοιρος· ἐπιφανῆ δὲ αὐτὴν αἱ κοιναὶ τύχαι τῆς πατρίδος ἐποίησαν. Νικοκράτης γὰρ ἐπαναστὰς Κυρηναίοις τύραννος, ἄλλους τε πολλοὺς ἐφόνευε τῶν πολιτῶν, καὶ τὸν ἱερέα τοῦ Ἀπόλλωνος αὐτόχειρ ἀνελὼν Μελάνιππον, ἔσχε τὴν ἱερωσύνην· ἀνεῖλε δὲ καὶ Φαίδιμον τὸν τῆς Ἀρεταφίλας ἄνδρα καὶ τὴν Ἀρεταφίλαν ἔγημεν ἄκουσαν. Πρὸς δὲ μυρίοις ἄλλοις παρανομήμασι, φύλακας ἐπὶ τῶν πυλῶν κατέστησεν, οἱ τοὺς ἐκφερομένους νεκροὺς ἐλυμαίνοντο νύττοντες ξιφιδίοις, καὶ καυτήρια προσβάλλοντες, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν ὡς νεκρὸν λαθεῖν ἐκκομιζόμενον. Δύσφορα μὲν οὖν καὶ τῇ Ἀρεταφίλᾳ τὰ οἰκεῖα κακά, καίπερ ἐνδιδόντος αὐτῇ δι᾽ ἔρωτα τοῦ τυράννου πλεῖστον ἀπολαύειν τῆς δυνάμεως· ἥττητο γὰρ ἐκείνης, καὶ μόνῃ χειροήθη παρεῖχεν αὐτόν, ἄτεγκτος ὢν τἆλλα καὶ θηριώ-

L. 9. τὸ φρονεῖν] Ex conſuetudine quidem Plutarchi, τὸ vel delendum, vel mutandum in τῷ.

um virorum, forma egregia, prudentia ſingulari, et rerum civilium dextre gerendarum non ignara. Hanc communes patriæ calamitates illuſtrem reddiderunt. Nicocrates enim occupata in Cyrenæos tyrannide, cum alios civium multos interfecit, tum ſua manu Melanippum Apollinis ſacerdotem, idque ſacerdotium ipſe invaſit. Maritum quoque Aretaphilæ Phædimum interemit, et ipſam invitam uxorem duxit. Infinitis aliis contra leges inſtitutis adjecit hoc: cuſtodes ad portas urbis conſtituit, qui mortuos quotquot efferrentur violarent, mucronibus eos pungentes, et materiam ardentem applicantes; ne quis civium ſub mortui ſpecie clam efferri urbe poſſet. Enimvero Aretaphilæ cum propriæ calamitates moleſtæ erant: quanquam tyrannus ob amorem ipſius, quo ſubactus erat, maxima potentiæ parte frui eam ſineret, mulierique huic ſoli cicurem et manſuetum ſe præ-

ηνία δὲ μᾶλλον αὐτὴν ἡ πατρὶς οἰκτρὰ πάσχουσα ἀξίαν. Ἄλλος γὰρ ἐπ' ἄλλῳ τῶν πολιτῶν ἐσφάτ-ι, τιμωρία δὲ ἀπ' οὐδενὸς ἠλπίζετο· καὶ γὰρ οἱ ιδες, ἀσθενεῖς παντάπασιν ὄντες καὶ περίφοβοι, διε-ησαν. Αὐτὴν οὖν ἡ Ἀρεταφίλα ὑποθεῖσα μόνην κοινοῖς ἐλπίδα, καὶ τὰ Θήβης ζηλώσασα τῆς Φε-ς καλὰ καὶ περιβόητα τολμήματα, συμμάχων δὲ ν καὶ οἰκείων, οἵους ἐκείνῃ τὰ πράγματα παρέσχεν, ος οὖσα, φαρμάκοις ἐπεχείρησε διεργάσασθαι τὸν α. Παρασκευαζομένη δὲ καὶ πορίζουσα, καὶ δια-ωμένη πολλῶν δυνάμεων, οὐκ ἔλαθεν ἀλλ' ἐμηνύθη· γενομένων ἐλέγχων, Καλβία μὲν ἡ τοῦ Νικοκράτους ηρ, φύσει φονικὴ γυνὴ καὶ ἀπαραίτητος, εὐθὺς ᾤετο ἀναιρεῖν αἰκισαμένην τὴν Ἀρεταφίλαν· τοῦ δὲ Νικο-τους μέλλησιν ἐνεποίει τῇ ὀργῇ καὶ ἀσθένειαν ὁ ἔρως· τὸ τὴν Ἀρεταφίλαν ἐρρωμένως ὁμόσε χωρεῖν ταῖς ηορίαις ἀμυνοῦσαν ἑαυτῇ, πρόφασίν τινα τοῦ πάθ

t, duriſſimus alioqui et us: tum apprime patriæ n dolebat, indignis modis ia patientis. Jugulabatur civium unus poſt alium e erat unde ultio ſperare-cum exſules timidi plane : infirmi, hinc inde diſ-eſſent. Itaque Areta-ſpes patriæ in ſe ſolam iens, æmulatione quadam bes Pherææ pulchrorum giorumque conatuum, ad-ibus tamen fidelibus et ſticis, quales huic res ſuggeſſerunt, deſtituta, venenis maritum interficere aggreſſa eſt. Quam ad rem dum ſe parat, materiam cogit, et vires venenorum periclita-tur, non latuit delato indicio, et argumentis perquiſitis, Cal-bia Nicocratis mater, femina ad cædes natura proclivis at-que implacabilis, cenſuit ſta-tim interficiendam eſſe, prius tamen contumelioſe tractatam, Aretaphilam: Nicocratis au-tem iræ moram injiciebat vi-reſque adimebat amor: eique affectioni excuſationem para-bat, quod Aretaphila animoſe

παρέχειν. Ἐπεὶ δὲ κατελαμβάνετο τοῖς ἐλέγχοις, καὶ τὴν παρασκευὴν τῆς φαρμακείας ἑώρα μὴ δεχομένην C ἄρνησιν, ὡμολόγει, παρεσκευάσθαι δὲ οὐκ ὀλέθριον φαρμακείαν, Ἀλλ' ὑπὲρ μεγάλων, εἶπεν, ὦ ἄνερ, ἀγωνίζομαι τῆς σῆς εὐνοίας πρὸς ἐμὲ καὶ δόξης, καὶ δυνάμεως, ἣν διά σε καρποῦμαι, πολλαῖς ἐπίφθονος οὖσα κακαῖς γυναιξὶν, ὧν φάρμακα δεδοικυῖα καὶ μηχανὰς, ἐπείσθην ἀντιμηχανήσασθαι, μωρὰ μὲν ἴσως καὶ γυναικεῖα, θανάτου δὲ οὐκ ἄξια· πλὴν εἰ κριτῇ σοι δόξειε φίλτρων ἕνεκα καὶ γοητείας κτεῖναι γυναῖκα, πλεῖον ἢ σὺ βούλει φιλεῖσθαι δεομένην. Τοιαῦτα τὴν Ἀρεταφίλαν ἀπολογουμένην ἔδοξε τῷ Νικοκράτει βασανίσαι· καὶ τῆς Καλ- D βίας ἐφεστώσης, ἀτέγκτου καὶ ἀπαραιτήτου, ταῖς βασάνοις ἀνέκρινε· καὶ διεφύλαττεν αὐτὴν ἀήττητον ἐν ταῖς ἀνάγκαις ἄχρι καὶ τὴν Καλβίαν ἀποκαμεῖν ἄκουσαν. Ὁ δὲ Νικοκράτης ἀφῆκε πεισθεὶς, καὶ μετενόει βασανίσας· καὶ

C. 4. εὐνοίας] Repoſui hoc ſuo loco, ſecutus auctoritatem E. Venet. P. Jun. Mez. Vulgo ponebatur poſt καρποῦμαι.

criminibus ſe opponebat, et ſeſe defendebat. Quæ ubi vidit ſe convinci, neque locum eſſe veneficii negandi, faſſa venenum ſe, non tamen exitiale, paraſſe: *Magnis*, inquit, *eſt mihi de rebus certamen: qua enim gloria fruor, quaque potentia ob tuam erga me benevolentiam, ea me inviſam multis reddidit malis mulieribus; quarum ego metuens veneficia et technas, animum induxi contra quædam moliri: fatua fortaſſis, et muliebria, mortis tamen non digna ſupplicio, niſi forte tibi judici videbitur uxor interficienda amatorii gratia veneficii, quod amplius atque tu velles, diligi voluerit.* Viſum eſt Nicocrati Aretaphilam hoc modo ſe defendentem quæſtioni ſubjicere, præſidente tormentis Calbia, immiti implacabilique muliere. At enim Aretaphila in cruciatibus ita ſibi conſtitit, adeoque invictam ſe præbuit, ut ipſa tandem Calbia invita et defatigata conceſſerit, ac Nicocrates fide innocentiæ ſibi facta, miſſam uxorem fecerit, torturæque pœnitentia ductus ſit. Exiguo autem intermiſſo

χρόνον οὐ πολὺν διαλιπὼν, αὖθις ἧκεν ὑπὸ τοῦ πάθους εἰς αὐτὴν φερόμενος, καὶ συνῆν αὖθις ἀναλαμβάνων τιμαῖς καὶ φιλοφροσύναις τὴν εὔνοιαν. Ἡ δὲ οὐκ ἔμελλε χάριτος ἡττᾶσθαι, κρατήσασα βασάνων καὶ πόνων· ἀλλὰ τῷ φιλοκάλῳ φιλονεικίας προσγενομένης, E ἑτέρας ἥπτετο μηχανῆς. Ἦν γὰρ αὐτῇ θυγάτηρ ἀνδρὸς ὥραν ἔχουσα, καὶ τὴν ὄψιν ἱκανή· ταύτην ὑφῆκε τἀδελφῷ τοῦ τυράννου δέλεαρ, ὄντι μειρακίῳ πρὸς ἡδονὰς εὐαλώτῳ. Πολὺς δὲ λόγος ἐστὶ χρησαμένην γοητείᾳ καὶ φαρμάκοις ἐπὶ τῇ κόρῃ τὴν Ἀρεταφίλαν, χειρώσασθαι καὶ διαφθεῖραι τοῦ νεανίσκου τὸν λογισμόν· ἐκαλεῖτο δὲ Λέανδρος. Ἐπεὶ δὲ ἡλώκει καὶ λιπαρήσας τὸν ἀδελφὸν, ἔτυχε τοῦ γάμου, τὰ μὲν ἡ κόρη παρῆγεν αὐτὸν ὑπὸ τῆς μητρὸς διδασκομένη, καὶ ἀνέπειθεν ἐλευθεροῦν τὴν πόλιν, ὡς μηδὲ αὐτὸν ἐλεύθερον ἐν τυραννίδι ζῶντα, F μηδὲ τοῦ λαβεῖν γάμον ἢ φυλάξαι κύριον ὄντα· τὰ δὲ οἱ φίλοι τῇ Ἀρεταφίλᾳ χαριζόμενοι, διαβολάς τινας

tempore, ſtatim amore ſuperatus ad eam venit, benevolentiamque blanditiis et honoribus reparans, ejus uſus eſt conſuetudine. Illa vero, quæ tormentis ac doloribus nihil fracta eſſet, demerendo ſe everti paſſa non eſt: ſed ad ſtudium honeſtatis accedente quadam pulchri propoſiti tenendi pervicacia, rem alia via inſtituit aggredi. Filiam habebat ſatis elegante forma, et jam viro maturam: hanc tyranni fratri Leandro ſubmiſit, ut eum inescaret adoleſcentem qui voluptatibus propoſitis facile caperetur. Fama tenet, Aretaphilam præſtigiis et veneficiis uſam ita comparaſſe filiam, ut adoleſcentem ei manciparet, ac de ſanæ mentis uſu dimoveret. Poſtquam in caſſes incidit, precibuſque multis a fratre impetrato matrimonio eſt potitus: partim eum puella a matre docta inſtigare ad libertatem civitati reddendam, quando in tyrannide ne ipſi quidem libero eſſe, aut ducendæ retinendæve uxoris poteſtatem habere liceret: partim amici Aretaphilæ gratificantes ſubinde calum-

ἀεὶ καὶ ὑπονοίας κατεσκεύαζον αὐτῷ πρὸς τὸν ἀδελφόν. Ὡς δὲ ᾔσθετο καὶ τὴν Ἀρεταφίλαν τὰ αὐτὰ βουλευομένην καὶ σπουδάζουσαν, ἐπεχείρει τὸ ἔργον, καὶ Δάφνιν οἰκέτην παρορμήσας, ἀπέκτεινε δι' ἐκείνου τὸν Νικοκράτην. Τὰ λοιπὰ δὲ οὐκ ἔτι τῇ Ἀρεταφίλᾳ προσεῖχεν, ἀλλ' εὐθὺς ἔδειξε τοῖς ἔργοις ἀδελφοκτόνος οὐ τυραννοκτόνος γεγονώς. Ἦρχε γὰρ ἐμπλήκτως καὶ ἀνοήτως· τιμὴ δέ τις ὅμως ἦν τῆς Ἀρεταφίλας παρ' αὐτῷ καὶ δύναμις, οὐκ ἀπεχθανομένης οὐδὲ πολεμούσης ἄντικρυς, ἀλλ' ἀδήλως διαπραττούσης τὰ πράγματα. Πρῶτον μὲν γὰρ αὐτῷ Λιβυκὸν ἐπεκίνησε πόλεμον, Ἀνάβουν τινὰ πείσασα δυνάστην τὴν χώραν ἐπιδραμεῖν, καὶ τῇ πόλει προσαγαγεῖν· ἔπειτα διέβαλε τοὺς φίλους καὶ τοὺς στρατηγοὺς πρὸς τὸν Λέανδρον ὡς πολεμεῖν οὐκ ὄντας προθύμους, εἰρήνης δὲ μᾶλλον δεομένους καὶ ἡσυχίας· ἣν καὶ τὰ πράγματα ποθεῖν αὐτοῦ καὶ τὴν τυραννίδα, βουλομένου βεβαίως κρατεῖν τῶν πο-

F. 8. οὐ τυραννοκτόνος.] Ita dedi, ſecutus Xyl. Amiot. Mez. Vulgo ὁ τυραννοκτόνος.

nias ei adverſus fratrem aliquas et ſuſpiciones ſuggerere. Leander ubi Aretaphilam ſenſit eadem conſilia tractantem, negotium aggreſſus, Daphnidem famulum ſubornavit, qui Nicocratem juſſu ipſius necaret. Deinceps autem Aretaphilæ animum non advertit, ſed factis illico demonſtravit fratricidam ſe eſſe, non tyrannicidam: cum ſtolide et inſolenter rebus præeſſet. Erat tamen Aretaphilæ ſuus apud eum honor atque potentia, non inimicam ſe gerenti, neque palam repugnanti, ſed occulte ſuas res diſponenti. Ea primum adverſus Leandrum concitavit bellum Africum, pellecto Anabo quodam regulo ad incurſandam regionem hoſtiliterque ad urbem accedendum. Deinde amicos et duces apud generum culpavit, ut ad bellum non alacres, ſed pacem magis quietemque requirentes: quam quidem etiam flagitare tyranni res aiebat, ſi firmum in cives vellet obti-

λιπεῖν· αὐτὴ δὲ πράξειν, ἔφη, τὰς διαλύσεις καὶ τὸν
B Ἀνάβουν εἰς λόγους αὐτῷ συνάξειν ἐὰν κελεύῃ, πρὶν ἀνή-
κεστόν τι τὸν πόλεμον ἐξεργάσασθαι. Κελεύσαντος δὲ
τοῦ Λεάνδρου, πρότερον αὐτὴ τῷ Λίβυϊ διελέχθη, συλ-
λαβεῖν δεομένη τὸν τύραννον ἐπὶ δωρεαῖς μεγάλαις καὶ
χρήμασιν, ὅταν εἰς λόγους αὐτῷ παραγένηται. Πεισθέντος
δὲ τοῦ Λίβυος, ὤκνει μὲν ὁ Λέανδρος· αἰδεσθεὶς δὲ τὴν
Ἀρεταφίλαν, αὐτὴν παρέσεσθαι φάσκουσαν, ἐξῆλθεν
ἄνοπλος καὶ ἀφύλακτος· ὡς δὲ ἐγγὺς ἦλθε καὶ τὸν Ἀνά-
βουν εἶδεν, αὖθις ἐδυσχέραινε, καὶ περιμένειν ἐβούλετο τοὺς
δορυφόρους. Ἡ δὲ Ἀρεταφίλα παροῦσα, τὰ μὲν ἐθάρ-
C ῥυνεν αὐτόν, τὰ δὲ ἐκάκιζε· τέλος δὲ γενομένης διατριβῆς, ἐφελκυσαμένη τῆς χειρὸς ἰταμῶς πάνυ καὶ τεθαῤῥηκότως προσήγαγε τῷ βαρβάρῳ καὶ παρέδωκεν. Εὐθὺς οὖν ἀνήρπαστο καὶ συνείληπτο, καὶ δεθεὶς ὑπὸ τῶν Λιβύων ἐτηρεῖτο ἄχρις οὗ τὰ χρήματα τῇ Ἀρεταφίλᾳ κομίζοντες οἱ φίλοι παρεγένοντο μετὰ τῶν ἄλλων πολιτῶν.

nere imperium, ſe quoque promittebat pacificationem confecturam, et Anabum in colloquium ad componendas cum eo res adducturam, ſi ita juberet, priuſquam immedicabile aliquod damnum ex eo bello acciperetur. Mandante ut ita ageret Leandro, prius ipſa cum Afro eſt collocuta, magniſque donis et multa promiſſa pecunia impetravit, ut tyrannum ad colloquium venientem a ſe comprehenſum iri polliceretur. At vero Leander cunctari, et tamen verecundia Aretaphilæ, interfuturam ſeſe colloquio dicentis, permotus, ſine armis et præſidio exire: et ubi propius acceſſiſſet, conſpecto Anabo tergiverſari, et ſtipatores operiri cupere. Socrus contra præſens eum qua cohortari, qua incuſare: ac tandem cum mora necteretur, manu injecta audacter plane ac proterve ad barbarum adducere, eique tradere. Leander confeſtim abreptus ab Afris, comprehenſus vinctuſque eſt adſervatus, donec promiſſam mercedem Aretaphilæ amici, comitantibus reliquis civibus, attu-

Πυθόμενοι γὰρ οἱ πλεῖστοι ἐξέδραμον ἐπὶ τὴν διάκλησιν· ὡς δὲ εἶδον τὴν Ἀρεταφίλαν, ὀλίγου ἐδέησαν ἐκλαθέσθαι τῆς πρὸς τὸν τύραννον ὀργῆς, καὶ πάρεργον τὴν ἐκείνου τιμωρίαν ἐνόμιζον· ἔργον δὲ πρῶτον ἦν αὐτοῖς καὶ ἀπόλαυσμα τῆς ἐλευθερίας, ἐκείνην ἀσπάσασθαι μετὰ χαρᾶς D
καὶ δακρύων, ὥσπερ ἀγάλματι θεοῦ προσπίπτοντας. Ἄλλων δ' ἐπ' ἄλλοις ἐπιρρεόντων, μόλις ἑσπέρας τὸν Λέανδρον παραλαβόντες, ἐπανῆλθον εἰς τὴν πόλιν. Ἐπεὶ δὲ τῶν τιμῶν τῆς Ἀρεταφίλας καὶ τῶν ἐπαίνων ἐνεπλήσθησαν, οὕτω τραπόμενοι πρὸς τοὺς τυράννους, τὴν μὲν Καλβίαν ζῶσαν κατέκαυσαν· τὸν δὲ Λέανδρον ἐνράψαντες εἰς βύρσαν, κατεπόντισαν. Ἠξίουν δὲ τὴν Ἀρεταφίλαν συνάρχειν καὶ συνδιοικεῖν τοῖς ἀρίστοις ἀνδράσι τὴν πολιτείαν. Ἡ δὲ ὡς ποικίλον τι δρᾶμα καὶ πολυμερὲς ἀγωνισαμένη μέχρι στεφάνου διαδόσεως, ὡς ἐπεῖδε τὴν πόλιν ἐλευθέραν, εὐθὺς εἰς τὴν γυναικωνῖτιν ἐνε- E

lerunt. Horum enim plerique re nunciata, ad locum colloquio deſtinatum excurrerunt: et conſpecta Aretaphila, parum abfuit quin iræ in tyrannum obliti, ſupplicium de eo ſumere aliis rebus poſthaberent: atque adeo primum hunc libertatis ceperunt fructum, nihilque aliud eo duxerunt antiquius, quam ut eam læti flenteſque ſalutarent, tanquam ſimulachro alicujus dei cir- [illegible] Aliis autem ſupra [illegible] vix tandem [illegible] Leandro [illegible] reverterunt. Ibi

poſtquam honoranda et laudanda Aretaphila cupiditati ſuæ ſatisfecerunt, ita demum ad tyrannos converſi, Calbiam vivam cremaverunt, Leandrum culleo inſutum in mare abjecerunt. Ab Aretaphila contenderunt, ut gerendæ gubernandæque reipublicæ ſociam ſeſe adjungeret optimatibus. Illa vero, tanquam ſi variam et multis conſtantem partibus in theatro fabulam uſque ad coronæ donationem peregiſſet, ſimul atque liberam eſſe vidit civitatem, continuo in gynecæum ſeſe recepit,

δύετο, καὶ τοῦ πολυπραγμονεῖν ὁποιοῦν παραβαλλομένη, τὸν λοιπὸν χρόνον ἐν ἱστοῖς ἡσυχίαν ἄγουσα μετὰ τῶν φίλων καὶ οἰκείων διετέλεσεν.

κ΄. ΚΑΜΜΑ.

Ἦσαν ἐν Γαλατίᾳ δυνατώτατοι τῶν τετραρχῶν, καίτοι καὶ κατὰ γένος προσήκοντες ἀλλήλοις, Σινάτος τε καὶ Σινόριξ. Ὧν ὁ Σινάτος γυναῖκα παρθένον ἔσχε Κάμμαν ὄνομα, περίβλεπτον μὲν ἰδέᾳ σώματος καὶ ὥρᾳ, θαυμαζομένην δὲ μᾶλλον δι' ἀρετήν· οὐ γὰρ μόνον σώφρων καὶ φίλανδρος, ἀλλὰ καὶ συνετὴ καὶ μεγαλόφρων, καὶ
F ποθεινὴ τοῖς ὑπηκόοις ἦν διαφερόντως ὑπ' εὐμενείας καὶ χρηστότητος· ἐπιφανεστέραν δὲ αὐτὴν ἐποίει καὶ τὸ τῆς Ἀρτέμιδος ἱέρειαν εἶναι, ἣν μάλιστα Γαλάται σέβουσι, περί τε πομπὰς ἀεὶ καὶ θυσίας κεκοσμημένην ὁρᾶσθαι μεγαλοπρεπῶς. Ἐρασθεὶς οὖν αὐτῆς ὁ Σινόριξ, καὶ μήτε πεῖσαι, μήτε βιάζεσθαι ζῶντος τοῦ ἀνδρὸς δυνατὸς ὤν,

E. 2. παραβαλλομένη] Legendum προβαλλομένη repudians. Non magis vulgato ſanum περιβαλλομένη quod eſt in E. T. P.

E. 6. καίτοι καὶ] Corrigendum *καί τι καὶ*, *et aliquantum*.

omnique rebus tractandis ſe admiſcendi repudiato ſtudio, reliquum ætatis inter ſtamina cum amicis et familiaribus exegit.

XX. Camma.

Inter Galatiæ tetrarchas potentiſſimi erant Sinatus et Sinorix, genere etiam invicem propinqui. Erat Sinato uxor, quam virginem duxerat, Camma nomine, non formæ duntaxat præſtantia et ætatis flore ſpectabilis, ſed multo magis ob virtutem in admiratione habita; non enim pudica modo et mariti amans fuit, ſed et prudens et magnanima, ac propter manſuetudinem benignitatemque ſubditis mirifice accepta: augebat etiam ſplendorem, quod Dianæ, quam deam maxime colunt Galatæ, ſacerdos, ſemper in ſacris pompis et apud ſacrificia magnifice ornata ſpectabatur. Eam cum deperiret Sinorix, et neque pellicere neque vim face-

ἔργον εἰργάσατο δεινόν· ἀπέκτεινε γὰρ δόλῳ τὸν Σινάτον, καὶ χρόνον οὐ πολὺν διαλιπὼν, ἐμνᾶτο τὴν Κάμμαν ἐν τῷ ἱερῷ ποιουμένην διατριβὰς, καὶ φέρουσαν οὐκ 251 οἰκτρῶς καὶ ταπεινῶς, ἀλλὰ θυμῷ νοῦν ἔχοντι καὶ καιρὸν περιμένοντι, τὴν τοῦ Σινόριγος παρανομίαν. Ὁ δὲ λιπαρὴς ἦν περὶ τὰς δεήσεις, καὶ λόγων ἐδόκει μὴ παντάπασιν ἀπορεῖν εὐπρέπειαν ἐχόντων, ὡς τὰ μὲν ἄλλα Σινάτου βελτίονα παρεσχηκὼς ἑαυτὸν, ἀνελὼν δὲ ἐκεῖνον ἔρωτι τῆς Κάμμας, μὴ δι' ἑτέραν τινὰ πονηρίαν. Ἦσαν οὖν τὸ πρῶτον ἀρνήσεις οὐκ ἄγαν ἀπηνεῖς τῆς γυναικὸς, εἶτα κατὰ μικρὸν ἐδόκει μαλάττεσθαι· καὶ γὰρ οἰκεῖοι καὶ φίλοι προσέκειντο θεραπείᾳ καὶ χάριτι τοῦ Σινόριγος μέγιστον δυναμένου, πείθοντες αὐτὴν καὶ καταβιαζόμενοι, B τέλος δὲ συνεχώρει, καὶ μετεπέμπετο πρὸς ἑαυτὴν ἐκεῖνον, ὡς παρὰ τῷ θεῷ τῆς συναινέσεως καὶ καταπιστώσεως γενησομένης. Ἐλθόντα δὲ δεξαμένη φιλοφρόνως, καὶ προσαγαγοῦσα τῷ βωμῷ, κατέσπεισεν ἐκ

B. 3. παρὰ τῷ θεῷ] Forte corrigendum παρὰ τῇ θεῷ: et mox, τὴν θεόν. Ita reddidit Xyl.

re vivo marito poſſet, facinus auſus immane, Sinatum dolo necavit: exiguoque interpoſito temporis ſpatio, Cammam ambivit, in fano frequenter degentem, caſumque mariti non abjecte aut miſerabiliter, ſed animoſe ferentem, prudenterque intentam occaſioni ulciſcendi Sinorigis. Is vero aſſiduis ambiebat mulierem precibus, videbaturque ei non prorſus deeſſe honeſta in ſpeciem oratio: *aliis ſe in rebus præſtantiorem fuiſſe Sinato, ac interfeciſſe eum non malitia, ſed amore Cammæ impulſum.* Illa initio non admodum aſpere denegare, ac deinde paulatim molliri videbatur: nam et amici ac familiares inſtabant, Sinorigem, cujus maxima erat potentia, demerentes, ſuadebantque ut aſſentiretur et urgebant. Tandem conceſſit Camma, et ad ſe venire Sinorigem juſſit, ut coram dea matrimonium ſtipularentur invicem. Venientem blande excepit, et ad aram adduxit, cum-

καὶ τὸ μὲν ἐξέπιεν αὐτή, τὸ δὲ ἐκεῖνον ἐκέ-
ἦν δὲ πεφαρμαγμένον μελίκρατον. Ὡς δὲ
κότα, λαμπρὸν ἀνωλόλυξε, καὶ τὸν θεὸν προσ-
α, Μαρτύρομαί σε, εἶπεν, ὦ πολυτίμητε δαῖ-
ταύτης ἕνεκα τῆς ἡμέρας ἐπέζησα τῷ Σινάτου
ρόνον τοσοῦτον οὐδὲν ἀπολαβοῦσα τοῦ βίου χρηστὸν,
ὴν ἐλπίδα τῆς δίκης, ἣν ἔχουσα καταβαίνω
ὸν ἐμὸν ἄνδρα· σοὶ δὲ, ὦ πάντων ἀνοσιώτατε
ων, τάφον ἀντὶ θαλάμου καὶ γάμου παρασκευαζέ-
ἱ προσήκοντες. Ταῦτα δὲ ἀκούσας ὁ Γαλάτης,
αρμάκου δρῶντος ἤδη καὶ διακινοῦντος τὸ σῶμα
όμενος, ἐπέβη μὲν ὀχήματος ὡς σάλῳ καὶ τιναγμῷ
μενος, ἐξέστη δὲ παραχρῆμα, καὶ μεταβὰς εἰς
ἑσπέρας ἀπέθανεν. Ἡ δὲ Κάμμα διενεγκοῦσα
τα, καὶ πυθομένη τέλος ἔχειν ἐκεῖνον, εὐθύμως
ῶς κατέστρεψεν.

B. 11. ἀπολαβοῦσα] Malim ἀπολαύσα.

libaſſet e patera, re-
tem ipſa hauſit, par-
ibendam propinavit:
m mulſum veneno
. Poſtquam bibiſſe
t, claro ſublato eju-
adorans: *Te*, inquit,
*iſſima dea, teſtem in-
s me diei cauſa vitam
inati produxiſſe, tanto
ullum ex ea fructum
præter ſpem ultionis:
ſecuta nunc ad mari-
n deſcendo. Tibi vero
omnium ſceleſtiſſime hominum, loco thalami et nuptiarum apparent ſepulchrum tui.* Hæc cum audiviſſet Sinorix, et agere jam venenum, corporique motum inferre ſentiret, vehiculum conſcendit, ut agitatione et concuſſione ſibi mederetur; ſtatim autem eo relicto in lecticam ſe poſuit, ac veſperi eſt mortuus. At Camma cum per noctem duraſſet, audito eum vivendi finem feciſſe, læto animo exſpiravit.

κγ'. ΓΥΝΑΙΟΝ ΠΕΡΓΑΜΗΝΟΝ. 29

Ἐπεὶ δὲ Μιθριδάτης ἑξήκοντα Γαλατῶν τοὺς ἀρίστους μεταπεμψάμενος εἰς Πέργαμον ὡς φίλους ὑβριστικῶς ἐδόκει καὶ δεσποτικῶς προσφέρεσθαι, καὶ πάντες ἠγανάκτουν, Τορηδόραξ ἀνὴρ τό, τε σῶμα ῥωμαλέος καὶ τὴν ψυχὴν διαφέρων (ἦν δὲ Τοσιωπῶν τετράρχης) ἀνεδέξατο τὸν Μιθριδάτην, ὅταν ἐν τῷ βήματι γυμνασίῳ χρηματίζῃ συναρπάσας, ὤσειν ἅμα σὺν αὐτῷ κατὰ τῆς φάραγγος. Τύχῃ δέ τινι τῆς ἡμέρας ἐκείνης οὐκ ἀναβάντος εἰς τὸ γυμνάσιον αὐτοῦ, μεταπεμπομένου δὲ τοὺς Γαλάτας οἴκαδε, θαῤῥεῖν παρεκάλει, καὶ ὅταν ἐν ταυτῷ B
γένωνται, διασπάσαι τὸ σῶμα καὶ διαφθεῖραι πανταχόθεν προσπεσόντας. Τοῦτο οὐκ ἔλαθε τὸν Μιθριδάτην, ἀλλὰ μηνύσεως γενομένης, καθ' ἕνα τῶν Γαλατῶν παρεδίδου σφαγησόμενον. Εἶτά πως ἀναμνησθεὶς νεανίσκου

A. 5. Τορηδόραξ] Varie ſcribitur. E. Πυρηδόναξ. Baſ. Xyl. Jun. Πορηδόραξ. P. Πορήδοραξ.
A. 6. Τοσιωπῶν] Forte Τολιςοβώγων.
A. 7. ἐν τῷ βήματι γυμνασίῳ] Rectius erat: ἐν τῷ γυμνασίῳ χρ. σ. ὤσειν ἅμα σὺν αὐτῷ τῷ βήματι κατὰ τῆς φ.

XXIII.
MULIER PERGAMENA.

Mithridates Galatarum præſtantiſſimos ſexaginta ſub amicitiæ ſpecie Pergamum evocatos cum tractaret contumelioſe ac pro imperio, omneſque id indigne ferrent; Toredorix Toſioporum tetrarcha, vir et corpore robuſtus, et animo magno præditus, in ſe recepit, velle ſe Mithridatem, quando is in gymnaſio pro tribunali ſedens jus diceret, arreptum cum tribunali in convallem præcipitare. Cum forte fortuna Mithridates in gymnaſium ea die non aſcendiſſet, Galataſque ad ſe domum ſuam vocaret; bono idem animo ſuos eſſe juſſit, cumque conveniſſent, undique in eum impetum facere, corpuſque ejus divellere. Non fefellit hoc Mithridatem, ſed, re ex indicio cognita, Galatas unum poſt alterum jugulandos tradidit. Deinde recordatus adoleſcentis inter eos cujuſdam,

πολὺ προέχοντος πρωτεύσαντος ὥρᾳ καὶ κάλλει τῶν καθ' αὑτόν, ᾤκτειρε καὶ μετενόει, καὶ δῆλος ἦν ἀχθόμενος ὡς ἐν πρώτοις ἀπολωλότος, ὅμως δὲ ἔπεμψεν, εἰ ζῶν εὑρεθείη, μεθεῖναι κελεύων· ἦν δὲ ὄνομα τῷ νεανίσκῳ, Βηπολιτανός. Καί τις αὐτῷ τύχη θαυμαστὴ συνέπεσε. Καλὴν γὰρ ἐσθῆτα καὶ πολυτελῆ συνελήφθη
C φορῶν· ἣν ὁ δήμιος ἀναίμακτον αὐτῷ καὶ καθαρὰν διαφυλάξαι βουλόμενος, καὶ ἀποδύων ἀτρέμα τὸν νεανίσκον, εἶδε τοὺς παρὰ τοῦ βασιλέως προσθέοντας, ἅμα καὶ τοὔνομα τοῦ μειρακίου βοῶντας. Τὸν μὲν οὖν Βηπολιτανὸν ἡ πολλοὺς ἀπολέσασα φιλαργυρία διέσωσεν ἀπροσδοκήτως. Ὁ δὲ Τορήδοραξ κατακοπεὶς ἄταφος ἐξεβέβλητο, καὶ τῶν φίλων οὐδεὶς ἐτόλμησε προσελθεῖν. Γύναιον δὲ Περγαμηνὸν ἐγνωσμένον ἀφ' ὥρας ζῶντι τῷ Γαλάτῃ παρεκινδύνευσε θάψαι καὶ περιστεῖλαι τὸν νεκρόν· ᾔσθοντο
D δὲ οἱ φύλακες, καὶ συλλαβόντες ἀνήγαγον πρὸς τὸν βασιλέα. Λέγεται μὲν οὖν τι καὶ πρὸς τὴν ὄψιν αὐτῆς παθεῖν

B. 6. πρωτεύσαντος] Delendum.

qui elegantia formæ reliquis antecedebat æqualibus omnibus, miſerabatur eum, ac factum mutabat, ſatiſque præ ſe ferebat, ægre ſe interitum ejus ferre, quem inter primos necatum fuiſſe putabat: miſit tamen qui vivum relinqui juberent ſi nondum periiſſet. Nomen adoleſcenti Bepolitanus erat: eique mirabilis caſus evenit, cum enim comprehenderetur, pulchram et pretioſam geſtabat veſtem, quam dum ſibi puram a ſanguine ſervare cupit carnifex, ideoque paulatim detrahit, vidit regis nuncios accurrere, nomen Bepolitani clamantes. Ita huic avaritia, quæ multos perdidit, inſperatam attulit ſalutem. Toredorix occiſus, et ſepultura cadaveri projecto negata eſt. Muliercula autem Pergamena, cum qua is vivus conſueverat, auſa eſt mortui corpus componere et humare: quam cuſtodes deprehenſam ad regem adduxerunt. Fertur ſane Mithridates aliquantulum fu-

σῶν· ἐμαυτὴν γὰρ ὅτι βουλήσῃ ὁρῶ γεγενημένην. Ἐμοὶ περὶ σῶμα κόσμος ἦν, καὶ ἄργυρος ἐν ἐκπώμασιν, ἦν τι καὶ χρυσοῦ καὶ νομίσματος· ὡς δὲ ἡ πόλις ἡλίσκετο, πάντα συλλαβεῖν κελεύσασα τὰς θεραπαινίδας ἔῤῥιψα, μᾶλλον δὲ κατεθέμην εἰς φρέαρ ὕδωρ οὐκ ἔχον· οὐδὲ ἴσασιν αὐτὸ πολλοί· πῶμα γὰρ ἔπεστι καὶ κύκλῳ περιπέφυκεν ὕλη σύσκιος· ταῦτα σὺ μὲν εὐτυχοίης λαβών, ἐμοὶ δὲ ἔσται πρὸς σε μαρτύρια καὶ γνωρίσματα τῆς περὶ τὸν οἶκον εὐτυχίας καὶ λαμπρότητος. Ἀκούσας οὖν ὁ Μακεδὼν, οὐ περιέμεινε τὴν ἡμέραν, ἀλλ᾽ εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν τόπον ἡγουμένης Τιμοκλείας· καὶ τὸν κῆπον ἀποκλεῖσαι κελεύσας, ὅπως αἴσθοιτο μηδεὶς, κατέβαινεν ἐν τῷ χιτῶνι. Στυγερὰ δ᾽ ἡγεῖτο Κλωθὼ τιμωρὸς ὑπὸ τῆς Τιμοκλείας ἐφεστώσης ἄνωθεν. Ὡς δ᾽ ᾔσθετο τῇ φωνῇ κάτω γεγονότος, πολλοὺς μὲν αὐτὴ τῶν λίθων ἐπέφερε, πολλοὺς δὲ καὶ μεγάλους αἱ θεραπαινίδες ἀπεκύλινδον· ἄχρις οὗ κατέκοψαν αὐτὸν καὶ

A. 4. βουλήσῃ] Forte βούλῃ σὺ Mez.
B. 8. ἐφεστώσης] Ita E. Venet. T.P. Vulgo ὑφεστώσης.

tuis rebus: nam me quidem id futuram video, quod tu volueris. Habui mundum muliebrem, et pocula argentea, nonnihil etiam auri et nomiſmatis: cum autem urbs caperetur, ancillis mandavi ut omnia convaſarent, abjecique, aut potius depoſui in puteum aqua carentem pauciſque notum; eſt enim tectus operculo, umbroſumque circa nemus occultat. Hæc tibi accipienti fauſta ſint: mihi quidem apud te erunt argumenta et indicia fortunarum ac ſplendoris familiæ meæ. His auditis Macedo, non exſpectata die confeſtim ad locum perrexit, ducente Timoclea, et hortum claudi juſſit ne quis ſentiret, tunicatuſque in puteum deſcendit. Horribile autem eum ducebat ad ſupplicium Parca Vindex, ſub perſona Timocleæ, ſuperne inſtantis. Quæ, cum e voce ſenſit eum in imo eſſe, multos ingeſſit lapides, multos etiam magnoſque advolutos ancillæ injecerunt, donec eum contu-

κατέχωσαν. Ὡς δ' ἔγνωσαν οἱ Μακεδόνες, καὶ τὸν νεκρὸν ἀνείλοντο, κηρύγματος ἤδη γεγονότος μηδένα κτείνειν Θηβαίων, ἦγον αὐτὴν συλλαβόντες ἐπὶ τὸν βασιλέα, καὶ προσήγγειλαν τὸ τετολμημένον. Ὁ δὲ καὶ τῇ καταστάσει τοῦ προσώπου καὶ τῷ σχολαίῳ τοῦ βαδίσματος ἀξιωματικόν τι καὶ γενναῖον ἐνιδών, πρῶτον ἀνέκρινεν αὐτὴν τίς εἴη γυναικῶν· ἡ δὲ ἀνεκπλήκτως πάνυ καὶ τεθαρρηκότως εἶπεν, Ἐμοὶ Θεαγένης ἦν ἀδελφός, ὃς ἐν Χαιρωνείᾳ στρατηγῶν καὶ μαχόμενος πρὸς ὑμᾶς ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἔπεσεν, ὅπως ἡμεῖς μηδὲν τοιοῦτον πάθωμεν· ἐπεὶ δὲ πεπόνθαμεν ἀνάξια τοῦ γένους,
D ἀποθανεῖν οὐ φεύγομεν· οὐδὲ γὰρ ἄμεινον ἴσως ζῶσαν ἑτέρας πειραθῆναι νυκτός, εἰ σὺ τοῦτο μὴ κωλύσῃς. Οἱ μὲν οὖν ἐπιεικέστατοι τῶν παρόντων ἐδάκρυσαν. Ἀλεξάνδρῳ δὲ οἰκτείρειν μὲν οὐκ ἐπῄει τὴν ἄνθρωπον ὡς μείζονα, θαυμάσας δὲ τὴν ἀρετὴν καὶ τὸν λόγον εὖ μάλα καθαψάμενον αὐτοῦ, τοῖς μὲν ἡγεμόσι παρήγγειλεν προσ-

derunt atque obruerunt ſaxis. Macedones ubi de ea re facti ſunt certiores, ſublato cadavere, cum jam edictum eſſet ne quis Thebanorum occideretur, captam Timocleam ad regem adduxerunt, facinusque narraverunt. Alexander ex vultus conſtantia, lentoque inceſſu gravitatem generoſamque indolem ratiocinatus, principio quæſivit quænam eſſet mulier. Illa vero impavide prorſus et confidenter, *Mihi*, inquit, *frater fuit Theagenes, qui ad Chæroneam dux exercitus et contra vos pro libertate Græciæ dimicans cecidit, ne quid nobis tale accideret: cum autem perpeſſa ſim genere meo indigna, mori non recuſo; potius enim hoc eſt, quam viventem aliam talem experiri noctem, niſi tu id prohibeas.* Humaniſſimus quiſque adſtantium ad hæc lachrymas emiſit. Alexandro miſerari mulierem, ut miſeratione ſuperiorem, non ſubiit: admiratus autem virtutem, orationemque, qua ſatis graviter ſe notatum ſentiebat, ducibus mandavit ut atten-

ἔχειν, καὶ φυλάττειν, μὴ πάλιν ὕβρισμα τοιοῦτον εἰς οἰκίαν ἔνδοξον γένηται· τὴν δὲ Τιμόκλειαν ἀφεῖναι, αὐτήν τε καὶ πάντας, ὅσοι μετὰ γένους αὐτῇ προσήκοντες εὑρέθησαν.

κε΄. ΕΡΥΞΩ.

Βάττου τοῦ ἐπικληθέντος Εὐδαίμονος, υἱὸς Ἀρκεσίλαος ἦν, οὐδὲν ὅμοιος τῷ πατρὶ τοὺς τρόπους· καὶ γὰρ ζῶντος ἔτι περὶ τὴν οἰκίαν περιθεὶς ἐπάλξεις, ὑπὸ τοῦ πατρὸς ἐζημιώθη ταλάντῳ· καὶ τελευτήσαντος ἐκείνου, τοῦτο μὲν οὖν φύσει χαλεπὸς ὤν, ὅπερ καὶ ἐπεκλήθη, τοῦτο δὲ φίλῳ πονηρῷ Λαάρχῳ χρώμενος, ἀντὶ Βασιλέως ἐγεγόνει τύραννος. Ὁ δὲ Λάαρχος ἐπιβουλεύων τῇ τυραννίδι, καὶ τοὺς ἀρίστους τῶν Κυρηναίων ἐξελαύνων ἢ φονεύων, ἐπὶ τὸν Ἀρκεσίλαον τὰς αἰτίας ἔτρεπε· καὶ τέλος ἐκεῖνον μὲν εἰς νόσον ἐμβαλὼν φθινάδα καὶ χαλεπὴν, λαγὼν πιόντα θαλάσσιον διέφθειρεν· αὐτὸς δὲ τὴν ἀρχὴν εἶχεν, ὡς τῷ παιδὶ τῷ ἐκείνου Βάττῳ διαφυλάττων. Ὁ μὲν οὖν παῖς

D. 8. ἔνδοξον] Reſtitui ex E. Venet. Ald. Baſ. Xyl. Vulgo εὔδοξον.

derent præſtarentque, ne porro talis contumelia familiæ alicui illuſtri inferretur: Timocleam autem dimiſit, omneſque qui eam cognatione attingere inventi ſunt.

XXV. Eryxo.

Batti, ejus qui Felicis cognomentum tulit, filius fuit Arceſilaus, moribus patri nequaquam ſimilis. Nam et vivens eum pater talento mulctaverat, quod propugnacula ædibus ſuis circumpoſuiſſet: et mortuo patre, cum et ingenio eſſet aſpero, (unde et cognomen Aſperi reperit) et amico malo uteretur Laarcho, pro rege tyrannus fuit. Laarchus autem cum affectaret tyrannidem, ac Cyrenæorum optimos aut pelleret urbe aut interficeret, culpam in Arceſilaum conferebat: tandemque eum in morbum gravem ac tabificum propinato lepore marino conjecit, vitaque exuit: et ipſe imperium occupavit, Batto ejus filio id ſe adſervare prætendens. Filius porro Arceſilai

καὶ διὰ τὴν χωλότητα καὶ διὰ τὴν ἡλικίαν κατεφρονεῖτο, τῇ δὲ μητρὶ πολλοὶ προσεῖχον αὐτοῦ· σώφρων τε γὰρ ἦν καὶ φιλάνθρωπος, οἰκείους τε πολλοὺς καὶ δυνατοὺς εἶχε. Διὸ καὶ θεραπεύων αὐτὴν ὁ Λάαρχος ἐμνηστεύετο, καὶ τὸν Βάττον ἤξιυ παῖδα θέσθαι, γήμας ἐκείνην, καὶ κοινωνὸν ἀποδείξας τῆς ἀρχῆς. Ἡ δὲ Ἐρυξὼ, τοῦτο γὰρ ἦν τοὔνομα τῇ γυναικὶ, βουλευσαμένη μετὰ τῶν ἀδελφῶν, ἐκέλευε τὸν Λάαρχον ἐντυγχάνειν ἐκείνοις, ὡς αὐ-
261 τῆς προσιεμένης τὸν γάμον. Ἐπεὶ δ' ὁ Λάαρχος ἐνετύγχανε τοῖς ἀδελφοῖς, ἐκεῖνοι δὲ ἐπίτηδες παρῆγον καὶ ἀνεβάλλοντο, πέμπει πρὸς αὐτὸν ἡ Ἐρυξὼ θεραπαινίδα παρ' αὐτῆς, διαγγέλλουσαν ὅτι νῦν μὲν ἀντιλέγουσιν οἱ ἀδελφοὶ, γενομένης δὲ τῆς συνόδου παύσονται διαφερόμενοι καὶ συγχωρήσουσι· δεῖ οὖν αὐτὸν, εἰ βούλεται, νύκτωρ ἀφικέσθαι πρὸς αὐτήν· καλῶς γὰρ ἕξειν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς γενομένης. Ἦν οὖν ταῦτα πρὸς ἡδονὴν τῷ Λαάρχῳ, καὶ παντάπασιν ἀναπτοηθεὶς πρὸς τὴν φιλοφροσύνην τῆς γυναικὸς, ὡμολόγησεν

et quia claudus erat, et propter ætatem contemnebatur: matrem ejus magni faciebant plerique, fœminam pudicam atque humanam, et familiaribus multis potentibuſque ſtipatam. Itaque eam Laarchus demerens, nuptias ipſius expetebat, promittebatque ſe ea ducta Battum adoptaturum, et ſocium regni habiturum. Eryxo (ita enim appellabatur mulier) re cum fratribus deliberata, Laarchum cum his agere juſſit, ſe fingens aſſentiri. Laarcho cum fratribus Eryxus locuto, cum rem illi de induſtria traherent, moramque producerent, Eryxo ancillam ad eum mittit, nunciatque: *Fratres in præſentia repugnare: quod ſi ſecum concubuiſſet, finem eos diſſentiendi facturos, et conceſſuros nuptias: veniret itaque ad ſe noctu, ſi videretur: facto enim initio, reliqua facile ſucceſſura.* Voluptati hæc fuerunt Laarcho, animoque ob blanditias mulieris vana ſpe protinus in-

ἥξειν, ὅταν ἐκείνη κελεύῃ. Ταῦτα δὲ ἔπραττεν ἡ Ἐρυξὼ B μετὰ Πολυάρχου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν. Ὁρισθέντος δὲ καιροῦ πρὸς τὴν σύνοδον, ὁ Πολύαρχος εἰς τὸ δωμάτιον τῆς ἀδελφῆς παρεισήχθη κρύφα νεανίσκους ἔχων δύο σὺν αὐτῷ ξιφήρεις, φόνῳ πατρὸς ἐπεξιόντας, ὃν ὁ Λάαρχος ἐτύγχανεν ἀπεκτονὼς νεωστί. Μεταπεμψαμένης δὲ τῆς Ἐρυξοῦς αὐτὸν ἄνευ δορυφόρων εἰσῆλθε· καὶ τῶν νεανίσκων αὐτῷ προσπεσόντων, τυπτόμενος τοῖς ξίφεσιν ἀπέθανε. Τὸν μὲν οὖν νεκρὸν ἔρριψαν ὑπὲρ τὸ τεῖχος, τὸν δὲ Βάττον προαγαγόντες ἀνέδειξαν ἐπὶ τοῖς πατρῴοις βασιλέα, καὶ τὴν ἀπ᾽ ἀρχῆς πολιτείαν ὁ Πολύαρχος ἀπέδωκε τοῖς Κυρηναίοις. Ἐτύγχανον δὲ C Ἀμάσιδος τοῦ Αἰγυπτίων βασιλέως στρατιῶται συχνοὶ παρόντες, οἷς ὁ Λάαρχος ἐχρῆτο πιστοῖς, καὶ φοβερὸς ἦν οὐχ ἥκιστα δι᾽ ἐκείνων τοῖς πολίταις· οὗτοι πρὸς Ἄμασιν ἔπεμψαν τοὺς κατηγορήσοντας τοῦ τε Πολυάρχου καὶ τῆς Ἐρυξοῦς. Χαλεπαίνοντος δὲ ἐκείνου καὶ διανοουμένου πολεμεῖν τοῖς Κυρηναίοις, συνέβη τὴν μητέρα τελευτῆσαι,

ſlato, venturum ſe, ubi ipſa juſſiſſet, pollicitus eſt. Hæc autem Eryxo agebat Polyarchi, qui fratrum natu erat maximus, conſilio. Conſtituto coitus tempore, Polyarchus occulte in cubile ſororis introductus eſt, ſtipatus duobus adoleſcentibus gladios tenentibus, pœnaſque de nece patris exacturis, quem Laarchus recens interfecerat. Laarchus ab Eryxone vocatus, ſine ſtipatoribus venit, et irruentibus in eum adoleſcentibus, gladiis confoſſus periit. Cadavere trans murum ejecto, Battum productum regni paterni ſucceſſorem declaraverunt, priſtinamque reipublicæ conſtitutionem Polyarchus Cyrenæis reſtituit. Aderant ea tempeſtate permulti milites Amaſidis regis Ægyptiorum, quorum fideli opera uſus Laarchus, et propter eos non minime terribilis civibus fuerat. Hi ad Amaſin miſerunt, qui Polyarchum et Eryxonem accuſarent. Is cum indignaretur, ac de bello Cyrenæis inferendo cogitaret, matrem ejus

καὶ ταφὰς αὐτῆς ἐπιτελοῦντος, ἀπαγγέλλονται ἐλθεῖν· περὶ τοῦ Ἀμάσιδος. Ἔδοξεν οὖν τῷ Πολυάρχῳ βαδίζειν ἀπολογησαμένῳ· τῆς δὲ Ἐρυξοῦς μὴ ἀπολειπο-
D μένης, ἀλλ' ἐπειδὴ καὶ συγκινδυνεύειν βουλομένης, οὐδὲ ἡ μήτηρ Κριτόλα, καίπερ οὖσα πρεσβῦτις, ἀπελείπετο· μέγιστον δὲ αὐτῆς ἦν ἀξίωμα, Βάττου γεγενημένης ἀδελφῆς τοῦ εὐδαίμονος. Ὡς οὖν ἦλθον εἰς Αἴγυπτον, οἵ τε ἄλλοι θαυμαστῶς ἀπεδέξαντο τὴν πρᾶξιν αὐτῶν, καὶ ὁ Ἄμασις οὐ μετρίως ἀπεδέξατο τήν τε σωφροσύνην καὶ τὴν ἀνδρείαν τῆς Ἐρυξοῦς· δώροις δὲ τιμήσας καὶ θεραπείᾳ βασιλικῇ, τόν τε Πολύαρχον καὶ τὰς γυναῖκας εἰς Κυρήνην ἀπέστειλεν.

κϛʹ. ΞΕΝΟΚΡΙΤΗ.

E Οὐχ ἧττον δ' ἄν τις ἀγάσαιτο τὴν Κυμαίαν Ξενοκρίτην ἐπὶ τοῖς πραχθεῖσι περὶ Ἀριστόδημον τὸν τύραννον, ὦ τινες μαλακὸν ἐπίκλησιν οἴονται γεγονέναι, τὸ ἀληθὲς ἀγνοοῦντες. Ἐπεκλήθη γὰρ ὑπὸ τῶν βαρβάρων μαλακὸς, ὅπερ ἐστὶν ἀντίπαις, ὅτι μειράκιον ὢν παντά-

mori contigit: juſtaque ipſo faciente, renunciatum eſt illud Cyrenam. Placuit itaque Polyarcho ſui excuſandi gratia ad Amaſidem proficiſci: cumque Eryxo una ire ac periculum obire vellet, mater etiam Critola, quantumvis vetula, comitem ſe adjunxit, maximæ auctoritatis mulier, utpote ſoror Batti quondam Felicis. Poſtquam in Ægyptum venerunt, cum aliis majorem in modum cauſam ſuam probavere, tum ipſe Amaſis maximo opere pudicitiam fortitudinemque Eryxonis eſt amplexus: doniſque honoris gratia affectos, et regio more tractatos, Polyarchum ac mulieres Cyrenam remiſit.

XXVI. Xenocrita.

Non minorem admirationem meretur Xenocrita Cumana, ob facinus in Ariſtodemum tyrannum. Qui Mollem hunc a mollitie cognominatum putant, ignoratione veri id faciunt. Fuit enim Mollis dictus a barbaris, quaſi Ephebus: quod adoleſcentulus admodum inter æquales ad-

παισὶ μετὰ τῶν ἡλίκων ἔτι κομώντων, οὓς κορωνιστὰς, ὡς ἔοικεν, ἀπὸ τῆς κόμης ὠνόμαζον, ἐν τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις ἐπιφανὴς ἦν καὶ λαμπρὸς, οὐ τόλμῃ μόνον οὐδὲ χειρὸς ἔργοις, ἀλλὰ συνέσει καὶ προνοίᾳ φανεὶς περιττός. Ὅθεν εἰς τὰς μεγίστας προῆλθεν ἀρχὰς, θαυμαζόμενος ὑπὸ τῶν πολιτῶν, καὶ Ῥωμαίοις ἐπικουρίαν ἄγων ἐπέμφθη πολεμουμένοις ὑπὸ τῶν Τυῤῥηνῶν, Ταρκύνιον Σούπερβον ἐπὶ τὴν βασιλείαν καταγόντων. Ἐν ταύτῃ δὲ τῇ στρατιᾷ μακρᾷ γενομένῃ πάντῃ πρὸς χάριν ἐνδιδοὺς τοῖς στρατευομένοις τῶν πολιτῶν, καὶ δημαγωγῶν μᾶλλον ἢ στρατηγῶν, ἔπεισεν αὐτοὺς συνεπιθέσθαι τῇ βουλῇ, καὶ συνεκβαλεῖν τοὺς ἀρίστους καὶ δυνατωτάτους. Ἐκ δὲ τούτου γενόμενος τύραννος, ἦν μὲν ἐν ταῖς περὶ γυναῖκας καὶ παῖδας ἐλευθέρους ἀδικίαις αὐτὸς ἑαυτοῦ μοχθηρότατος. Ἱστόρηται γὰρ ὅτι τοὺς μὲν ἄῤῥενας παῖδας ἤσκει κόμαις καὶ χρυσοφορεῖν, τὰς δὲ θηλείας ἠνάγκαζε περιτρόχαλα κείρεσθαι, καὶ φορεῖν

modum comam alentes, quos, ut apparet, coroniſtas a coma dicebant, in bellis contra barbaros claruit, non audacia modo et opere militari, ſed calliditate etiam ac providentia uſus ſingulari. Itaque a civibus in admiratione habitus, et ad maxima imperia evectus eſt. Romanis quoque miſſus eſt ſuppetias adducens, cum ii bello urgerentur ab Etruſcis Tarquinium Superbum in regnum reſtituere conantibus. In ea expeditione, quae diu duravit, omnia in gratiam militum agens, magiſque popularem captantis favorem quam ducis perſonam gerens, perſuaſit eis ut ſe in invadendo ſenatu, ejiciendiſque urbe Cumana optimis potentiſſimiſque civibus adjuvarent. Inde potitus tyrannide, injuriis quas in mulieres et ingenuos pueros exercebat, omnia ſua ſuperavit flagitia. Memoriae enim proditum eſt, maſculos eum pueros condocefeciſſe ut comam alerent aurumque geſtarent: mulieres autem coegiſſe ut tonderentur rotunde,

A ἐφήβοις χλαμύδας καὶ τῶν ἀνακώλων χιτωνίσκων. Οὐ μὴν ἀλλ' ἐξαιρέτως ἐρασθεὶς τῆς Ξενοκρίτης, ἔσχεν αὐτὴν φυγάδος οὖσαν πατρὸς, οὐ καταγαγὼν οὐδὲ πείσας ἐκεῖνον, ἀλλ' ὁπωσοῦν ἡγούμενος ἀγαπᾶν συνοῦσαν αὐτῷ τὴν κόρην, ἅτε δὴ ζηλουμένην καὶ μακαριζομένην ὑπὸ τῶν πολιτῶν. Τὴν δὲ ταῦτα μὲν οὐκ ἐξέπληττεν· ἀχθομένη δὲ ἐπὶ τῷ συνοικεῖν ἀνέκδοτος καὶ ἀνέγγυος, οὐδὲν ἧττον ἐπόθει τῶν μισουμένων ὑπὸ τοῦ τυράννου τὴν τῆς πατρίδος ἐλευθερίαν. Ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ τάφρον ἄγων κύκλῳ περὶ τὴν χώραν ὁ Ἀριστόδημος,
B οὔτε ἀναγκαῖον ἔργον οὔτε χρήσιμον, ἄλλως δὲ τρίβειν καὶ καταπονεῖν πόνοις καὶ ἀσχολίαις τοὺς πολίτας βουλόμενος· ἦν γὰρ προστεταγμένον ἑκάστῳ μέτρων τινῶν ἀριθμὸν ἐκφέρειν τῆς γῆς. Ὡς εἶδεν ἀπιόντα τὸν Ἀριστόδημον,

A. 3. ἐκεῖνον] Sic Venet. T. P. Vulgo ἐκεῖνος.

B. 4. Ὡς εἶδεν ἀπιόντα] Excidit nomen hujus mulieris, vel ſimile quid, Ἐν τούτοις δὲ καὶ γυνή τις, ὡς εἶδε ἐπιόντα τὸν Ἀ. Nam de muliere eſt ſermo quæ ſimul cum aliis civibus humum egerebat. Amiotus ex duabus mulieribus unam facit Xenocritam, ſed duas virtutes ejus: dum mox vertit ac ſi legiſſet δυαῖν ἀρεταῖν γυναικός. Perperam.

chlamydes epheborum geſtarent, et tuniculas perbreves. Erat Xenocrita quædam Cumis, puella patre nata, qui tum in exilium actus erat. Hanc Ariſtodemus ſingulari amore ardens ſecum habuit, non adductam aut perſuadendo conciliatam ſibi, ſed ratus utcunque gratum futurum puellæ, quod cum tyranno viveret, et a civibus ſuſpiceretur ac beata putaretur. At Xenocritam hæc nihil movebant; ſed cum moleſte ferebat ſe nullis pactis nuptialibus, abſque ulla deſponſione cum viro degere, tum eorum qui tyrannum oderant libertatis patriæ cedebat deſiderio nemini. Forte tum eo tempore Ariſtodemus foſſa regionem quandam ambiebat: quod opus neque neceſſarium erat neque utile, tantum ad vexandos laboribuſque atterendos cives excogitatum. Erat enim ſingulis certa menſura egerendæ terræ deſignata atque imperata. Ut vidit accedentem

ἐξέκλινε καὶ παρεκαλύψατο τῷ χιτωνίσκῳ τὸ πρόσωπον· ἀπελθόντος οὖν τοῦ Ἀριστοδήμου, σκώπτοντες οἱ νεανίσκοι καὶ παίζοντες ἠρώτων ὅτι δὴ μόνον ὑπ᾽ αἰδοῦς φύγοι τὸν Ἀριστόδημον, πρὸς δὲ τοὺς ἄλλους οὐδὲν πάθοι τοιοῦτον. Ἡ δὲ καὶ μάλα μετὰ σπουδῆς ἀπεκρίνατο, Μόνος γὰρ, ἔφη, Κυμαίων Ἀριστόδημος ἀνήρ ἐστι. Τοῦτο γὰρ λεχθὲν τὸ ῥῆμα πάντων μὲν ἥψατο, τοὺς δὲ γενναίους καὶ παρώξυνεν αἰσχύνῃ τῆς ἐλευθερίας ἀντέχεσθαι. Λέγεται δὲ Ξενο- C κρίτην ἀκούσασαν εἰπεῖν, ὡς ἐβούλετο ἂν καὶ αὐτὴ γῆν ὑπὲρ τοῦ πατρὸς φέρειν παρόντος, ἢ τρυφῆς συμμετέχειν Ἀριστοδήμῳ καὶ δυνάμεως τοσαύτης. Ἐπέρρωσεν οὖν ταῦτα συνισταμένους ἐπὶ τὸν Ἀριστόδημον, ὧν ἡγεῖτο Θυμοτέλης· καὶ τῆς Ξενοκρίτης εἰσόδου παρεχούσης αὐτοῖς ἄδειαν, καὶ τὸν Ἀριστόδημον ἄοπλον καὶ ἀφύλακτον, οὐ χαλεπῶς παρεισπεσόντες, διαφθείρουσιν αὐτόν. Οὕτω μὲν ἡ Κυμαίων πόλις ἠλευθερώθη δυεῖν ἀρετῇ γυναικῶν,

B. 10. γὰρ λεχθὲν] Particula non ſatis congruens huic loco. Mez. corrig. γοῦν. Poterat et ἄρα ſcriptum fuiſſe.

Ariſtodemum, declinavit, tunicaque faciem velavit, eoque digreſſo cum adoleſcentes per jocum et illudendi gratia quærerent, quid eſſet cauſæ, quod ſolum præ pudore fugeret Ariſtodemum, neque aliis maribus eodem modo afficeretur: plane ſerio reſpondit, *Solus enim inter Cumanos Ariſtodemus vir eſt.* Ea vox cum omnes tangeret, generoſos etiam pudor inſtigavit ad recuperandæ libertatis ſtudium. Et quidem ipſam Xenocritam aiunt cum hoc audiviſſet, dixiſſe: *Malle ſe quoque pro patre, ſi ei reditus eſſet in patriam datus, terram portare, quam in tanto luxu et potentia cum Ariſtodemo vivere.* Hæc confirmaverunt eorum animos,qui principe Tymotele in Ariſtodemum conſpiraverant: cumque eis aditum ſecurum præberet Xenocrita, et Ariſtodemum inermem atque cuſtodiæ expertem, non magno negotio irruerunt, eumque trucidaverunt. Hoc modo Cumæ duarum mulierum virtute libertatem receperunt: altera cogi-

ὔνοιαν αὐτοῖς καὶ ὁρμὴν ἐμβαλούσης τοῦ ἔργου, εἰς τὸ τέλος συλλαβομένης. Τιμῶν δὲ καὶ ἄλλων τῇ Ξενοκρίτῃ προτεινομένων, ἐάσασα ᾐτήσατο, θάψαι τὸ σῶμα τοῦ Ἀριστοδήμου. οὖν ἔδοσαν αὐτῇ, καὶ Δήμητρος ἱέρειαν αὐτὴν χ ἧττον οἰόμενοι τῇ θεῷ κεχαρισμένην ἢ πρέ-είνῃ τιμὴν ἔσεσθαι.

κζ΄. ΠΥΘΕΩ ΓΥΝΗ.

δὲ καὶ τὴν Πύθεω, τοῦ κατὰ Ξέρξην, γυναῖκα ἔσθαι καὶ χρηστήν. Αὐτὸς μὲν γὰρ ὁ Πύθης, χρυσείοις ἐντυχὼν μετάλλοις, καὶ ἀγαπήσας τὸν πλοῦτον οὐ μετρίως, ἀλλ᾽ ἀπλήστως καὶ αὐτός τε περὶ ταῦτα διέτριβε, καὶ τοὺς πο-βιβάζων ἅπαντας ὁμαλῶς ὀρύττειν ἢ φορεῖν ἢ νάγκαζε τὸ χρυσίον, ἄλλο μηδὲν ἐργαζομένους μηδὲ πράττοντας. Ἀπολλυμένων δὲ πολ-ῶν δὲ ἀπαγορευόντων, αἱ γυναῖκες ἱκετηρίαν

s rei gerendæ, ſti-
injiciente: altera
ficiendam auxilium
Cum autem magni
dona ampla Xeno-
entur, omnibus ea
oc petiit, ut Ariſ-
ver ſibi ſepelire li-
que hoc tantum a
etravit, ſed et Ce-
cerdotem fecerunt:
norem non minus
, quam Xenocritæ
e.

Pythis uxor.

que uxor, qui
e vixit, a ſapientia
et humanitate commendatur. Inciderat, ut aiunt, maritus ejus in metalla auri: et quas inde conſequebatur divitias, non moderate amplexus, ſed inexpleti animi ſtudio perſequens, cum ipſe ſupra modum ei negotio vacabat, tum univerſos cives eo adductos ex æquo fodere, aut egerere, aut purgare aurum cogebat, omnibus aliis actionibus operibuſque prorſum neglectis. Multis tum pereuntibus, omnibuſque animum deſpondentibus, mulieres ad januam Pythis uxoris ſeſe contulerunt, ibique

θεσαν ἐπὶ τὰς θύρας ἐλθοῦσαι τῆς τοῦ Πύθεω γυναικός. Ἡ δὲ ἐκείνας μὲν ἀπιέναι καὶ θαῤῥεῖν ἐκέλευσεν, αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν οἷς ἐπίστευε μάλιστα καλέσασα καὶ καθείρξασα, ποιεῖν ἐκέλευσεν ἄρτους τε χρυσοῦς, καὶ πέμματα παντοδαπά, καὶ ὀπώρας, καὶ ὅσοις δὴ μάλιστα τὸν Πύθην ἐγίνωσκεν ἡδόμενον ὄψοις καὶ βρώμασι. Ποιηθέντων δὲ πάντων, ὁ μὲν Πύθης ἧκεν ἀπὸ τῆς ξένης· ἐτύγχανε γὰρ ἀποδημῶν· ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τράπεζαν οὐδὲν ἐδώδιμον ἔχουσαν, ἀλλὰ πάντα χρυσᾶ. Τὸ μὲν οὖν πρῶτον ἔχαιρε Πύθης τοῖς μιμήμασιν, ἐμπλησθεὶς δὲ τῆς ὄψεως, ἤτει φαγεῖν· ἡ δὲ χρυσοῦν ὅ, τι τύχοι ποθήσας προσέφερε. Δυσχεραίνοντος δὲ αὐτοῦ καὶ πείνην βοῶντος, Ἀλλὰ σύ γε τούτων, εἶπεν, ἄλλου δὲ οὐδενὸς εὐπορίαν πεποίηκας ἡμῖν· καὶ γὰρ ἐμπειρία καὶ τέχνη πᾶσα φροῦδος, γεωργεῖ δὲ οὐδείς, ἀλλὰ τὰ σπειρόμενα καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς ὀπίσω καταλιπόντες, ὀρύσσομεν ἄχρηστα καὶ ζητοῦμεν, ἀποκναίοντες αὐτοὺς καὶ τοὺς πολίτας.

de more ſupplicationis ſignum depoſuerunt. Ea, diſcedere his, et bono eſſe animo juſſis, aurifabros, quibus maxime fidebat, ad ſe accivit, domique incluſos juſſit panes, bellaria, poma, et alios cibos quibus maxime delectari Pythen noverat, ex auro omnia conficere. Iverat tum forte Pythes peregre. Qui ut domum rediit, cœnamque popoſcit, auream ei mulier menſam appoſuit, nullo eſui apto cibo, ſed omnibus aureis inſtructam. Cum initio delectatus artificio naturam imitante, ſatur ſpectaculi poſceret cibum, quodcunque peteret id aureum ei mulier attulit. Indignanti, et eſurire ſe reſpondenti: Atqui, inquit, harum tu nobis rerum copiam nullius præterea paraviſti: omnia enim artificia, omnis uſus aliarum rerum deſertus eſt: agros nemo colit, et poſthabita ſatione, plantatione, alimentorumque e tellure comparatione, fodimus inutilia ac quærimus, nobis civibuſque extremam exhibentes moleſtiam. Permovit hæc

ποι ταῦτα τὸν Πύθην, καὶ πᾶσαν μὲν οὐ κατέλυσε ρὶ τὰ μέταλλα πραγματείαν, ἀνὰ μέρος δὲ τὸ ον ἐργάζεσθαι κελεύσας τῶν πολιτῶν, τοὺς λοιποὺς ωργίαν καὶ τὰς τέχνας ἔτρεψε. Ξέρξου δὲ κατα- ντος ἐπὶ τὴν Ἑλλάδα, λαμπρότατος ἐν ταῖς δοχαῖς καὶ ταῖς δωρεαῖς γενόμενος, χάριν ᾐτήσατο τοῦ βασιλέως, πλειόνων αὐτῷ παίδων ὄντων, ἕνα ναι τῆς στρατείας, καὶ καταλιπεῖν αὐτῷ γηροβοσκόν. ὁ Ξέρξης ὑπ' ὀργῆς τοῦτον μόνον ὃν ἐξῃτήσατο ας καὶ διατεμὼν, ἐκέλευσε τὸν στρατὸν διελθεῖν, δὲ ἄλλους ἐπηγάγετο, καὶ πάντες ἀπώλοντο κατὰ μάχας. Ἐφ' οἷς ὁ Πύθης ἀθυμήσας ἔπαθεν ὅμοια οῖς τῶν κακῶν καὶ ἀνοήτων. Τὸν μὲν γὰρ θάνατον εῖτο, τῷ βίῳ δὲ ἤχθετο. Βουλόμενος δὲ μὴ ζῇν, σθαι δὲ τὸ ζῇν μὴ δυνάμενος, χώματος ὄντος ἐν λει μεγάλου καὶ ποταμοῦ διαῤῥέοντος, ὃν Πυθοπο-

B. 1. τῆς στρατείας] Dedi ex E. et Jun. Vulgo τῇ στρατιᾷ.

Pythen: et quanquam uris aureis non plane deſ- contentus tamen quinta n parte ad hanc rem, re- agriculturæ et artibus ibere juſſit. Is Pythes Xerxem in Græciam pro- ntem ſplendidiſſime ex- et, doniſque ampliſſimis itus eſſet, hanc ſibi petiit e fieri gratiam, ut cum haberet filios, unus eo- immunitate militiæ dona- qui domi manens ſenem n curaret. Xerxes vero hunc unum, quem ſibi relinqui pater oraverat, jugu- lari ac diſſecari juſſit: caſtriſ- que motis reliquos omnes ab- duxit ejus fratres: omnes di- verſis in prœliis perierunt. Qua ex re cum magnum ani- mi dolorem cepiſſet Pythes, idem in ſe eſt expertus, quod vitioſis ſolet fatuiſque evenire hominibus. Nam et mortem timebat, et vitam ægre tolera- bat. Cumque et vivere nollet, et vitam projicere nequiret, hoc egit: Agger in urbe erat magnus, perque eam amnis labebatur, quem Pythopolitem

λίτην ὠνόμαζον, ἐν μὲν τῷ χώματι κατεσκεύασε μνημεῖον, ἐκτρέψας δὲ τὸ ῥεῖθρον, ὥστε διὰ τοῦ χώματος καταφέρεσθαι ψαύοντα τοῦ τάφου τὸν ποταμόν· ἐπὶ τούτοις συντελεσθεῖσιν, αὐτὸς μὲν εἰς τὸ μνημεῖον κατῆλθε, τῇ δὲ γυναικὶ τὴν ἀρχὴν καὶ τὴν πόλιν ἀναθεὶς ἅπασαν ἐκέλευσε μὴ προσιέναι, πέμπειν δὲ τὸ δεῖπνον αὐτῷ καθ᾽ ἑκάστην ἡμέραν εἰς βάριν ἐντεθεῖσαν, ἄχρις οὗ τὸν τάφον ἡ βάρις παρέλθῃ τὸ δεῖπνον ἀκέραιον ἔχουσα, τότε δὲ παύσασθαι πέμπουσαν, ὡς αὐτοῦ τεθνηκότος. Ἐκεῖνος μὲν οὕτω τὸν λοιπὸν βίον διῆγεν, ἡ δὲ γυνὴ τῆς ἀρχῆς καλῶς ἐπεμελήθη, καὶ μεταβολὴν κακῶν τοῖς ἀνθρώποις παρέχει.

nominabant. Eo in aggere monimentum ſibi paravit, fluviique alveum ita avertit, ut delapſu ſuo ſepulchrum attingeret: opere perfecto, uxori urbem imperiumque omne commiſit, mandato ne ad monimentum accederet, ſed ſibi quotidie cœnam lintri impoſitam per amnem demitteret, tantiſper dum linter cum cibo intacto ſepulchrum præterveheretur: hoc ſi eveniret, tum mittendi faceret finem, ſeque mortuum ſciret. Hoc ille modo vitæ reliquum conſumpſit. Uxor autem rebus præclare præfuit, civibuſque malorum mutationem paravit.

ΠΛΟΥΤΑΡΧΟΥ

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ῬΩΜΑΙΚΑ.

D

ΠΛΟΥΤΑΡΧΟΥ

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΡΩΜΑΙΚΑ.

PLUTARCHI

CAPITULORUM DESCRIPTIO.

QUÆSTIONES ROMANÆ.

α'.

"ΔΙΑ τί τὴν γαμουμένην ἅπτεσθαι πυρὸς καὶ
E ὕδατος κελεύουσι;" Πότερον τούτων, ὡς ἐν στοιχείοις καὶ ἀρχαῖς, τὸ μὲν ἄρρεν ἐστί, τὸ δὲ θῆλυ· καὶ τὸ μὲν ἀρχὰς κινήσεως ἐνίησι, τὸ δὲ ὑποκειμένου καὶ ὕλης

E. 3. κινήσεως] κινήσεως Jun. In proximo τὸ δὲ ὑποκειμένου excidiſſe videtur ἔχει. In ultimo disjuncto Ἢ οὐκ ἀπολειπτέον, deſidero ὅτι, ut ſit: Ἢ ὅτι οὐκ ἀπολειπτέον.

I.

QUID *cauſæ eſt cur ſponſa in nuptiis jubeatur aquam et ignem tangere?* An quod horum, quatenus in elementis ac principiis numerantur, alterum mas eſt, alterum fœmina: et ignis principia motionis ſuggerit, aqua ſubjecti ac materiæ facultatem

δύναμιν; Ἢ διότι τὸ πῦρ καθαίρει, καὶ τὸ ὕδωρ ἁγνίζει· δεῖ δὲ καθαρὰν καὶ ἁγνὴν διαμένειν τὴν γαμηθεῖσαν; Ἢ ὅτι καθάπερ τὸ πῦρ χωρὶς ὑγρότητος ἄτροφόν ἐστι καὶ ξηρόν, τὸ δὲ ὕδωρ ἄνευ θερμότητος ἄγονον καὶ ἀργόν, οὕτω καὶ τὸ ἄῤῥεν ἀδρανὲς καὶ τὸ θῆλυ χωρὶς ἀλλήλων, ἡ δὲ σύνοδος ἀμφοῖν ἐπιτελεῖ τοῖς γήμασι τὴν συμβίωσιν; Ἢ οὐκ ἀπολειπτέον, καὶ κοινωνητέον ἁπάσης τύχης, κἂν καλοῦ μηδενός, ἢ πυρὸς καὶ ὕδατος μέλλωσι κοινωνεῖν ἀλλήλοις;

β.

“ Διὰ τί οὐ πλείονας οὐδὲ ἐλάττονας, ἀλλὰ πέντε “ λαμπάδας ἅπτουσιν ἐν τοῖς γάμοις, ἃς κηρίωνας ὀνο- “ μάζουσιν;” Πότερον, ὡς Βάῤῥων ἔλεγεν, ὅτι τῶν στρατηγῶν τρισὶ χρωμένων, σὺν τοῖς ἀγορανόμοις πλείονας, παρὰ δὲ τῶν ἀγορανόμων ἅπτουσι τὸ πῦρ οἱ γαμοῦν-

F. 1. κἂν καλοῦ] Melius erat κἂν ἄλλου.

F. 6. σὺν τοῖς ἀγορανόμοις πλείονας] Corrupta hæc eodem in omnibus libris modo. Xylander vertit ut potuit: Amiotus in hanc ſententiam: *Quum Prætores tribus utantur facibus*, Æḋiles duabus: non erat rationi conſentaneum ut pluribus uterentur facibus ſponſi præſertim quum ſuas apud Æḋiles accendere deberent. Utrum e conjectura an veteris libri ſcriptura, non dicam.

obtinet? An quia ignis luſtrat, aqua purgat: debet autem quæ nubit puritatem ac caſtimoniam conſervare? An quod ſicut ignis abſque humore nutriendi vi deſtituitur, eſtque aridus, aqua autem abſque calore ſterilis eſt et otioſa, ita mas quoque et fœmina ſeorſim nihil valent, conjunctione eorum vitæ conſuetudo perfecta a nuptiis redditur? An id ſignificare volunt, alterum ab altero deſeri non debere, ſed eos in ſocietate qualiſcunque fortunæ perſiſtere, etiam ita rebus ferentibus, ut præter ignem et aquam nihil boni una frui detur?

II.

Cur in nuptiis quinque faces, (cereos ipſi vocant) non plures his aut pauciores accendunt? An quia, ut Varro ait, prætores trinis, pluribus ædiles utebantur, ab his autem

264 τις; Ἢ διότι πλείοσι χρωμένων ἀριθμοῖς, πρός τε τὰ ἄλλα βελτίων καὶ τελειότερος ὁ περιττὸς ἐνομίζετο, καὶ πρὸς γάμον ἁρμοδιώτερος; ὁ γὰρ ἄρτιος διάστασίν τε δέχεται, καὶ τὸ ἴσον αὐτοῦ μάχιμόν ἐστι καὶ ἀντίπαλον· ὁ δὲ περιττὸς οὐ δύναται διασχισθῆναι παντάπασιν, ἀλλὰ ὑπολείπει τι κοινὸν ἀεὶ μεριζόμενον. Τοῦ δὲ περιττοῦ μάλιστα γαμήλιος ἡ πεντάς ἐστι· τὰ γὰρ τρία πρῶτος περιττὸς, καὶ τὰ δύο πρῶτος ἄρτιος· ἐκ δὲ τούτων, ὥσπερ ἄῤῥενος καὶ θήλεος, ἡ πεντὰς μέμικται. Ἢ μᾶλλον ἐπεὶ τὸ φῶς γενέσεώς ἐστι σημεῖον, γυνὴ δὲ
B ἄχρι πέντε τίκτειν ὁμοῦ τὰ πλεῖστα πέφυκε, τοσαύταις χρῶνται λαμπάσιν; Ἢ ὅτι πέντε δεῖσθαι θεῶν τοὺς γαμοῦντας οἴονται, Διὸς τελείου, καὶ Ἥρας τελείας, καὶ Ἀφροδίτης, καὶ Πειθοῦς, ἐπὶ πᾶσι δὲ Ἀρτέμιδος, ἣν ταῖς λοχείαις καὶ ταῖς ὠδῖσιν αἱ γυναῖκες ἐπικαλοῦνται;

γʹ.

“ Διὰ τί πολλῶν ὄντων ἐν Ῥώμῃ ναῶν Ἀρτέμιδος,

ſponſi accendunt ignem? An quod cum utantur compluribus alias etiam numeris, tum alioqui præſtantior atque perfectior impar creditus eſt, tum ad nuptias melius quadrare viſus? Par enim dividi ſe patitur, parteſque ejus æquis inter ſe viribus contendunt: Impar autem omnino diffindi ſe non fert, ſed diviſus ſemper aliquid relinquit. Inter impares porro omnium maxime congruit nuptiis quinarius: nam ternarius primus eſt de imparibus, binarius primus de paribus: ex his tanquam mare et fœmina miſcetur quinarius. Aut potius, quoniam lumen procreationis ſignum eſt, mulieres autem ad quinque plerunque pariunt, totidem utuntur facibus? Aut quia matrimonium contrahentes quinque deorum ope indigere putant, Jovis perfecti, Junonis perfectæ, Veneris, Suadæ, ac Dianæ, (ea Lucina eſt) quam parturientes invocant?

III.

Quamobrem de multis quæ Romæ ſunt Dianæ templis, id

“ εἰς μόνον τὸν ἐν τῷ καλουμένῳ Πατρικίῳ στενωπῷ “ ἄνδρες οὐκ εἰσίασιν;” Ἢ διὰ τὸν λεγόμενον μῦθον; γυναῖκα γὰρ αὐτόθι τὴν θεὸν σεβομένην βιαζόμενός τις ὑπὸ τῶν κυνῶν διεσπάσθη, καὶ ἀπὸ τούτου δεισιδαιμονίας γενομένης, ἄνδρες οὐκ εἰσίασι.

δ.

“ Διὰ τί τοῖς ἄλλοις Ἀρτεμισίοις ἐπιεικῶς ἐλάφων C
“ κέρατα προσπατταλεύουσι, τῷ δὲ ἐν Ἀβεντίνῳ, “ βοῶν;” Ἢ τοῦ παλαιοῦ συμπτώματος ἀπομνημονεύοντες; Λέγεται γὰρ ἐν Σαβίνοις Ἄντρωνι Κορατίῳ βοῦς εὐπρεπὴς ὄψει καὶ μεγέθει διαφέρουσα τῶν ἄλλων γενέσθαι· μάντεως δέ τινος αὐτῷ φράσαντος ὅτι τοῦ καθιερεύσαντος Ἀρτέμιδι τὴν βοῦν ἐκείνην ἐν Ἀβεντίνῳ, πέπρωται μεγίστην γενέσθαι καὶ βασιλεῦσαι τῆς Ἰταλίας ἁπάσης τὴν πόλιν, ἐλθεῖν μὲν εἰς Ῥώμην τὸν ἄνθρωπον ὡς θύσοντα τὴν βοῦν· οἰκέτου δὲ κρύφα τῷ βασιλεῖ Σερουίῳ τὸ μάντευμα φράσαντος, ἐκείνου δὲ D
Κορνηλίῳ τῷ ἱερεῖ, προστάξαι τὸν Κορνήλιον τῷ Ἄντρωνι

ſolum non intrant viri quod eſt in vico patricio? An id fit ob ſermonem vulgatum? narrant enim mulierem ibi deæ cultum exhibentem a quodam vi fuiſſe compreſſam, eumque a canibus diſcerptum: inde ſuperſtitionem natam, ne viri eo intrarent.

IV.

Cur reliquis Dianæ fanis ſoliti cervorum cornua affigere, ei quod in Aventino eſt, boum cornua affixerunt? Fortaſſis ut monimentum eſſet antiqui caſus. Fuit quidam in Sabinis Antro Coratius: is vaccam habebat magnitudine et forma reliquis præſtantem: monituſque a vate quodam qui in Aventino bovem hanc Dianæ immolaſſet, ei fata ſummam poteſtatem deferre, urbemque ipſius Italiæ totius regno potituram, Romam ſe contulit bovis ibi mactandæ gratia: ſervus autem regi Servio clam id vaticinium, idque rex Cornelio pontifici indicavit: tum Cornelius Antroni mandavit

ἀπολούσασθαι περὶ τῆς θυσίας ἀπὸ τοῦ Θύμβρεως· νενομίσθαι γὰρ οὕτω τοὺς καλλιεροῦντας· ἐκεῖνον μὲν οὖν ἀπελθόντα λούσεσθαι, τὸν δὲ Σερούϊον φθάσαντα, θῦσαι τῇ θεῷ τὴν βοῦν καὶ τῷ ἱερῷ τὰ κέρατα προσπατταλεῦσαι. Ταῦτα καὶ ὁ Ἰόβας ἱστόρηκε καὶ Βάῤῥων· πλὴν ὅτι τοὔνομα τοῦ Ἄντρωνος Βάῤῥων οὐ γέγραφεν, οὐδὲ ὑπὸ Κορνηλίου φησὶ τοῦ ἱερέως, ἀλλ᾽ ὑπὸ τοῦ νεωκόρου παρακρουσθῆναι τὸν Σαβῖνον.

ε΄.

“ Διὰ τί τοὺς τεθνάναι φημισθέντας ἐπὶ ξένης ψευ-
E “ δῶς, κἂν ἐπανέλθωσιν, οὐ δέχονται κατὰ θύρας, ἀλλὰ
“ τῷ κεράμῳ προσβαίνοντες εἴσω καθιᾶσιν αὐτούς;” Ὁ μὲν γὰρ Βάῤῥων αἰτίαν μυθικὴν ὅλως ἀποδίδωσι. Φησὶ γὰρ ἐν τῷ περὶ Σικελίαν πολέμῳ ναυμαχίας μεγάλης γενομένης, καὶ κατὰ πολλῶν φήμης οὐκ ἀληθοῦς, ὡς ἀπολωλότων, ῥυείσης, ἐπανελθόντας αὐτοὺς ὀλίγῳ χρόνῳ πάντας τελευτῆσαι· ἑνὶ δὲ εἰσιόντι τὰς θύρας ἀπαντῆσαι κλειομένας ἀπὸ αὐτομάτου, καὶ μὴ χαλᾷν

ut ante ſacrificium aqua Tiberis profluente ſeſe ablueret: ſic enim legibus præſcriptum eſſe litaturo: ita hic lotum abiit: interim Servius occaſionem immolandæ vaccæ in honorem Dianæ præcepit, mactatæque cornua templo affixit. Hoc et Juba narrat, et Varro: niſi quod hic Antronis nomen non habet, deceptumque non a Cornelio ſacerdote Sabinum, ſed ab æditu0 refert.

V.

Cur quos peregre mortuos falſo fama nunciavit, reverſos non per fores admittunt, ſed conſcenſo tecto in domum demittunt? Fabula omnino eſt quod Varro pro cauſa adfert. Cum bello apud Siciliam magnum navale prœlium fuiſſet commiſſum, multoſque fama mentiretur periiſſe qui erant ſuperſtites, hos domum reverſos, intra breve tempus univerſos fuiſſe mortuos: unum ex illis domi ſuæ januam forte

ἐπιχειρούντων ἀνοῖξαι· τὸν δὲ ἄνθρωπον αὐτοῦ καταδαρθέντα παρὰ τῶν θυρῶν ἰδεῖν κατὰ τοὺς ὕπνους ὄψιν ὑφηγουμένην αὐτῷ τὴν ὑπὲρ τὸ τέγος εἰς τὴν οἰκίαν καθί- F
μησιν· ποιήσαντα δὲ οὕτως, εὐτυχῆ γενέσθαι καὶ γηραιόν· ἐκ δὲ τούτου τὸ ἔθος καταστῆναι τοῖς ὕστερον. Ὅρα δὲ μὴ καὶ ταῦτα τρόπον τινὰ τοῖς Ἑλληνικοῖς ἔοικεν· οὐ γὰρ ἐνόμιζον ἁγνοὺς, οὐδὲ κατεμίγνυσαν ἑαυτοῖς, οὐδὲ εἴων ἱεροῖς πλησιάζειν, οἷς ἐκφορὰ γεγόνει καὶ τάφος ὡς τεθνηκόσι. Λέγεται δέ τινα τῶν ἐνόχων ταύτῃ τῇ δεισιδαιμονίᾳ γεγονότων Ἀρίστινον, εἰς Δελφοὺς ἀποστείλαντα δεῖσθαι τοῦ θεοῦ, καὶ παραιτεῖσθαι τὰς παρούσας αὐτῷ διὰ τὸν νόμον ἀπορίας· τὴν δὲ Πυθίαν εἰπεῖν,

Ὅσσά περ ἐν λεχέεσσι γυνὴ τίκτουσα τελεῖται, 26
Ταῦτα πάλιν τελέσαντα θύειν μακάρεσσι θεοῖσι.

τὸν οὖν Ἀρίστινον εὖ φρονήσαντα παρασχεῖν ἑαυτὸν ὥσπερ

F. 9. καταδαρθέντα] Melius καταδαρθόντα. Vide ſupra ad p. 289. E.
A. 3. εὖ φρονήσαντα] Corrigendum συμφρονήσαντα.

fortuna occluſam offendiſſe, neque aperire potuiſſe: ipſum, cum ante fores obdormiviſſet, per quietem ſpectrum vidiſſe, quod ei præciperet, ut ſe de tecto in domum demitteret: eum conſilio huic paruiſſe, longamque vitam feliciter exegiſſe: atque hujus ab exemplo iſtam fuiſſe introductam conſuetudinem. Quid vero, ſi ea quoque Græcis moribus eſt ſimilis? Græci enim profanos habebant, neque iis ſeſe permiſcebant, neque ad ſacrificia admittebant eos quibus factum fuerat funus et ſepulchrum tanquam mortuis. Et relatum in commentarios reperi, Ariſtinum quendam ea ipſa obſtrictum religione Delphos miſiſſe, qui pro ſe deprecarentur, et quo pacto difficultatibus, in quas legum auctoritate compulſus erat, ſeſe extricaret, rationem oſtendi peterent: ei ſic a Pythia fuiſſe reſponſum:

His, peragit quæcunque puerpera, rite peractis
Omnibus, ad ſuperum tua dona altaria ſiſtes.

eumque oraculo probe intellecto, mulieribus ſeſe quaſi

ἐξ ἀρχῆς τικτόμενον ταῖς γυναιξὶν ἀπολοῦσαι καὶ σπαργανῶσαι καὶ θηλὴν ἐπισχεῖν, οὕτω τε δρᾶν καὶ τοὺς ἄλλους ἅπαντας, ὑστεροπότμους προσαγορευομένους. Ἔνιοι δὲ καὶ πρὸ τοῦ Ἀριστίνου ταῦτα γίνεσθαι περὶ τοὺς ὑστεροπότμους, καὶ τὸ ἔθος εἶναι παλαιόν. Οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ Ῥωμαῖοι τότε δοκοῦσιν ἅπαξ τεθάφθαι καὶ γεγονέναι τῆς
B τῶν φθιτῶν μερίδος, οὐκ ᾤοντο δεῖν παριέναι τὴν αὔλειον, ᾗ θύσοντες ἐξίασι, καὶ θύσαντες εἰσίασιν, ἀλλὰ ἄνωθεν ἐκέλευον εἰς τὰ ὕπαιθρα καταβαίνειν ἐκ τοῦ περιέχοντος. Καὶ γὰρ τοὺς καθαρμοὺς ἐπιεικῶς πάντας ἐν ὑπαίθρῳ τελοῦσι.

ϛ'.

„ Διὰ τί τοὺς συγγενεῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες;" Πότερον, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν· ὅπως οὖν αἱ πιοῦσαι μὴ λανθάνωσιν, ἀλλὰ ἐλέγχωνται, περιτυγχάνουσαι τοῖς

A. 9. τότε δοκοῦσιν] Corrigendum τοῖς δοκοῦσιν, vel τοὺς δοκοῦντας.

renatum præbuiſſe lavandum, vinciendum, lactandum: idque reliquos deinde quos idem caſus excepiſſet, imitatos fuiſſe omnes: nomenque iis factum *Hyſteropotmi*, quod ſcilicet a credito exitio quaſi poſt liminio revertiſſent. Sunt qui hunc de Hyſteropotmis expiandis morem ipſo putent Ariſtino priorem, priſcumque fuiſſe. Non itaque mirum eſt ſi Romani tunc quoque eos quos ſemel ſepultos ac rebus humanis exemptos eſſe fuerat creditum, exiſtimaverunt non debere per oſtium ingredi, per quod ſacrificatum exitur, ac ſacrificatu reditur: ſed eum deorſum ex aëre voluerunt in atrium ſub dio poſitum demitti. Expiationes enim omnes ſolent fere ſub dio peragere.

VI.

Quare mulieres oſculo ſalutant cognatos ſuos? An id ſentiendum eſt quod pleriſque probatur? Interdictum uſu vini mulieribus fuiſſe: ac proinde ne latere poſſet ſi qua vinum bibiſſet, ſed a familiaribus inter congreſſum depre-

οἰκείοις, ἐνομίσθη καταφιλεῖν; Ἢ δι᾽ ἣν Ἀριστοτέλης
ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε; τὸ γὰρ πολυθρύλλητον
ἐκεῖνο, καὶ πολλοῦ γενέσθαι λεγόμενον, ὡς ἔοικεν, ἐτολ- C
μήθη ταῖς Τρῳάσι καὶ περὶ τὴν Ἰταλίαν. Τῶν γὰρ
ἀνδρῶν ὡς προσέπλευσαν ἀποβάντων, ἐνέπρησαν τὰ
πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ
τῆς θαλάττης· φοβηθεῖσαι δὲ τοὺς ἄνδρας, ἠσπάζοντο τῶν
συγγενῶν καὶ οἰκείων, μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι,
τοὺς προστυγχάνοντας· παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλ-
λαγέντων, ἐχρῶντο καὶ τολοιπὸν ταύτῃ τῇ φιλοφροσύνῃ
πρὸς αὐτούς. Ἢ μᾶλλον ἐδόθη τοῦτο ταῖς γυναιξὶν,
ὡς τιμὴν ἅμα καὶ δύναμιν αὐταῖς φέρον, εἰ φαίνοιντο D
πολλοὺς καὶ ἀγαθοὺς ἔχουσαι συγγενεῖς καὶ οἰκείους; Ἢ,
μὴ νενομισμένου συγγενίδας γαμεῖν, ἄχρι φιλήματος ἡ
φιλοφροσύνη προῆλθεν, καὶ τοῦτο μόνον ἀπελείφθη σύμ-
βολον καὶ κοινώνημα τῆς συγγενείας; Πρότερον γὰρ οὐκ

C. 1. καὶ πολλοῦ—ἐτολμήθη ταῖς Τρῳάσι καὶ περὶ τὴν Ἰταλίαν] Turbata verba ita reſtituenda: πολλαχοῦ—ἐτολμήθη καὶ ταῖς Τρ. π. τ. Ἰτ.

henderetur, oſculandi morem fuiſſe inſtitutum? An vero quam adfert Ariſtoteles philoſophus cauſam, ea recipienda eſt? Id enim quod fama pervulgatum eſt, multiſque locis adſcribitur, facinus Troadum, ab iis in Italia perpetratum fuit. Nam ibi cum poſt navium appulſum viri eſſent digreſſi, mulieres ignem navibus injecerunt, ut erroribus finem imponerent ac navigationi: deinde ſibi metuentes a maritis, cognatos et familiares, ut quiſque ſe obtulerat, cum ſuavio ſunt amplexæ: iraque placata, ut in gratiam fuit reditum, hoc deinde eis blandiendi genus retinuerunt. Aut potius datum eſt hoc mulieribus ut honorem ſimul ejus potentiamque concilians, ſi viderentur multos ac probos habere cognatos et propinquos? Sive hoc verius eſt? cum eſſet legibus interdictum cognatarum nuptiis, uſque ad oſculum tamen amori permiſſum progredi, eaque fuit conſanguinitatis teſſera et communicatio. Antiquitus enim ſangui-

ἐγάμουν τὰς ἀφ' αἵματος, ὥσπερ οὐδὲ νῦν τηθίδας οὐδὲ ἀδελφὰς γαμοῦσιν, ἀλλὰ ὀψὲ συνεχώρησαν ἀνεψιαῖς συνοικεῖν ἐκ τοιαύτης αἰτίας. Ἀνὴρ χρημάτων ἐνδεής, τὰ δὲ ἄλλα χρηστὸς, καὶ παρ' ὁντιναοῦν τῷ δήμῳ τῶν πολιτευομένων ἀρέσκων, ἐπίκληρον ἀνεψιὰν ἔχειν ἔδοξε,
E καὶ πλουτεῖν ἀπ' αὐτῆς· ἐπὶ τούτῳ δὲ γενομένης αὐτοῦ κατηγορίας, ὁ δῆμος ἀφεὶς τὴν αἰτίαν ἐλέγχειν, ἔλυσε τὸ ἔγκλημα, ψηφισάμενος πᾶσιν ἐξεῖναι γαμεῖν ἄχρις ἀνεψιῶν, τὰ δὲ ἀνωτέρω κεκωλύσθαι.

ζ'.

" Διὰ τί δὲ δῶρον λαβεῖν ἀνδρὶ παρὰ γυναικός, " καὶ γυναικὶ παρὰ ἀνδρὸς ἀπείρηται;" Πότερον, ὡς Σόλων, γράψας τὰς δόσεις κυρίας εἶναι τῶν τελευτώντων, πλὴν εἰ μή τις ἀνάγκῃ συνεχόμενος, καὶ γυναικὶ πειθόμενος, τὴν μὲν ἀνάγκην ὡς βιαζομένην ὑπεξείλετο, τὴν δὲ ἡδονὴν ὡς παραλογιζομένην· οὕτως ὑπενοή-
F θησαν αἱ γυναικῶν καὶ ἀνδρῶν δόσεις; Ἢ φαυλότατον

ne junctas Romani non copulabant ſibi matrimonio, ut ne nunc quidem materteras aut ſorores. Sero conceſſum fuit ut ducere conſobrinas liceret: idque tali de cauſa. Vir quidam, pecuniæ indigens, alias honeſtus, et gratia populari nemine inferior, conſobrinam habere putabatur uxoris loco, ad quam hæreditate dos magna pervenerat, eaque ratione dives ipſe eſſe: cui cum eſſet eo nomine dies dicta, populus omiſſa cauſæ cognitione eum abſolvit, decretoque facto nuptias conſobrinarum permiſit publice, conjugio autem ſuperiorum graduum interdixit.

VII.

Cur donationes inter maritum et uxorem prohibitæ ſunt? An quemadmodum Solon donationes mortis cauſa factas valere voluit, iis tantum reſciſſis quæ neceſſitate extortæ, aut muliere perſuadente factæ eſſent: nimirum quod neceſſitas vim animo faceret, voluptas autem eidem imponeret: an, inquam, eodem modo Romanis ſuſpectæ erant conjugum donationes? Aut potius quod ſignum benevolentiæ fu-

ἡγούμενοι σημεῖον εὐνοίας τὸ διδόναι, (διδόασι γὰρ καὶ ἀλλότριοι καὶ μὴ φιλοῦντες) ἐκ τοῦ γάμου τὴν τοιαύτην ἀρέσκειαν ἀνεῖλον, ὅπως ἄμισθον ἢ καὶ προῖκα καὶ δι' αὐτὸ, μὴ δι' ἄλλο, τὸ φιλεῖσθαι καὶ φιλεῖν; Ἢ, ὅτι τῷ λαμβάνειν διαφθειρόμεναι, μάλιστα προσίενται τοὺς ἀλλοτρίους, σεμνὸν ἐφάνη τὸ μὴ διδόντας ἀγαπᾷν τοὺς ἰδίους; Ἢ μᾶλλον ὅτι δεῖ κοινὰ καὶ γυναιξὶν εἶναι τὰ ἀνδρῶν, καὶ ἀνδράσι τὰ γυναικῶν; μανθάνει γὰρ ὁ 266
λαβὼν τὸ δοθὲν, ἀλλότριον ἡγεῖσθαι τὸ μὴ δοθέν· ὥστε ὀλίγον διδόντες ἀλλήλοις, τὸ πᾶν ἀφαιροῦνται.

η'.

« Διὰ τί δὲ παρὰ γαμβροῦ καὶ παρὰ πενθεροῦ λα-
« βεῖν ἐκείνοις κεκώλυται δῶρον;" Ἢ παρὰ γαμβροῦ μὲν, ἵνα μὴ δόξῃ διὰ τοῦ πατρὸς εἰς τὴν γυναῖκα περιχωρεῖν τὸ δῶρον· παρὰ πενθεροῦ δὲ, ὅτι τὸν μὴ διδόντα δίκαιον ἐφάνη μηδὲ λαμβάνειν;

θ'.

« Διὰ τί, κἂν ἐξ ἀγροῦ κἂν ἀπὸ ξένης ἐπανίωσιν,

tiliſſimum putarent eſſe donum, (dant enim etiam alieni et non amantes) ideo iſtud demerendi genus e conjugio ſuſtulerunt, ut abſque mercede gratis, ac propter ſe, non alius cauſa, conjuges invicem amarent? An quia muneribus capiundis maxime corrumpuntur mulieres ut alienos admittant viros, gravitatem iis conciliare cenſuerunt quod ſuos nihil dantes diligerent? An hæc eſt verior ratio, quod mariti et uxoris omnia debent eſſe communia? Qui enim accipit quod datur, is diſcit pro alieno putare quod datum non eſt: itaque pauca invicem dantes, reliqua omnia adimunt.

VIII.

Cur a genero aut ſocero donum capere vetitum fuit? A genero, quia id per patrem videbatur ad uxorem rediturum: a ſocero, quod juſtum videbatur nihil accipere eum qui nihil daret.

IX.

Quamobrem rure aut pere-

B " ἔχοντες οἴκοι γυναῖκας, προπέμπουσι δηλοῦντες αὐ- " ταῖς ὅτι παραγίνονται;" Πότερον ὅτι τοῦτο πιστεύοντός ἐστι τὴν γυναῖκα μηδὲν ῥᾳδιουργεῖν· τὸ δὲ ἐξαίφνης καὶ ἀπροσδοκήτως, οἷον ἐνέδρα καὶ παρατήρησις· σπεύδουσιν ὡς ποθούσαις καὶ προσδεχομέναις εὐαγγελίζεσθαι περὶ αὑτῶν; Ἢ μᾶλλον αὐτοὶ περὶ ἐκείνων πυθέσθαι ποθοῦσιν εἰ σῳζομένας καὶ ποθούσας ἐπὶ τῆς οἰκίας καταλαμβάνουσιν; Ἢ πλείονες ταῖς γυναιξὶν οἰκονομίαι καὶ ἀσχολίαι τῶν ἀνδρῶν ἀπόντων τυγχάνουσι, καὶ διαφοραὶ καὶ ὁρμαὶ πρὸς τοὺς ἔνδον, ἵνα οὖν ἀπαλλαγεῖσα τούτων ἀθόρυβον τῷ ἀνδρὶ παρέχῃ τὴν ὑποδοχὴν καὶ ἡδεῖαν, ἡ προδήλωσις γίνεται;

ί.

C " Διὰ τί τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται " τὴν κεφαλήν, τῶν δὲ ἀνθρώπων τοῖς ἀξίοις τιμῆς " ἀπαντῶντες, κἂν τύχωσιν ἐπὶ τῆς κεφαλῆς ἔχοντες τὸ

B. 4. παρατηρήσει σπεύδουσιν] Excidiſſe videtur disjunctionis formula: qua addenda, ita expletur oratio, παρατηρήσει ἔοικεν; Ἢ σπεύδουσιν. Ita Mez. et Amiot.

B. 10. ὁρμαὶ] Forte vera lectio eſt ὀργαί.

gre domum redeuntes mariti, præmittunt qui adeſſe ipſos ſignificet? An quia hoc eſt probitati uxoris ſuæ confidentis viri, (nam ex improviſo et ſubito ſupervenire, ſpeciem inſidiarum et infenſæ obſervationis habet) ideo dant operam ut deſiderantibus ſe atque exſpectantibus uxoribus lætum ſui adventus nuncium offerant? Aut potius quod ipſi reſcire cupiunt ſalvaſne et deſiderio ſui affectas uxores domi ſint offenſuri? Vel quum plura ſint mulieribus domeſtica negotia et rei familiaris occupationes plures, mariti ubi abſunt, variæque curæ et diſcurſus; ideo adventus nuncium accipiunt, ut, omiſſis iſtis negotiis, abſque tumultu ac ſuaviter maritum excipiant?

X.

Cur deos velato capite adorant, cum alioquin hominibus obviam facti venerandis, caput, ſi forte eo tecto incedunt,

ἱμάτιον, ἀποκαλύπτονται;" Τοῦτο γὰρ ἔοικε κἀκείνην ἐπιτείνειν τὴν ἀπορίαν. Εἰ μὲν οὖν ὁ περὶ Αἰνείου λεγόμενος λόγος, ἀληθής ἐστι, καὶ τοῦ Διομήδους παρεξιόντος, ἐπικαλυψάμενος τὴν θυσίαν ἐπετέλεσε, λόγον ἔχει καὶ ἀκολουθεῖ τῷ συγκαλύπτεσθαι πρὸς τοὺς πολεμίους, τὸ τοῖς φίλοις καὶ ἀγαθοῖς ἐντυγχάνοντας ἀποκαλύπτεσθαι· τὸ γὰρ πρὸς τοὺς θεοὺς οὐκ ἴδιόν ἐστιν, ἀλλὰ κατὰ συμβεβηκός, καὶ ἀπ' ἐκείνου μεμένηκε τηρούμενον. Εἰ δὲ ἄλλο τι λέγειν χρή, σκόπει μὴ μόνον ἐκεῖνο δεῖ ζητεῖν δι' ὃ τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται, θάτερον δὲ ἀκόλουθόν ἐστι. Τῶν γὰρ ἀνθρώπων ἀποκαλύπτονται τοῖς δυνατωτέροις, οὐ τιμὴν αὐτοῖς D προστιθέντες, ἀλλὰ τὸν φθόνον αὐτῶν μᾶλλον ἀφαιροῦντες, ἵνα μὴ δόξωσι τὰς αὐτὰς τοῖς θεοῖς τιμὰς ἀπαιτεῖν, μηδὲ ὑπομένειν, μηδὲ χαίρειν θεραπευόμενοι παραπλησίως ἐκείνοις. Τοὺς δὲ θεοὺς οὕτω προσεκύνουν, ἢ ταπεινοῦντες ἑαυτοὺς τῇ ἐπικρύψει τῆς κεφαλῆς, ἢ μᾶλ-

ἔβλαψεν. Ὁ μὲν οὖν ἀφειμένος στρατείας, ἀπήλλακται τῶν στρατιωτικῶν νόμων· ὁ δὲ αἰτησάμενος τὸ πράττειν τὰ τῶν στρατευομένων, πάλιν ἑαυτὸν ὑπεύθυνον τῷ νόμῳ καὶ τῷ στρατηγῷ δέδωκεν.

μʹ.

" Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ἐν ὑπαίθρῳ " ἀλείφεσθαι;" Πότερον ὅτι καὶ παῖδας γυμνοῦσθαι, πατρὸς ὁρῶντος, καὶ πενθερὸν γαμβρὸν, οὐχ ὅσιον ἦν οὐδὲ καλόν· οὐδὲ συνελούοντο τὸ παλαιὸν ἀλλήλοις; πατὴρ
B δὲ ὁ Ζεύς, καὶ τὸ ἐν ὑπαίθρῳ μάλιστά πως εἶναι δοκεῖ τοῦ Διὸς ἐνώπιον; Ἤ, καθάπερ ἐν ναῷ καὶ ἱερῷ γυμνοῦν ἑαυτὸν ἀθέμιτόν ἐστιν, οὕτω τὸν ὕπαιθρον ἀέρα καὶ τὸ ὑπουράνιον, ὄντα καὶ θεῶν καὶ δαιμόνων μεστὸν ἐξευλαβοῦντο; διὸ καὶ τὰ πολλὰ τῶν ἀναγκαίων ὑπὸ στέγῃ δρῶμεν ἐπικρυπτόμενοι καὶ ἐπικαλυπτόμενοι ταῖς οἰκίαις

B. 4. ὑπουράνιον, ὄντα] Ita diſtinxi ut, niſi vera, at melior eſſet oratio. Pro ὄντα Ald. habet ὁ τά: in Voſſ. plane deeſt. Baſ. Xyl. Steph. Pol. Leonic. Schott. diſerte ὄντα, nec reliquis diſſentientibus: at jungunt cum antecedentibus: malim ponere poſt μεστόν: quamquam, ut nunc eſt junxi cum proximo καὶ θ. Conjeceram aliquando ἅτε.

damni fugiendo. At qui exautoratus eſt, legibus proinde militaribus non tenetur: is vero qui rogavit ut quæ militum ſunt ſibi liceat agere, rurſum ſe legibus jam et imperatoris judicio ſubmiſit.

XL.

Cur Jovis flamini non licet ſub dio inungi? An quia etiam filios in conſpectu patrum, aut generum vidente ſocero nudari inhoneſtumque nefasque putabatur, neque antiquitus una lavabant? Pater autem eſt Jupiter, et ejus oculis maxime expoſitum videtur quod eſt ſub dio? An quemadmodum in templo aut fano nudare ſeſe nefas eſt, ita aërem etiam ſub aperto cœlo et dio reverebantur, ut diis geniiſque refertum? itaque ergo pleraſque res neceſſarias ſub tecto facimus, domi noſmet occultantes, et deorum

περὶ τὸ θεῖον, καὶ τὰ μὲν μόνῳ τῷ ἱερεῖ, τὰ δὲ πᾶσιν ὑπὸ τοῦ νόμου προστέτακται διὰ τοῦ ἱερέως. Διὸ καὶ παρ' ἡμῖν τὸ μὲν στεφανηφορεῖν καὶ κομᾷν καὶ σιδηροφορεῖν, μηδὲ τοῖς Φωκέων ὅροις ἐμβαίνειν, ἴδια λειτουργήματα τοῦ ἄρχοντός ἐστιν· τὸ δὲ ὀπώρας μὴ γεύεσθαι πρὸ ἰσημερίας μετοπωρινῆς, μηδὲ ἄμπελον τέμνειν πρὸ ἰσημερίας C ἐαρινῆς, ὁμοῦ τι πᾶσι δηλοῦται διὰ τοῦ ἄρχοντος· ἑκατέρου γὰρ ὁ καιρὸς ἐκεῖνός ἐστι. Τὸν αὐτὸν οὖν τρόπον, ὡς ἔοικε, καὶ τοῦ παρὰ Ῥωμαίοις ἱερέως ἴδιόν ἐστι τὸ μήτε ἵππῳ χρῆσθαι, μήτε πλείονας νύκτας ἀποδημεῖν τριῶν, μήτε ἀποτίθεσθαι τὸν πῖλον, ἀφ' οὗ καὶ φλάμεν κέκληται. Πολλὰ δὲ ἄλλα δηλοῦται πᾶσι διὰ τοῦ ἱερέως· ὧν ἕν ἐστι καὶ τὸ ἐν ὑπαίθρῳ μὴ ἀλείφεσθαι· τὸ γὰρ ξηραλοιφεῖν ὑφεωρῶντο Ῥωμαῖοι σφόδρα, καὶ τοῖς Ἕλλησιν οἴονται μηδὲν οὕτως αἴτιον δουλείας γεγονέναι καὶ D

B. 7. καὶ τὰ μὲν μόνῳ] καὶ aſſumpſi ex E. Tale quid deſiderabatur. Mez. ſupplet ἢ; quod fere malim.

B. 9. καὶ σιδηροφορεῖν] Mez. corrigit καὶ μὴ σιδηροφορεῖν. Simile quid vertendo ſecutus eſt Xyl.

ſubtrahentes conſpectui. Aut alia quidem ſoli ſacerdoti, alia lex per ſacerdotem omnibus imperat? Hoc ſane modo apud nos coronatum eſſe, comam alere, ferro armatum Phocenſium fines non ingredi, propria ſunt ſacerdotis munia: pomum non guſtare ante æquinoctium autumnale, vitem non putare ante æquinoctium vernum, fere a magiſtratu univerſis imperatur: utrumque enim ut ſuo fiat tempore, edicitur. Eodem plane modo apparet apud Romanos proprium eſſe hoc pontificis, ut equo non vehatur, neque plures tribus noctes ab urbe abſit, neque pileum (apicem ipſi vocant) unde flaminis habet nomen, unquam deponat. Multa vero alia pontifici dicta, ad omnes alios pertinent: de quibus hoc etiam eſt, *ſub dio non inungi*. Iſta enim ſicci (ut verbum exprimamus) corporis inunctio valde male apud Romanos audit: et exiſtimant non ullam aliam rem magis in cauſa fuiſſe quod Græci ita emollirentur, et in ſervitutem

ς τὰ γυμνάσια καὶ τὰς παλαίστρας, πολὺ
λὺ ἐντεκούσαις ταῖς πόλεσι καὶ κακοσχο-
παιδεραστεῖν, καὶ τὸ διαφθείρειν τὰ σώματα
ις καὶ περιπάτοις καὶ κινήσεσιν εὐρύθμοις καὶ
ιβέσιν, ὑφ' ὧν ἔλαθον ἐκρυέντες τῶν ὅπλων,
ντες ἀνθ' ὁπλιτῶν καὶ ἱππέων ἀγαθῶν,
καὶ παλαιστρῖται καὶ καλοὶ λέγεσθαι. Ταῦτα
εῖν ἀποφυγεῖν εἰς ὕπαιθρον ἀποδυομένους.
κίαν ἀλειφόμενοι καὶ θεραπεύοντες ἑαυτοὺς,
·άνουσι.

μα'.

τὸ παλαιὸν νόμισμα, πῇ μὲν εἶχεν Ἰανοῦ
ν εἰκόνα, τῇ δὲ πλοίου πρύμναν ἢ πρῶραν
μένην;" Πότερον, ὡς οἱ πολλοὶ λέγουσιν,
νου πλοίῳ διαπεράσαντος εἰς Ἰταλίαν;
ἐστιν ἐπὶ πολλῶν λέγειν; καὶ γὰρ Ἰανὸς

Non repudio vocis auctoritatem ac probitatem: ejus etiam
ῖ conjunctionem feram aliis locis, hoc non item. Igitur
ιλεσχίαν quod adhuc mihi placet.

que fuere gym-
ræ: quæ res
ıalique otii ur-
unde extiterint
eni amores, et
ɔorum apud a-
ɔmnos, ambu-
ıue ſuis omnia
ıata, ac victus
ulgari ratio-
rebus Græci
ſentientes qui-
uſu abdicato,
nt loco bono-
ituræ militum
es, palæſtritæ,

formoſique nominari. Hanc vero mollitiem difficulter poſſunt effugere, qui ſub dio nudantur: qui vero domi inunguntur, et corpora ſua curant, ii nihil peccant.

XLI.

Cur antiquum nomiſma ab una parte Jani bifrontis imaginem, ab altera navis aut puppim aut proram inſculptam habet? An, quæ vulgata eſt opinio, in honorem hoc fit Saturni, navigio in Italiam advecti? Aut hoc ei cum multis aliis eſt commune? nam

καὶ Εὔανδρος καὶ Αἰνείας ἐκ θαλάττης προσκομισθῆναι· ἐκεῖνο δὲ ἄν τις μᾶλλον ἐπαινέσειεν, ὅτι τὰ μὲν καλὰ ταῖς πόλεσιν ἐστὶ, τὰ δὲ ἀναγκαῖα· καὶ μέγιστον τῶν μὲν καλῶν, ἡ εὐνομία, τῶν δὲ ἀναγκαίων ἡ εὐπορία. Ἐπεὶ τοίνυν εὐκοσμίαν μὲν Ἰανὸς κατέστησεν αὐτοῖς, ἐξημερώσας τὸν βίον, ἀφθονίαν δὲ παρέχει τῶν ἀναγκαίων ὁ ποταμὸς πλώϊμος ὢν, καὶ τὰ μὲν ἐκ θαλάττης, τὰ δὲ ἀπὸ τῆς χώρας καταχομίζων, σύμβολον ἔσχε τὸ νόμισμα, τοῦ μὲν νομοθέτου τὸ δίμορφον, ὡς εἴρηται, διὰ τὴν μεταβολήν· τοῦ δὲ ποταμοῦ, πορθμεῖον. Ἑτέρῳ δὲ ἐχρήσαντο νομίσματι βοῦν ἔχοντι καὶ πρόβατον καὶ ὗν παράσημον, εὐποροῦντες ἀπὸ τῶν θρεμμάτων μάλιστα, καὶ τὴν περιουσίαν ἀπὸ τούτων ἔχοντες. Διὸ καὶ τῶν ὀνομάτων πολλὰ τοῖς παλαιοῖς Συΐλλιοι καὶ Βουβολκοὶ καὶ Πόρκιοι ἦσαν, ὡς Φαινεστέλλας εἴρηκεν.

μβʹ.

“ Διὰ τί τῷ τοῦ Κρόνου ναῷ χρῶνται ταμείῳ τοῦ δη-

Janus quoque, Evander, et Æneas mari in Italiam appulerunt. Id profecto probabilius eſt, cum urbibus alia bono ſint, alia neceſſitatibus inſerviant: ac bonorum maximum ſit bona legum conſtitutio, neceſſariarum autem rerum copia. Quandoquidem Janus eis vitæ rationem tradidit ordinatam moribus ad manſuetudinem redactis, abundantiam autem rerum neceſſariarum præbet fluvius, eas partim a mari, partim ex agris convehens: ideo nomiſma monimentum legumlatoris quidem habuit caput bifrons ob mutationem, ut docuimus, factam: fluvii autem, navigium. Alio etiam uſi ſunt nomiſmate, cui bos erat inſculptus, et ovis, et ſus; quod re maxime pecuaria ſe alerent, indeque opes pararent. Hinc et nomina apud veteres multa ſunt deducta, ut Suilliorum, ut Bubulcorum, ut Porciorum: auctor Feneſtella.

XLII.

Cur Saturni templo utuntur loco ærarii, ibidemque contrac-

« μοσύνην χρημάτων, ἅμα δὲ καὶ φυλακτηρίῳ τῶν συμ-
« βολαίων;" Πότερον ὅτι δόξα κατεῖχε καὶ λόγος, οὐκ εἶναι πλεονεξίαν ἐν ἀνθρώποις οὐδὲ ἀδικίαν, Κρόνου βασιλεύοντος, ἀλλὰ πίστιν καὶ δικαιοσύνην; Ἢ ὅτι καρπῶν ἀρετῆς, ἢ γεωργίας ἡγεμὼν ὁ θεός; ἡ γὰρ ἅρπη τοῦτο σημαίνει· καὶ οὐχ ὡς γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ πειθόμενος,

> Λέχρι δὲ δρεπάνῳ τέμνων ἀπὸ μήδεα πατρὸς
> Οὐρανοῦ Ἀκμονίδεω λάσιος Κρόνος ἀντιτέτυκτο.

Καρπῶν δὲ ἀφθονία καὶ διάθεσις, γένεσίς ἐστι νομίσμα-
B τος· διὸ τὸν αἴτιον καὶ φύλακα ποιοῦνται τῆς εὐδαιμονίας. Μαρτυρεῖ δὲ τούτῳ, τὸ τὰς ἀγομένας δι' ἐννέα ἡμερῶν ἐπ' ἀγορὰν συνόδους, νουνδίνας δὲ καλουμένας, ἱερὰς τοῦ Κρόνου νομίζεσθαι· πράσεως γὰρ καὶ ὠνῆς περιουσία καρπῶν ἀρχὴν παρέχει. Ἢ ταῦτα μέν ἐστι παλαιά, πρῶτος δὲ ταμεῖον ἀπέδειξε τὸ Κρόνιον τῶν βασιλέων καταλυθέντων, Οὐαλέριος Ποπλικόλας, πει-

B. 4. πράσεως γὰρ καὶ κ. τ. λ.] Credo veram ſcriptionem eſſe πράσεως γὰρ καὶ ὠνῆς ἀφορμὴν περιουσία καρπῶν παρέσχεν.

tuum monimenta adſervant? An quia obtinuit opinio, regnante Saturno avaritiam apud homines injuſtitiamque locum non habuiſſe, ſed fidem et juſtitiam? Aut quia deus ille fructuum atque agriculturæ præeſſe creditur? Hoc enim falx deſignat: non id quod Heſiodum imitatus dixit Antimachus:

> *Hunc contra ſitus eſt hirtus, genitalia patris*
> *Acmonidæ Cœli Saturnus falce revellens.*

Ex ubertate autem frugum et venditione pecuniæ naſcitur copia. Itaque Saturnum autorem cuſtodemque ejus faciunt. Huic ſententiæ teſtimonio eſſe id poteſt, quod coitus in forum, qui nono quoque die celebrantur, *Nundinas* vocant, Saturno ſunt conſecrati: frugum quippe abundantia, venditioni et emptioni præbuit initium. Aut hæc quidem vetuſta ſunt? Primus autem ædem Saturni ærariam fecit poſt exactos reges Valerius Poplicola, cum ſentiret locum

θέμενος εὐερκῆ καὶ καταφανῆ καὶ δυσεπιβούλευτον εἶναι τὸν τόπον;

μγ'.

“ Διὰ τί δὲ οἱ πρεσβεύοντες εἰς Ῥώμην ὁποθενοῦν, “ ἐπὶ τὸν τοῦ Κρόνου ναὸν βαδίζοντες, ἀπογράφονται “ πρὸς τοὺς ἐπάρχους τοῦ ταμιείου;” Πότερον ὡς ξένου τοῦ Κρόνου γενομένου, καὶ διὰ τοῦτο τοῖς ξένοις χαίροντος; Ἢ καὶ τοῦτο λύεται τῇ ἱστορίᾳ; τὸ γὰρ παλαιόν, ὡς ἔοικεν, οἱ ταμίαι ξένια τοῖς πρεσβεύουσιν ἔπεμπον, ἐκαλεῖτο δὲ λαύτια τὰ πεμπόμενα, καὶ νοσούντων ἐπεμέλοντο, καὶ τελευτήσαντας ἔθαπτον ἐκ δημοσίου· νῦν δὲ ὑπὸ πλήθους τῶν ἀφικνουμένων πρέσβεων ἐκλέλειπται τὸ τῆς δαπάνης, μένει δὲ ἔτι τὸ τοῖς ἐπάρχοις τοῦ ταμιείου προεντυγχάνειν διὰ τῆς ἀπογραφῆς.

μδ'.

“ Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ὀμόσαι;” Πότερον ὅτι βάσανός τις ἐλευθέρων ὁ ὅρκος ἐστί, δεῖ δὲ ἀβασάνιστον εἶναι καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν τοῦ ἱερέως; Ἢ

iſtum munitum eſſe et conſpicuum atque ab inſidiis tutum?

XLIII.

Cur legati, undecunque Romam miſſi, ad Saturni ædem accedunt, ibique nomina ſua dant præfectis ærarii? An hoc fit eo quod Saturnus cum fuerit peregrinus, hoſpitibus gaudeat? Aut hiſtoria potius quæſtionem ſolvit? Antiquitus enim, ut apparet, quæſtores legatis munera mittebant, quæ *lauteia* dicebantur, ægrotantium curam ſuſcipiebant, mortuiſque funus e publico faciebant: nunc autem ob multitudinem legatorum qui veniunt, ſumptu omiſſo id tamen ſervatur ut legati accedant præfectos ærarii, qui eorum nomina in tabulas referunt.

XLIV.

Cur flamini Diali non licet jurare? An quia tormentum liberorum eſt jusjurandum, ſacerdotis autem et animum et corpus oportet torturæ eſſe expers? Aut quia non con-

1 ὅτι περὶ μικρῶν ἀπιστεῖσθαι τὸν τὰ θεῖα καὶ μέγιστα πεπιστευμένον οὐκ εἰκός ἐστιν; Ἢ ὅτι πᾶς ὅρκος εἰς κατάραν τελευτᾷ τῆς ἐπιορκίας, κατάρα δὲ δύσφημον καὶ σκυθρωπόν; ὅθεν οὐδὲ ἄλλοις ἐπαρᾶσθαι νομίζεται τοὺς ἱερεῖς. Ἐπῃνέθη γοῦν Ἀθήνησιν ἡ ἱέρεια μὴ θελήσασα καταράσασθαι τῷ Ἀλκιβιάδῃ τοῦ δήμου κελεύοντος· ἔφη γὰρ εὐχῆς οὐ κατάρας ἱέρεια γεγονέναι. Ἢ κοινὸς ὁ τῆς ἐπιορκίας κίνδυνος, ἂν ἀνὴρ ἀσεβὴς καὶ ἐπίορκος εὐχῶν κατάρχηται καὶ ἱερῶν ὑπὲρ τῆς πόλεως;

με'.

"Διὰ τί τῶν Οὐενεραλίων τῇ ἑορτῇ πολὺν οἶνον
2 "ἐκχέουσιν ἐκ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης;" Πότερον, ὡς οἱ πλεῖστοι λέγουσιν, Μεζέντιος ὁ Τυρρηνῶν στρατηγὸς ἔπεμψε πρὸς Αἰνείαν σπενδόμενος ἐπὶ τῷ λαβεῖν τὸν ἐπέτειον οἶνον· ἀρνησαμένου δὲ ἐκείνου, τοῖς Τυρρηνοῖς ὑπέσχετο κρατήσας μάχῃ δώσειν τὸν οἶνον· Αἰνείας δὲ

D. 8. ἀσεβὴς] Sic unus Voſſ. nec in contextu ſed ſupra ſcriptum. Res ipſa reponi jubebat, vel omnibus libris repugnantibus.

venit de rebus parvis fidem non haberi ei cui ſacræ et maximæ ſunt creditæ? Aut quia omne jusjurandum in exſecrationem perjurii deſinit, eſt autem exſecratio triſtis res et mali ominis? quæ cauſa eſt ut dira imprecari aliis ſacerdotes per leges non poſſint. Et ſane laudi datum eſt Athenis ſacerdoti quæ populo jubente Alcibiadem devovere noluit, votorum ſe, non deteſtandi cauſa, antiſtitam eſſe inquiens. Aut quia publicum eſt perjurii periculum, ſi homo impius ac perjurus pro civitate vota nuncupet ac ſacris operetur?

XLV.

Cur Veneralibus multum vini effunditur e templo Veneris? An verum eſt quod plurimi narrant: Mezentium Etruſcorum imperatorem Æneæ per internuncios pacem ea conditione obtuliſſe, ut ſibi is annuum vinum daret: et abnuente Ænea, ſuis id vinum promiſiſſe ſi prœlio victor diſceſ-

τ ὑπόσχεσιν αὐτοῦ πυθόμενος, τοῖς θεοῖς τὸν οἶνον καθιέρωσε, καὶ μετὰ τὸ νικῆσαι συναγαγὼν τὸ καρπευθὲν, ἐξέχεε πρὸ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης; Ἢ καὶ τοῦτο σύμβολόν ἐστι τοῦ χρῆναι νήφοντας ἑορτάζειν, ἀλλὰ μὴ μεθύοντας, ὡς τῶν θεῶν μᾶλλον τοῖς ἐκχέουσι χαιρόντων τὸν πολὺν ἄκρατον, ἢ τοῖς πίνουσι;

μϛʹ.

« Διὰ τί τὸν τῆς Ὥρας ναὸν ἀνεῳγμένον εἶχον οἱ « παλαιοὶ διαπαντός;» Πότερον ὡς Ἀντίστιος Λαβεὼν ἱστόρηκε, τοῦ παρορμᾶν Ὁρτάρι λεγομένου, τὴν οἷον ἐγκελευομένην πρὸς τὰ καλὰ καὶ παρορμῶσαν θεὸν, Ὥραν λεγομένην, ᾤοντο δεῖν ὡς ἐνεργὸν ἀεὶ μηδέποτε μέλλειν, μηδὲ ἀποκεκλεῖσθαι, μηδὲ ἐλινύειν; Ἢ μᾶλλον ὡς νῦν ὀνομάζουσιν αὐτὴν Ὥραν μηκυνομένης τῆς προτέρας συλλαβῆς, ἐπιστρεφῆ τινα καὶ πολυωρητικὴν θεὸν, ἣν ὡς διαφυλακτικὴν καὶ φροντιστικὴν οὖσαν, οὐδέποτε ῥάθυμον οὐδὲ ὀλίγωρον εἶναι τῶν ἀνθρωπίνων ἐνόμιζον; Ἢ, καθάπερ ἄλλα πολλὰ, καὶ τοῦτο τῶν Ἑλληνικῶν ὀνο-

ſiſſet: Æneam cognita ejus pollicitatione, diis vinum id conſecraſſe, partaque victoria vinum e congeſtis uvis factum ante fanum Veneris effudiſſe? An hoc ſigno monebant feſtos dies ſobrie, non per ebrietatem debere agitari, quod dii magis delectentur nimium merum effundentibus, quam bibentibus?

XLVI.

Cur Hortæ templum antiquitus ſemper manſit apertum?

An quia, ut Antiſtius Labeo tradit, ab hortando dictam deam, quæ ad honeſtas actiones exhortaretur et incitaret, exiſtimaverunt ut induſtriam ſemperque occupatam nunquam cunctari debere, nunquam incluſam impeditamve teneri? Aut potius ea eſt quam nunc Horam dicunt, agilis dea et multis intenta negotiis, quæ cum obſervet omnia et ſolicita ſit, nunquam ab ea res humanas negligi voluerunt indicare? Aut potius id quoque nomen, ut multa alia, Græ-

μάτων ἐστὶ, καὶ δηλοῖ θεὸν ἐπισκοποῦσαν καὶ ἐφορῶσαν; ὅθεν, ὡς ἀκοιμήτου καὶ ἀΰπνου, διαπαντὸς ἀνεῳγμένον ἦν τὸ ἱερὸν αὐτῆς. Εἰ μέν τοι τὴν ὥραν ὀρθῶς ὁ Λαβεὼν ἀπὸ τοῦ παρορμᾶν ὠνομάσθαι δέδεικται, σκόπει μὴ τὸν ἀρήτορα προτρεπτικόν τινα καὶ παρορμητικὸν ὄντα σύμβουλον ἢ δημαγωγὸν, οὕτως ὠνομάσθαι φατέον, οὐκ ἀπὸ τῆς ἀρᾶς καὶ εὐχῆς, ὡς ἔνιοι λέγουσι.

μζ'.

B " Διὰ τί τὸ τοῦ Ἡφαίστου ἱερὸν ἔξω πόλεως ὁ Ῥω-" " μύλος ἱδρύσατο;" Πότερον διὰ τὴν μυθολογουμένην πρὸς Ἄρη ζηλοτυπίαν τοῦ Ἡφαίστου δι' Ἀφροδίτην, υἱὸς εἶναι δοκῶν Ἄρεως, οὐκ ἐποιήσατο σύνοικον οὐδὲ ὁμόπολιν αὐτόν; Ἢ τοῦτο μὲν ἀβέλτερον, ᾠκοδομήθη δὲ ὁ ναὸς ἐξ ἀρχῆς, συνέδριον καὶ βουλευτήριον ἀπόρρητον αὐτοῦ μετὰ Τατίου τοῦ συμβασιλεύσαντος, ὅπως συνιόντες ἐνταῦθα μετὰ τῶν γερόντων, ἄνευ τοῦ παρενοχλεῖσθαι καθ' ἡσυχίαν βουλεύοιντο περὶ τῶν πραγμάτων; Ἢ,

A. 8. δέδεικται] Rectius E. δέδειχε.

cum eſt, ſignificatque *deam inſpicientem res: (horan* Græcis eſt *videre)* ideoque ejus pervigilis ſemper apertum eſt templum? Quod ſi Horam ab hortando recte deducit Labeo, videndum an non potius indidem dicatur orator, qui conſulendo ſuadendoque exhortetur et incitet, quam ab orando ſeu precando, ut nonnulli volunt.

XLVII.

Cur Vulcani fanum Romulus extra urbem poſuit? An quod filius Martis cum exiſtimaretur, propter fabuloſam illam Vulcani adverſus Martem Veneris cauſa ſimultatem, Vulcanum in eadem urbe eodemque cum Marte domicilio eſſe noluit? Aut hoc quidem ineptum eſt: ſed illud templum jam inde ab initio ædificatum a Romulo fuit, ut ibi una cum collega ſuo Tatio curiam haberet, in qua de rebus arcanis cum ſenatu abſque interventoribus quiete poſſent conſultare? Aut cum Romæ ab in-

δὲ ἱερεῖς παρεγίνοντο τῇ τοῦ γάμου διαλύσει, πολλὰ φρικώδη καὶ ἀλλόκοτα καὶ σκυθρωπὰ δρῶντες. Ἧττον δ' ἄν τις τοῦτο θαυμάσειε προσιστορήσας ὅτι καὶ τῶν τιμητῶν θατέρου τελευτήσαντος, ἔδει καὶ τὸν ἕτερον πεπαῦσθαι τῆς ἀρχῆς· ἀποθανόντος δὲ τιμητοῦ Λιβίου Δρούσου, Σκαῦρος Αἰμίλιος συνάρχων οὐκ ἐβούλετο τὴν ἀρχὴν ἀπείπασθαι, μέχρις οὗ τῶν δημάρχων τινὲς αὐτὸν ἐκέλευον εἰς τὸ δεσμωτήριον ἀπάγεσθαι·

να'.

" Διὰ τί τῶν Λαρητῶν οὓς ἰδίως πραιστίτας καλοῦσι, " τούτοις κύων παρέστηκεν, αὐτοὶ δὲ κυνῶν διφθέραις ἀμ- " πέχονται;" Ἢ πραιστίτης μὲν οἱ προεστῶτές εἰσι, τοὺς δὲ προεστῶτας, οἴκου φυλακτικοὺς εἶναι προσήκει, καὶ φοβεροὺς μὲν τοῖς ἀλλοτρίοις, ὥσπερ ὁ κύων ἐστίν, ἠπίους δὲ καὶ πράους τοῖς συνοικοῦσιν; Ἢ μᾶλλον, ὃ λέγουσιν ἔνιοι Ῥωμαίων ἀληθές ἐστι; καὶ, καθάπερ οἱ περὶ Χρύσιππον οἴονται φιλόσοφοι φαῦλα δαιμόνια περινοστεῖν, οἷς οἱ θεοὶ δημίοις χρῶνται κολασταῖς ἐπὶ τοὺς ἀνοσίους καὶ

tianus: aderant autem diſſidio matrimonii ſacerdotes, terribilia multa et inuſitata atque triſtia agentes. Minus autem hunc morem flaminis Dialis mirabitur, qui obſervavit etiam cenſorum altero vita defuncto, alterum abdicare ſe cenſura opus habuiſſe. Mortuo quidem Livio Druſo cenſore, collega ejus Æmilius Scaurus abdicare non ante voluit quam eum tribunorum plebis quidam duci in carcerem juſſerunt.

LI.

Cur Laribus, quos Præſtites proprie vocant, canis præficitur, ipſi autem caninis pellibus amiciuntur? An præſtites ſunt qui præſunt, ideoque cuſtodiam domus ejus curæ, alieniſque eos terrori eſſe par eſt, domeſticis manſuetos? qualis eſt canum natura. Aut id verius eſt, quod nonnulli Romanorum dicunt? ſicut qui Chryſippum ſectantur philoſophi dicunt oberrare quoſdam malos genios, quibus loco carnificum dii utantur in puni-

ἀδίκους ἀνθρώπους· οὕτως οἱ Λάρητες ἐριννυώδεις τινές εἰσι καὶ ποίνιμοι δαίμονες, ἐπίσκοποι βίων καὶ οἴκων· διὸ καὶ κυνῶν δέρμασιν ἀμπέχονται, καὶ κύων πάρεδρός ἐστιν, ὡς δεινοῖς οὖσιν ἐξιχνεῦσαι καὶ μετελθεῖν τοὺς πονηρούς;

νβ'.

“ Διά τί τῇ καλουμένῃ Γενείτῃ Μάνῃ κύνα θύουσι, “ καὶ κατεύχονται μηδένα χρηστὸν ἀποβῆναι τῶν οἰκο- “ γενῶν;” Ἢ ὅτι δαίμων ἐστὶν ἡ Γενείτα περὶ τὰς γενέσεις καὶ τὰς λοχείας τῶν φθαρτῶν; ῥύσιν γάρ τινα σημαίνει τοὔνομα καὶ γένεσιν, ἢ ῥέουσαν γένεσιν· ὥσπερ οὖν

B οἱ Ἕλληνες τῇ Ἑκάτῃ, καὶ τῇ Γενείτῃ κύνα Ῥωμαῖοι θύουσιν ὑπὲρ τῶν οἰκογενῶν. Ἀργείους δὲ Σωκράτης φησὶ τῇ Εἰλιονίᾳ κύνα θύειν διὰ τὴν ῥᾳστώνην τῆς λοχείας. Τὸ δὲ τῆς εὐχῆς πότερον οὐκ ἐπ' ἀνθρώπων ἀλλ' ἐπὶ κυνῶν ἐστιν οἰκογενῶν, μηδένα χρηστὸν γενέσθαι;

A. 4. καὶ κυνῶν] Ita E. H. Venet. Voſſ. Amiot. Xylandri verſio, et una Græco-Latina 1624, neſcio unde. Vulgo καὶ νῦν.

B. 3. Εἰλιονίᾳ] Εἰλειθυίᾳ reddiderunt Amiot. et Xyl. hic item edidit.

endis flagitioſis et impiis hominibus: ita Lares genios quoſdam eſſe diros ac furiarum naturæ affines ad puniendum factos, qui in vitas et familias hominum inſpiciant: itaque canum exuviis veſtiri, et canem eis adſidere, ut callidis ſcrutari atque ulciſci malorum facinora?

LII.

Cur Manæ Genetæ canem immolant, votoque petunt ne quis domi natorum bonus fiat? An quod hæc dea ortui ac partui præeſt obnoxiorum interitui ac fluxorum corporum? *fluxum* enim quendam et *generationem*, ſeu *generationem fluxam* vox a manando ducta indicat: ut igitur Græci Hecatæ, ſic Romani Genetæ canem immolant pro domi naſcentibus. Argivos etiam Socrates ait cane Lucinæ rem ſacram facere, ob facilitatem pariendi. Votum autem quid ſi non ad homines pertinet domi naſcentes, ſed ad canes? ut hos optent non bonos aut placidos,

χαλεποὺς γὰρ εἶναι δεῖ καὶ φοβεροὺς τοὺς κύνας. Ἢ διὰ τὸ χρηστοὺς καὶ κομψοὺς λέγεσθαι τοὺς τελευτήσαντας, αἰνιττόμενοι διὰ τῆς εὐχῆς, αἰτοῦνται μηδένα τῶν συνοίκων ἀποθανεῖν; Οὐ δεῖ δὲ τοῦτο θαυμάζειν· καὶ γὰρ Ἀριστοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίους συνθήκαις γεγράφθαι φησὶ, μηδένα χρηστὸν ποιεῖν βοηθείας C
χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν, ὅπερ ἐστὶ, μηδένα ἀποκτιννύναι.

νγ'.

“ Διὰ τί τοῖς Καπιτωλίοις θέας ἄγοντες ἔτι νῦν “ κηρύττουσι Σαρδιανοὺς ὠνίους, καὶ γέρων τις ἐπὶ χλευ-“ ασμῷ προάγεται, παιδικὸν ἐναψάμενος περιδέραιον, “ ὃ καλοῦσι βοῦλλαν;” Ἢ ὅτι Ῥωμύλῳ πολὺν χρόνον ἐπολέμησαν οἱ λεγόμενοι Οὐήιοι Τυῤῥηνῶν, καὶ ταύτην πόλιν ἐσχάτην εἷλε, καὶ πολλοὺς αἰχμαλώτους ἀπεκήρυξε μετὰ τοῦ βασιλέως, ἐπισκώπτων αὐτοῦ τὴν ἠλιθιότητα καὶ τὴν

B. 7. χρηστοὺς] Sumpſi a Pol. Leonic. Schott. Reliqui ἀχρήστους· falſo.
B. 8. διὰ τῆς εὐχῆς] Sic Voſſ. Mez. Cæteri διὰ τῆς ἀρχῆς.
C. 1. μηδένα χρηστὸν] Item ex Pol. Leonic. Schott. Vulgo μηδὲν ἄχρηστον. Venet. Voſſ. μηδένα ἄχρηστον.
C. 4. τοῖς Καπιτωλίοις] Secutus ſum E. H. P. Cæteri, τῆς Καπιτωλίοις.

ſed iracundos fieri et terribiles. Aut quoniam venuſte boni dicuntur, qui mortem cum vita commutaverunt, hoc voto oblique precantur ne quis domeſticorum moriatur? Atque hoc alienum putare nemo debet: nam in fœdere Arcadum cum Spartanis facto ſcriptum eſſe Ariſtoteles teſtatur, *Neminem Tegeatarum debere bonum reddi*, (id eſt *interfici*) *ſi auxilii cauſa rebus Lacedæmoniorum ſtudeat.*

LIII.

Cur ludis Capitolinis etiamnum præconis voce proclamant Sardianos vænales, et ſenex quidam ludibrii gratia producitur bullam collo appenſam gerens puerilem? An quia Veientes Etruſcorum populus per longum tempus Romulo bello reſtiterunt, hancque is ultimam urbem cepit, multoſque captivos ſub haſta vendidit una cum ipſorum rege, futilitatem ejus et ſtultitiam deridens?

D ἀβελτηρίαν; ἐπεὶ δὲ Λυδοὶ μὲν ἦσαν οἱ Τυῤῥηνοὶ ἐξ ἀρχῆς, Λυδῶν δὲ μητροπόλεις Σάρδεις, οὕτω τοὺς Οὐηΐους ἀπεκήρυττον· καὶ μέχρι νῦν ἐν παιδιᾷ τὸ ἔθος διαφυλάττουσι.

νδ'.

"Διὰ τί τὰ κρεοπώλια μάκελλα καὶ μακέλλας "καλοῦσι;" Πότερον ἀπὸ τῶν μαγείρων τοὔνομα διαφθαρὲν, ὥσπερ ἄλλα πολλὰ, τῇ συνηθείᾳ κεκράτηκε; Καὶ γὰρ τὸ κ' πρὸς τὸ γ' συγγένειαν ἔχει παρ' αὐτοῖς· ὀψὲ γὰρ ἐχρήσαντο τῷ Γάμμα, Καρβιλίου Σπορίου προσεξευρόντος. Καὶ τὸ λ' πάλιν τοῖς ἀπολισθαίνουσι τοῦ ρ', διὰ ἀμβλύτητα τῆς γλώττης, ὑπόκειται τραυλιζόμενον. Ἢ καὶ τοῦτο λυτέον τῇ ἱστορίᾳ; λέγεται γὰρ E ἐν Ῥώμῃ βίαιον ἄνδρα καὶ λῃστρικὸν γενόμενον, καὶ περικόψαντα πολλοὺς, μόγις ἁλῶναι, καὶ κολασθῆναι, τοὔνομα Μάκελλον· ἐκ δὲ τῶν χρημάτων αὐτοῦ δημόσιον οἰκοδομηθῆναι κρεοπώλιον ἀπ' ἐκείνου κτησάμενον τὴν προσηγορίαν.

D. 2. μητροπόλεις] Rectius μητρόπολις.

nam Etruſci a Lydis originem trahunt, Lydorum primaria urbs Sardes: ideo Veientes Sardianorum nomine proclamant, et in hunc uſque diem ludicri gratia morem iſtum conſervant.

LIV.

Cur locus ubi carnes publice venduntur, macellum dicitur? An conſuetudo ut multa alia, ita hoc quoque vocabulum a *mageiris* (qui Græca lingua ſunt *coci*) depravatum retinuit? ſunt enim C et G cognatæ litteræ, et G littera ſero uti ceperunt, a Spurio Carbilio adjecta reliquis: et qui blæſi ſunt, lingua ob hebetudinem aberrante a R littera ad L delabuntur. Aut hiſtoria rem explicabit? Ferunt enim Romæ latronem truculentum fuiſſe, nomine Macellum, qui multis deverberatis vix tandem captus, ſupplicioque affectus, et ex pecunia ejus locus carnibus publice vendendis ædificatus fuerit, nomen ab ipſo habens.

νε'.

“Διὰ τί ταῖς Ἰανουαρίαις εἰδοῖς περιιέναι δέδοται τοῖς αὐληταῖς τὴν πόλιν ἐσθῆτας γυναικείας φοροῦντας;” Ἦ διὰ τὴν λεγομένην αἰτίαν; Μεγάλας γάρ, ὡς ἔοικεν, τιμὰς ἐκαρποῦτο, τοῦ βασιλέως Νουμᾶ δόντος αὐτοῖς, διὰ τὴν πρὸς τὸ θεῖον ὁσιότητα· ταύτας δὲ ὕστερον ἀφαιρεθέντες ὑπὸ τῆς ἀνθυπατικῆς δεκαδαρχίας, ἀπεχώρησαν ἐκ τῆς πόλεως· ἦν οὖν ἐπιζήτησις αὐτῶν, καί τις ἥπτετο δεισιδαιμονία τῶν ἱερέων ἄναυλα θυόντων. Ἐπεὶ δὲ οὐκ ἐπείθοντο μεταπεμπομένοις, ἀλλ' ἐν τῇ Τιβυρίδι διέτριβον, ἀνὴρ ἀπελεύθερος κρύφα τοῖς ἄρχουσιν ἐπηγγείλατο κατάξειν αὐτούς. Καὶ παρασκευάσας θοίνην ἄφθονον, ὡς τεθυκὼς θεοῖς, ἐκάλεσε τοὺς αὐλητάς· καὶ γύναια παρῆν ἅμα τῷ πότῳ, καὶ παννυχὶς συνεκροτεῖτο παιζόντων καὶ χορευόντων· εἶτα ἐξαίφνης ὁ ἄνθρωπος ἐμβαλὼν λόγον ὡς τοῦ πάτρωνος 278

E. 5. Ἰανουαρίαις] Immo Ἰουνίαις: ut res deſiderat et monet Neapolis ad Ovid. Faſt. VI, 651.

F. 7. τῇ Τιβυρίδι] τῷ Τίβυρι Mez.

LV.

Cur Idibus Januarii tibicinibus permiſſum eſt per urbem circuire, veſtem indutis muliebrem? An hoc fit propter cauſam quæ ſubjicietur? Magnos illis honores Numa rex religionis cauſa contulerat: quibus cum poſtea tribunis militum conſulari poteſtate rempublicam adminiſtrantibus privarentur, univerſi Roma Tibur ſeceſſerunt: deſiderati inde, quod religio animos tenebat Romanorum, nemine ſacrificiis præcinente, accitique cum non obtemperarent, ſed Tibure manerent, libertus quidam magiſtratibus promiſit occulte, ſe eos Romam reducturum. Inſtructo proinde polluctu, tanquam ſi diis rem ſacram feciſſet, invitat tibicines, adhibitis etiam convivio mulieribus, et per totam noctem compotatio, joci choreæque protrahuntur: tum ſubito ficta trepidatione, improviſo patroni,

ἐπιόντος αὐτῷ, καὶ ταραττόμενος, συνέπεισε τοὺς αὐλητὰς ἀναβάντας ἐφ' ἁμάξας δέῤῥεσι κύκλῳ περικαλυπτομένας, εἰς τὸ Τίβουρι κομίζεσθαι. Τοῦτο δὲ ἦν ἀπάτη· περιαγαγὼν γὰρ τὰς ἁμάξας οὐ συνορῶντας αὐτοὺς διὰ τὸν οἶνον καὶ τὸ σκότος, ἔλαθεν εἰς Ῥώμην καταγαγὼν ἅπαντας ἕωθεν· ἐτύγχανον δὲ οἱ πολλοὶ διὰ τὴν παννυχίδα καὶ τὸν πότον ἐν ἐσθῆσιν ἀνθιναῖς καὶ γυναικείαις ὄντες. Ὡς οὖν ἐπείσθησαν ὑπὸ τῶν ἀρχόντων καὶ διηλλάγησαν, ἐνομίσθη τὴν ἡμέραν ἐκείνην οὕτως ἀμπεχομένους, σοβεῖν διὰ τῆς πόλεως.

νϛ'.

" Διὰ τί τὸ τῆς Καρμέντης ἱερὸν ἐξ ἀρχῆς δοκοῦσιν " αἱ μητέρες ἱδρύσασθαι, καὶ νῦν μάλιστα σέβονται;" Λέγεται γάρ τις λόγος, ὡς ἐκωλύθησαν ὑπὸ τῆς βουλῆς αἱ γυναῖκες ὀχήμασι χρῆσθαι ζευκτοῖς, συνέθεντο ἀλλήλαις μὴ κυΐσκεσθαι μηδὲ τίκτειν, ἀμυνόμεναι τοὺς

B. 4. ὡς ἐκωλύθησαν] Forte ὅτι, ὡς ἐκωλύθησαν: vel, ὡς κωλυθεῖσαι.

ſuperventu ſe perturbatum ait, perſuadetque tibicinibus ut vehicula circumquaque pellibus obtecta conſcendant, Tibur ſe eos revecturum doloſe promittens. Ibi circumactis vehiculis eos, qui per temulentiam et tenebras animadvertere ubi locorum eſſent nequibant, univerſos Romam prima luce perfert: erant autem plerique veſtibus floridis et muliebribus amicti ob nocturnam comeſſationem et convivium. Exinde cum magiſtratu tibicines in gratiam redierunt, decretumque eſt ut tali habitu iſtum diem eis per urbem vagari liceret.

LVI.

Quamobrem Carmentæ templum matronæ et antiquitus dedicaverunt, et hodie in primis colunt? Memoria proditum eſt matres, cum uſu vehiculorum quibus jumenta trahendis jungerentur Senatus ipſis interdixiſſet, inter ſe conſpiraſſe, neque uterum gerere ſe neque parere velle, ac viros hac ra-

λαῖον Σπόριος Καρβίλιος ἀπελεύθερος Καρβιλίου τοῦ πρώτου γαμετὴν ἐκβαλόντος.

ξʹ.

« Διὰ τί δυεῖν βωμῶν Ἡρακλέους ὄντων, οὐ μεταλαμβάνουσι γυναῖκες οὐδὲ γεύονται τῶν ἐπὶ τοῦ μείζονος θυομένων; » Πότερον ὅτι τῶν ἱερῶν αἱ περὶ τὴν Καρμέντην ὑστέρησαν, ὑστέρησε δὲ καὶ τὸ Πιναρίων γένος· ὅθεν εἰργόμενοι τῆς θοίνης ἑστιωμένων τῶν ἄλλων, Πινάριοι προσηγορεύθησαν; Ἢ διὰ τὰ μυθολογούμενα περὶ τοῦ χιτῶνος καὶ τῆς Δηϊανείρας;

ξαʹ.

« Διὰ τί τὸν θεὸν ἐκεῖνον ᾧ μάλιστα τὴν Ῥώμην « σώζειν προσήκει καὶ φυλάττειν, εἴτε ἐστὶν ἄῤῥην εἴτε « θήλεια, καὶ λέγειν ἀπείρηται καὶ ζητεῖν καὶ ὀνομάζειν· « ταύτην δὲ τὴν ἀπόῤῥησιν ἐξάπτουσι δεισιδαιμονίας, « ἱστοροῦντες Οὐαλέριον Σωρανὸν ἀπολέσθαι κακῶς διὰ « τὸ ἐξειπεῖν; » Πότερον, ὡς τῶν Ῥωμαϊκῶν τινες ἱστορήκασιν, ἐκκλήσεις εἰσὶ καὶ γοητεῖαι θεῶν, αἷς νομίζοντες καὶ

rius Carbilius, Carbilii libertus, ejus qui primus uxorem dimiſit.

LX.

Quare cum duæ ſint aræ Herculis, mulieres nihil ſumunt neque guſtant de iis, quæ in earum altera immolantur? An quia poſt ſacrificium jam peractum ſupervenit Carmenta? Hoc idem familiæ Pinariorum accidit, qui inde nomen habent; nam excluſi ab epulis, aliis edentibus eſuriunt, quod Græce eſt *peinan.* Aut propter fabulam quæ de tunica et Deianira fertur?

LXI.

Cur tutelarem Romæ deum, maſne ſit an fœmina, dicere aut quærere, ejuſque nomen efferre nefas eſt: quod quidam interdictum a ſuperſtitione repetunt, narrantes Valerium Soranum male periiſſe, quod nomen illud edidiſſet? An quia, ut nonnulli rerum Romanarum ſcriptores tradunt, carmina quædam ſunt et præſtigiæ, quibus dii eliciuntur, quibus uſi Ro-

αὐτοὶ θεούς τινας ἐκκεκλῆσθαι παρὰ τῶν πολεμίων, καὶ
79 μετῳκηκέναι πρὸς αὐτοὺς, ἐφοβοῦντο δ' αὐτὸ παθεῖν ὑφ' ἑτέρων; ὥσπερ οὖν Τύριοι δεσμοὺς ἀγάλμασι λέγονται περιβαλεῖν, ἕτεροι δὲ αἰτεῖν ἐγγυητὰς ἐπὶ λουτρὸν ἢ καθαρμόν τινα προπέμποντες, οὕτως ᾤοντο Ῥωμαῖοι τὸ ἄρρητον καὶ τὸ ἄγνωστον ἀσφαλεστάτην εἶναι θεοῦ καὶ βεβαιοτάτην φρουράν. Ἢ, καθάπερ Ὁμήρῳ πεποίηται, τὸ,

Γαῖα δ' ἔτι ξυνὴ πάντων,

ὅπως οἱ ἄνθρωποι τοὺς θεοὺς πάντας σέβωνται, καὶ τιμῶσι τὴν γῆν κοινῶς ἔχοντες, οὕτως ἀπεκρύψαντο τὸν κύριον τῆς σωτηρίας οἱ παλαιοὶ Ῥωμαῖοι, βουλόμενοι μὴ μόνον τοῦτον, ἀλλὰ πάντας ὑπὸ τῶν πολιτῶν τοὺς θεοὺς τιμᾶσθαι;

ξβ'.

B « Διὰ τί τῶν λεγομένων Φιτιαλίων, Ἑλληνιστὶ δὲ « οἷον εἰρηνοποιῶν, σπονδοφόρων, ὁ καλούμενος Πάτερ « Πατρᾶτος, ἐνομίζετο μέγιστος; ἔστι δὲ οὗτος ᾧ πα-

A. 9. ἔχοντες;] Legendum ἔχοντας, ut Mez.

mani, cum putarent ſe quoſdam hoſtium deos ad ſe traduxiſſe, cavere voluerunt ne idem ſibi ab aliis eveniret? Itaque ſicut Tyrii vincula injicere ſimulachris dicuntur, alii autem cum ea ad lavacrum aut luſtrationem aliquam deducunt, fidejuſſores pro reditu exigunt: ita Romani tutiſſime ac conſtantiſſime adſervari deum crediderunt, qui neque de nomine notus aliis eſſet. An quemadmodum Homerus ſcripſit:

Terra eſt communis cunctis cæleſtibus una,

ut homines univerſos deos colerent æquo jure terram tenentes: ita priſci Romani ſalutis publicæ auctorem occultaverunt, quod vellent non iſtum duntaxat, ſed omnes etiam alios deos a civibus ſuis coli?

LXII.

Cur inter Feciales maximus eſt is, quem Patrem Patratum appellant? is autem eſt qui liberos habet vivo adhuc patre

„ τὴν ζῇ καὶ παῖδές εἰσιν· ἔχει δὲ καὶ νῦν προνομίαν „ τινὰ καὶ πίστιν· οἱ γὰρ στρατηγοὶ τὰ δι' εὐμορφίαν καὶ „ ὥραν ἐπιμελοῦς δεόμενα καὶ σώφρονος φυλακῆς σώ- „ ματα, τούτοις παρακατατίθενται." Πότερον ὅτι τὸ αἰδεῖσθαι τοὺς παῖδας αὐτοῖς καὶ τὸ φοβεῖσθαι τοὺς πατέρας πρόσεστιν; Ἢ τοὔνομα τὴν αἰτίαν ὑπαγορεύει; βούλεται γὰρ εἶναι τὸ πατρᾶτον, οἱονεὶ συμπεπερασμένον καὶ πεπερατωμένον, ὡς τελειοτέρου τῶν ἄλλων ὄντος ᾧ συμβέβηκε πατέρα κεκτημένῳ πατρὶ γενέσθαι. Ἢ δεῖ C
τὸν ὅρκων καὶ εἰρήνης προϊστάμενον, ἅμα πρόσσω καὶ ὀπίσσω καθ' Ὅμηρον ὁρᾷν; εἴη δ' ἂν μάλιστα τοιοῦτος ᾧ παῖς ἐστιν ὑπὲρ οὗ βουλεύεται, καὶ πατὴρ μεθ' οὗ βουλεύεται.

ξγ'.

" Διὰ τί τῷ καλουμένῳ ΡΗΓΙ ΣΑΚΡΩΡΟΥΜ (οὗτος „ δέ ἐστι βασιλεὺς ἱερῶν) ἀπείρηται καὶ ἄρχειν καὶ δημη- „ γορεῖν;" Ἢ τὸ παλαιὸν οἱ βασιλεῖς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἱερῶν ἔδρων, καὶ τὰς θυσίας ἔθυον αὐτοὶ μετὰ τῶν ἱερέων; ἐπεὶ δ' οὐκ ἐμετρίαζον, ἀλλ' ἦσαν ὑπερήφανοι

ſuo : atque etiamnum privilegium auctoritatemque aliquam retinet : prætores enim corpora quæ ob formam et florem ætatis cuſtodia opus habebant pudica, eorum fidei commendant. An quia et liberos revetentur ſuos, et timent genitores? An ipſum nomen rem explicat? eſt enim *patratum* quaſi perfectum et abſolutum : et perfectior aliis putabatur, qui vivo patre pater eſſet factus. Aut jurejurandi et pacis præſidem oportet ſimul, ut ait Homerus, prorſum et retrorſum videre? id vero maxime præſtare poſſit, qui et filium habet de quo, et patrem qui cum, deliberet.

LXIII.

Cur Regi Sacrorum magiſtratum gerere aut orationem ad populum habere non licet? An quod antiquitus reges pleraque et potiſſima ſacra peragebant, inque immolandis hoſtiis ſacerdotibus aderant? cum vero modum non ſervarent, ſed ſuperbe iniqueque dominaren-

D καὶ βαρεῖς. τῶν μὲν Ἑλλήνων οἱ πλεῖστοι τὴν ἐξουσίαν αὐτῶν περιελόμενοι μόνον τὸ θύειν τοῖς θεοῖς ἀπέλιπον. Ῥωμαῖοι δὲ παντάπασι τοὺς βασιλεῖς ἐκβαλόντες, ἄλλον ἐπὶ τὰς θυσίας ἔταξαν, οὔτε ἄρχειν ἐάσαντες, οὔτε δημαγωγεῖν, ὅπως μόνον ἐν τοῖς ἱεροῖς βουλεύεσθαι δοκῶσι, καὶ βασιλείαν διὰ τοὺς θεοὺς ὑπομένειν. Ἔστι γοῦν τις ἐν ἀγορᾷ θυσία πρὸς τῷ λεγομένῳ Κομιτίῳ πάτριος, ἣν θύσας ὁ βασιλεὺς, κατὰ τάχος ἄπεισι φεύγων ἐξ ἀγορᾶς.

ξδ΄.

“ Διὰ τί τὴν τράπεζαν οὐκ εἴων ἀναιρεῖσθαι κενὴν, “ ἀλλὰ πάντως τινὸς ἐπόντος;” Πότερον αἰνιττόμενοι τὸ
E δεῖν ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν; Ἢ νομίζοντες ἀστεῖον εἶναι τὸ συστέλλειν καὶ ἀνέχειν τὴν ὄρεξιν, ἔτι παρούσης τῆς ἀπολαύσεως; ἧττον γὰρ ἐπιθυμοῦσι τῶν ἀπόντων, ἐθισθέντες ἀπέχεσθαι τῶν παρόντων. Ἢ καὶ πρὸς

D. 5. βυλεύεσθαι δοκῶσι] Corrigendum βασιλεύεσθαι δοκῶσι.

tur, Græci plerique iis omnem ademerunt potentiam, id tantum relinquentes ut diis ſacra facerent. Romani autem regibus omnino ejectis, ſacrificiis alium præfecerunt, neque magiſtratum gerere eum, neque cum populo agere ſinentes: ut nunquam niſi in ſacris ſervire, et in gratiam deorum ſuſtinere regnum viderentur. Sane a majoribus tradito ritu ante Comitium Rex Sacrorum poſtquam rem divinam fecit, fuga ſeſe inde e foro proripit.

LXIV.

Cur menſa cum tolleretur, ſemper omnino aliquid ſuper ea volebant relinqui? An hac ambage ſignificabant ſemper ex partis aliquid in futurum reſervandum, et in præſenti die ſubſecuturæ aliquam habendam rationem? Aut ſcitum putabant appetitum cohibere, eumque reprimere dum adhuc aliquid ad fruendum in promptu eſt? minus enim appetunt abſentia, qui præſentibus abſtinere didicerunt. Aut erga famulos aliquid habet huma-

οὐχὶ ἔτι φιλάνθρωπον τὸ ἔθος; οὐ γὰρ οὕτω λαμβάνοντες ὡς μεταλαμβάνοντες ἀγαπῶσι, κοινωνεῖν τρόπον τινὰ τραπέζης ἡγούμενοι τοῖς δεσπόταις. Ἢ τῶν ἱερῶν οὐδέποτε δεῖ κενὸν οὐθὲν περιορᾷν; ἱερὸν δὲ ἡ τράπεζα.

ξέ.

“Διὰ τί τῇ νύμφῃ τὸ πρῶτον οὐκ ἐντυγχάνει μετὰ “φωτὸς ὁ ἀνήρ, ἀλλὰ διὰ σκότους;” Πότερον ὅτι αἰ- 1 δεῖται πρὶν συνελθεῖν ἀλλοτρίαν νομίζων; Ἢ καὶ πρὸς ἰδίαν προσιέναι μετ᾽ αἰδοῦς ἐθιζόμενος; Ἤ, καθάπερ ὁ Σόλων ἔγραψε, μῆλον κυδώνιον τὴν νύμφην ἐντραγοῦσαν εἰς τὸν θάλαμον βαδίζειν, ὅπως τὸ πρῶτον ἀσπασμα μὴ δυσχερὲς γένηται μηδὲ ἀχάριστον, οὕτω Ῥωμαῖος νομοθέτης, εἰ δή τι προσῆν ἄτοπον τῷ σώματι καὶ δυσχερὲς, ἔκρυψεν; Ἢ διαβολή τις ἐστὶν ἀφροδισίων παρανόμων τὸ γινόμενον, ὡς καὶ τοῖς νόμοις αἰσχύνης τινὸς προσούσης;

ξστ'.

“Διὰ τί τῶν ἱπποδρόμων εἷς Φλαμίνιος καλεῖται;” Ἢ

nitatis mos iſte, qui ſic quodam modo videntur a dominis ad ſocietatem menſæ admitti? non enim tantum delectantur accipiendo, quantum participando. Aut rerum ſacrarum nulla unquam debet inanis relinqui? eſt autem menſa ſacra.

LXV.

Cur vir primo cum ſponſa non congreditur luce, ſed in tenebris? An præ verecundia, quod ante coitum alienam exiſtimat? An etiam cum propria verecunde coire doctus? Aut quemadmodum Solon mandavit ut ſponſa manducato malo Cydonio in thalamum veniat, ut prima ſalutatio non injucunda ſit aut ingrata: ſic Romanus legiſlator occultari voluit ſi quod eſſet corporis ſponſæ vitium? Aut eo more illiciti coitus damnantur, ubi etiam legitimis pudor adhibetur?

LXVI.

Cur Circorum uni nomen eſt Flaminio? An quod cum de

ἢ ὅτι Φλαμινίου τινὸς τῶν παλαιῶν τῇ πόλει χώραν ἐπιδόντος, ἐχρῶντο ταῖς προσόδοις εἰς τοὺς ἱππικοὺς ἀγῶνας; ἔτι δὲ περιόντων χρημάτων, κατεσκεύασαν ὁδὸν ἣν καὶ αὐτὴν Φλαμινίαν προσηγόρευσαν;

ξζʹ.

"Διὰ τί Λικτώρεις τοὺς ῥαβδούχους ὀνομάζουσι;" Πότερον ὅτι καὶ συνέδεον τοὺς ἀκολασταίνοντας οὗτοι, καὶ τῷ Ῥωμύλῳ παρηκολούθουν ἱμάντας ἐν τοῖς κόλποις κομίζοντες; τὸ δὲ δεσμεύειν ΑΛΛΙΓΑΡΕ λέγουσιν οἱ πολλοὶ Ῥωμαίων· οἱ δὲ καθαρεύοντες ἐν τῷ διαλέγεσθαι, ΛΙΓΑΡΕ. Ἢ νῦν μὲν παρεγκεῖται τὸ κ, πρότερον δὲ ΛΙΤΩΡΕΙΣ ἐκαλοῦντο, λειτουργοί τινες ὄντες περὶ τὸ
B δημόσιον; ὅτι γὰρ ΛΗΙΤΟΝ ἄχρι νῦν τὸ δημόσιον ἐν πολλοῖς τῶν Ἑλλήνων νόμων γέγραπται, οὐδένα, ὡς ἔπος εἰπεῖν, λέληθε.

ξηʹ.

"Διὰ τί κύνα θύουσιν οἱ Λούπερκοι; (Λούπερκοι δὲ "εἰσιν οἱ τοῖς Λουπερκαλίοις γυμνοὶ διαθέοντες ἐν περι-

priſcis Romanis quidam Flaminius urbem agro donaſſet, ejus reditibus uſi ſunt ad equeſtria certamina? cumque adhuc ſupereſſent pecuniæ, viam ex ea ſtraverunt, quam ipſam quoque Flaminiam appellaverunt?

LXVII.

Cur qui faſces gerunt, lictores dicuntur? An quia Romulum ſequebantur lora in ſinubus gerentes, quibus vincirent ſontes? vulgus enim Romanum Alligare: qui purius loquuntur, Ligare uſurpant pro vincire. An hodie littera c vocabulo intercalata uſurpatur: antiquitus autem litores, quaſi liturgi, id eſt qui publica miniſteria exequerentur, dicti ſunt? Nemo enim fere neſcit, etiamnum in multis Græcorum legibus, liton legi pro publico.

LXVIII.

Cur Luperci (hi ſunt qui Lupercalibus nudi, ſoliſque præcincti ſubligaculis diſcurrunt, et ſcutica obvios feriunt)

οἰκέταις φιλάνθρωπον τὸ ἔθος; οὐ γὰρ οὕτω λαμβάνοντες ὡς μεταλαμβάνοντες ἀγαπῶσι, κοινωνεῖν τρόπον τινὰ τραπέζης ἡγούμενοι τοῖς δεσπόταις. Ἢ τῶν ἱερῶν οὐδέποτε δεῖ κενὸν ἐᾶν περιορᾶν; ἱερὸν δὲ ἡ τράπεζα.

ξε'.

" Διὰ τί τῇ νύμφῃ τὸ πρῶτον οὐκ ἐντυγχάνει μετὰ " φωτὸς ὁ ἀνήρ, ἀλλὰ διὰ σκότους;" Πότερον ὅτι αἰδεῖται πρὶν ἢ συνελθεῖν ἀλλοτρίαν νομίζων; Ἢ καὶ πρὸς ἰδίαν προσιέναι μετ' αἰδοῦς ἐθιζόμενος; Ἢ, καθάπερ ὁ Σόλων ἔγραψε, μῆλον κυδώνιον τὴν νύμφην ἐντραγοῦσαν εἰς τὸν θάλαμον βαδίζειν, ὅπως τὸ πρῶτον ἄσπασμα μὴ δυσχερὲς γένηται μηδὲ ἄχαρι, οὕτω Ῥωμαῖος νομοθέτης, εἰ δή τι πρόσεστιν ἄτοπον τῷ σώματι καὶ δυσχερές, ἔκρυψεν; Ἢ διαβολή τις ἐστὶν ἀφροδισίων παρανόμων τὸ γινόμενον, ὡς καὶ τοῖς νόμοις αἰσχύνης τινὸς προσούσης;

ξϛ'.

" Διὰ τί τῶν ἱπποδρόμων εἷς Φλαμίνιος καλεῖται;" Ἢ

nitatis mos iſte, qui ſic quodam modo videntur a dominis ad ſocietatem menſæ admitti? non enim tantum delectantur accipiendo, quantum participando. Aut rerum ſacrarum nulla unquam debet inanis relinqui? eſt autem menſa ſacra.

LXV.

Cur vir primo cum ſponſa non congreditur luce, ſed in tenebris? An præ verecundia, quod ante coitum alienam exiſtimat? An etiam cum propria verecunde coire doctus? Aut quemadmodum Solon mandavit ut ſponſa manducato malo Cydonio in thalamum veniat, ut prima ſalutatio non injucunda ſit aut ingrata: ſic Romanus legiſlator occultari voluit ſi quod eſſet corporis ſponſæ vitium? Aut eo more illiciti coitus damnantur, ubi etiam legitimis pudor adhibetur?

LXVI.

Cur Circorum uni nomen eſt Flaminio? An quod cum de

280 ὅτι Φλαμινίου τινὸς τῶν παλαιῶν τῇ πόλει χώραν ἐπι-
δόντος, ἐχρῶντο ταῖς προσόδοις εἰς τοὺς ἱππικοὺς ἀγῶ-
νας; ἔτι δὲ περιόντων χρημάτων, κατεσκεύασαν ὁδὸν ἣν
καὶ αὐτὴν Φλαμινίαν προσηγόρευσαν;

ξζʹ.

“ Διὰ τί Λικτώρεις τοὺς ῥαβδούχους ὀνομάζουσι;”
Πότερον ὅτι καὶ συνέδεον τοὺς ἀκολασταίνοντας οὗτοι, καὶ
τῷ Ῥωμύλῳ παρηκολούθουν ἱμάντας ἐν τοῖς κόλποις
κομίζοντες; τὸ δὲ δεσμεύειν ΑΛΛΙΓΑΡΕ λέγουσιν οἱ
πολλοὶ Ῥωμαίων· οἱ δὲ καθαρεύοντες ἐν τῷ διαλέγεσθαι,
ΛΙΓΑΡΕ. Ἢ νῦν μὲν παρεγκεῖται τὸ κʹ, πρότερον δὲ
ΛΙΤΩΡΕΙΣ ἐκαλοῦντο, λειτουργοί τινες ὄντες περὶ τὸ
B δημόσιον; ὅτι γὰρ ΛῌΤΟΝ ἄχρι νῦν τὸ δημόσιον ἐν
πολλοῖς τῶν Ἑλλήνων νόμων γέγραπται, οὐδένα, ὡς ἔπος
εἰπεῖν, λέληθε.

ξηʹ.

“ Διὰ τί κύνα θύουσιν οἱ Λούπερκοι; (Λούπερκοι δέ
“ εἰσιν οἱ τοῖς Λουπερκαλίοις γυμνοὶ διαθέοντες ἐν περι-

priſcis Romanis quidam Flaminius urbem agro donaſſet, ejus reditibus uſi ſunt ad equeſtria certamina? cumque adhuc ſupereſſent pecuniæ, viam ex ea ſtraverunt, quam ipſam quoque Flaminiam appellaverunt?

LXVII.

Cur qui faſces gerunt, lictores dicuntur? An quia Romulum ſequebantur lora in ſinubus gerentes, quibus vincirent ſontes? vulgus enim Romanum Alligare: qui purius loquuntur, Ligare uſurpant pro vincire. An hodie littera c vocabulo intercalata uſurpatur: antiquitus autem litores, quaſi liturgi, id eſt qui publica miniſteria exequerentur, dicti ſunt? Nemo enim fere neſcit, etiamnum in multis Græcorum legibus, liton legi pro publico.

LXVIII.

Cur Luperci (hi ſunt qui Lupercalibus nudi, ſoliſque præcincti ſubligaculis diſcurrunt, et ſcutica obvios feriunt)

" ζώμασι, καὶ καθαινόμενοι σκύτει τῶν ἀπαντώντων.)" Πότερον ὅτι καθαρμός ἐστι τῆς πόλεως, τὰ δρώμενα, καὶ τὸν μῆνα Φεβρουάριον καλοῦσι, καὶ νὴ Δία τὴν ἡμέραν ἐκείνην Φεβράτην, καὶ Φεβράριν τὸ τῶν σκυτῶν τινὶ καθαινεῖσθαι, τοῦ ῥήματος τὸ καθαίρειν σημαίνοντος; τῷ δὲ κυνὶ πάντες, ὡς ἔπος εἰπεῖν, Ἕλληνες ἐχρῶντο, καὶ χρῶνταί γε μέχρι νῦν ἔνιοι σφαγίῳ πρὸς τοὺς καθαρμούς· καὶ τῇ Ἑκάτῃ σκυλάκια μετὰ τῶν ἄλλων καθαρσίων ἐκφέρουσι, καὶ περιμάττουσι σκυλακίοις τοὺς ἁγνισμοῦ δεομένους, περισκυλακισμὸν τὸ τοιοῦτον γένος τοῦ καθαρμοῦ καλοῦντες. Ἢ λύκος μὲν ὁ ΛΟΥΠΟΣ ἐστὶ, καὶ Λύκαια τὰ ΛΟΥΠΕΡΚΑΛΙΑ· λύκῳ δὲ κύων πολέμιος, καὶ διὰ τοῦτο θύεται τοῖς Λυκαίοις; Ἢ ὅτι τοὺς Λουπέρκους ὑλακτοῦσι καὶ παραλυποῦσιν οἱ κύνες ἐν τῇ πόλει διαθέοντας; Ἢ Πανὶ μὲν ἡ θυσία γίνεται, Πανὶ δὲ κύων προσφιλὲς διὰ τὰ αἰπόλια;

ξθ'.

" Διὰ τί τῷ καλουμένῳ Σεπτομουντίῳ παρεφυ-

B. 9. Φεβράτην καὶ Φεβράριν] Venet. Φεβράτιν καὶ Φεβράριν. Voſſ. Φεβράτιν καὶ Φεβράριν. Mez. Φεβρουάτην καὶ Φεβρουάριν.

canem immolant? An quia Lupercalia urbis ſunt luſtratio, et fiunt menſe Februario, cui ab expiando nomen eſt: ipſorumque dies *Februatus* dicitur, cum februatio purgamentum ſignificet? Jam cane in piaculis fere omnes uſi ſunt Græci, utunturque in hunc uſque diem eo pro piaculari hoſtia nonnulli: Hecatæque inter alia purgamenta etiam catuli offeruntur, expiandoſque catulis tangunt, quam februationem ſua lingua periſcylaciſmum vocant. Aut lycus lupus eſt, Lycæa Lupercalia? canis ergo animal lupo inimicum Lycæis immolatur. Aut quia Lupercos per urbem diſcurrentes allatrant et vexant canes? Aut quia Pani iſta fiunt ſacra, cui canis gratus eſt ob caprarum cuſtodiam?

LXIX.

Cur feſto die, qui Septimon-

τιον ὀχήμασι ζευκτοῖς μὴ χρῆσθαι, καὶ μέχρι νῦν τῶν παλαιῶν μὴ καταφρονοῦντες παραφυλάττουσι· δὲ Σεπτομούντιον ἄγουσιν ἐπὶ τῷ τὸν ἕβδομον λόφον πόλει προσκατανεμηθῆναι, καὶ τὴν Ῥώμην ἑπτάλοφον γενέσθαι;" Πότερον, ὡς ἔνιοι τῶν Ῥωμαϊκῶν σι, διὰ τὸ μήπω συνεζεῦχθαι τοῖς μέρεσι παντελῶς πόλιν; Ἢ τοῦτο μὲν ἄλλως οὐ πρὸς Διόνυσόν ἔργου δὲ μεγάλου τοῦ πρὸς τὸν συνοικισμὸν ἐκτε-ντος, οἰόμενοι τὴν πόλιν ἤδη πεπαῦσθαι προϊοῦσαν πρόσθεν, ἔπαυσαν μὲν αὐτοὺς, ἀνέπαυσαν δὲ τῶν ζυγίων τὰ συμπονήσαντα, καὶ παρέσχον ἀπολαῦσαι ολῇ τῆς κοινῆς ἑορτῆς; Ἢ πᾶσαν μὲν ἐβούλοντο ν ἀεὶ καὶ τιμᾶν ἑορτὴν τοὺς πολίτας παρόντας, τα δὲ τὴν ἐπὶ τῷ συνοικισμῷ τῆς πόλεως ἀγο-, ἵνα τὴν πόλιν ἧς ἐστὶν ἡ ἑορτὴ μὴ ἀπολεί-, οὐκ ἐφεῖτο χρῆσθαι ζεύγεσιν ἐκείνην τὴν ν;

D. 4. παντελῶς τὴν πόλιν] Ita E. Vulgo παντελῶς τῇ πόλει.

licitur, uſu vehiculorum *mentis traherentur, an-* *is abſtinuerunt, idque eti-* *ı obſervant antiquitatis* *ı? Feriæ autem iſtæ in-* *ſunt propter adjectum* *um Romæ collem, quo* *eſt ſepticollis.* An, ut n Romanarum rerum res putant, quia urbis non ſunt omnino inter junctæ? Aut hoc qui-ıihil ad rem facit: ſed ırbe condenda magnum eregiſſent, jamque ulterius incrementum urbis nullum animo conciperent, quietem cum ſibi tum jumentis quorum opera fuiſſent uſi, per iſtas ferias paraverunt? Aut cum vellent omnes feſtivitates civium præſentia ornari, eam vero inprimis quæ ob contractas in unam multas urbis partes inſtituta erat, civibus uſu vehiculorum jumentariorum iſta die interdixerunt, ne urbe, cui dies agebatur feſtus, exirent?

ο'.

"Διὰ τί τοὺς ἀπεγνωσμένους ἐπὶ κλοπαῖς, ἢ δουλικοῖς τισιν ἄλλοις ἁμαρτήμασι, ΦΟΥΡΚΙΦΕΡΑΣ καλοῦσι;" Ἢ καὶ τοῦτο τῆς τῶν παλαιῶν ἐπιμελείας τεκμήριόν ἐστιν; ὁ γὰρ οἰκότριβος ἰδίου καταγνούς τινα μοχθηρίαν, ἐκέλευε διπλοῦν ξύλον, ὃ ταῖς ἁμάξαις ὑφιστᾶσιν, ἀράμενον, διὰ τῆς συνοικίας ἢ τῆς γειτνιάσεως διεξελθεῖν ὑπὸ πάντων ὁρώμενον, ὅπως ἀπιστοῖεν αὐτῷ καὶ φυλάττοιντο πρὸς τὸ λοιπόν· τὸ δὲ ξύλον ἡμεῖς μὲν στήριγμα, Ῥωμαῖοι δὲ ΦΟΥΡΚΑΝ ὀνομάζουσι· διὸ καὶ ΦΟΥΡΚΙΦΕΡ ὁ τοῦτο περιενεγκὼν καλεῖται.

οα'.

"Διὰ τί τῶν κυριττόντων βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τὸν ἐντυγχάνοντα, χόρτον τῷ κέρατι προσδέουσιν;" Ἢ διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι; ὥς που καὶ Σοφοκλῆς πεποίηκε,

Σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβία,
Γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης.

LXX.

Cur furti, aut alius ſervilis delicti damnatos furciferos dicunt? Nonne hoc quoque vetuſtæ accurationis argumentum eſt? Qui enim ſervi ſui nequitioſum factum compeririſſet, coegit eum duplex lignum, quod curribus ſubjici ſolet, (furcam Romani appellant) per viciniam circumgeſtare in conſpectu hominum, ut ab eo ſibi porro cavendum eſſe ſcirent. Itaque a furcæ geſtatione dicebatur furcifer.

LXXI.

Cur ad cornua boum cornipetarum fœnum alligabant, quo obvii monebantur ut ſibi caverent? An quia ob ſatietatem luxuriant petulanteſque ſunt boves, equi, aſini, et homines? ſicut alicubi ait Sophocles:

At tu ferocis pullus ut paſtus nimis,
Buccis et ventre plenis—

Διὸ καὶ Μάρκον Κράσσον οἱ Ῥωμαῖοι χόρτον ἔχειν ἔφασαν· ἐφυλάττοντο γὰρ αὐτὸν οἱ τοὺς ἄλλους ἐν τῇ
281 πολιτείᾳ σπαράττοντες, ὡς ἀμυντικὸν καὶ δυσεπιχείρητον· οὐ μὴν ἀλλ' ὕστερον ἐλέχθη πάλιν ὅτι Κράσσου Καῖσαρ ἀφῃρήκει τὸν χόρτον· ἀντέστη γὰρ αὐτὸς πρῶτος ἐν τῇ πολιτείᾳ καὶ κατεφρόνησε.

οβ'.

" Διὰ τί τῶν ἐπ' οἰωνοῖς ἱερέων, οὓς ΑΥΣΠΙΚΑΣ πρότερον, ΑΥΓΟΥΡΑΣ δὲ νῦν καλοῦσιν, ᾤοντο δεῖν ἀεὶ τοὺς λαμπτῆρας ἀνεῳγμένους εἶναι, καὶ τὸ πῶμα μὴ 'πιτίθεσθαι;" Ἢ καθάπερ οἱ Πυθαγορικοὶ μικρὰ μεγάλων ἐποιοῦντο σύμβολα, κωλύοντες ἐπὶ χοίνικος καθῆσθαι, καὶ πῦρ μαχαίρᾳ σκαλεύειν, οὕτως οἱ παλαιοὶ πολλοῖς αἰνίγ-
B μασιν ἐχρῶντο· καὶ μάλιστα πρὸς τοὺς ἱερεῖς· οἷόν ἐστι καὶ τὸ τοῦ λαμπτῆρος; ἔοικε γὰρ ὁ λαμπτὴρ τῷ περιέχοντι τὴν ψυχὴν σώματι· φῶς γάρ ἐστιν ἡ ἐντὸς ψυχή, καὶ δεῖ τὸ συνετὸν καὶ φρόνιμον, ἀεὶ ἀναπεπταμένον

B. 4. τὸ συνετὸν] Sic Ald. Baſ. Xyl. E. Vulgo τὸν συνετόν.

Ideoque Marcum Craſſum fœnum in cornu habere dicebant Romani: et qui alios in republica ſolebant exagitare, ab illo ſibi cavebant, et præteribant hominem paratum ad ulciſcendum et oppugnatu difficilem: quanquam poſtmodo dictum fuit, Cæſarem Craſſo fœnum ademiſſe, cum is primus in republica eum contempſiſſet, ſeque ei oppoſuiſſet.

LXXII.

Cur augurum, quos ante auſpices nominabant, laternas ſemper eſſe apertas voluerunt, neque operculo unquam tegi? An parvas res magnarum voluerunt eſſe teſſeras, more Pythagoricorum? Ut enim hi chœnici inſidere, ac ignem gladio agitare vetabant: ita priſci multis uſi ſunt obſcuris ſignificationibus, maxime rerum ſacrarum: de quibus etiam lucernæ hoc inſtitutum eſt. Nam lucerna reſpondet corpori animum continenti, qui lumen eſt, ſemperque de-

αὐτῆς εἶναι καὶ δεδορκὸς, καὶ μηδέποτε συγκλείεσθαι μηδ᾽ ἀποπνεόμενον. Πνευμάτων δὲ ὄντων, οὐκ εὐσταθοῦσιν οἱ ὄρνιθες, οὐδὲ βέβαια σημεῖα παρέχουσι, διὰ τὴν πλάνην καὶ τὴν ἀνωμαλίαν. Διδάσκουσιν οὖν τῷ ἔθει μὴ πνευμάτων ὄντων, ἀλλὰ νηνεμίας καὶ καταστάσεως, ἐπὶ ταῦτα προϊέναι τοὺς οἰωνοπόλους, ὅτε δύνανται τοῖς λαμπτῆρσιν ἀνεῳγμένοις χρῆσθαι.

σγʹ.

“Διὰ τί δὲ ἀπείρητο τοῖς ἕλκος ἔχουσιν ἱερεῦσιν ἐπ᾽ C
“οἰωνῶν καθίζεσθαι;” Πότερον καὶ τοῦτο σύμβολόν ἐστι τοῦ μηδὲν δακνομένους, μηδὲ οἷον ἕλκος ἴδιον καὶ πάθος ἔχοντας ἐν τῇ ψυχῇ, τὰ θεῖα χρηματίζειν, ἀλλὰ ἀλύπους καὶ ἀκεραίους καὶ ἀπερισπάστους ὄντας; Ἢ κατὰ λόγον ἐστὶν, εἰ μήτε ἱερείῳ χρήσαιτο ἄν τις ἕλκος ἔχοντι πρὸς θυσίαν, μήτε ὄρνισι πρὸς οἰωνισμὸν, ἔτι μᾶλλον ἐφ᾽ ἑαυτῶν φυλάττεσθαι τὰ τοιαῦτα, καὶ καθαροὺς γενομένους καὶ ἀσινεῖς καὶ ὁλοκλήρους, ἐπὶ τὰ παρὰ τῶν θεῶν σημαινόμενα

bet intellectus eſſe apertus ac perſpicax, nunquam includi aut flatu extingui. Jam cum venti ſpirant, aves non conſtanter manent, neque firma auguria exhibent, quia tum vagantur et inæqualibus aguntur volatibus. Iſta igitur conſuetudine docent captanda auguria, non cum venti flant, ſed cum eſt tranquillitas, et apertis licet uti lucernis.

LXXIII.

Cur interdictum erat auguri, ſi ulcus haberet, aves obſervare? An id quoque argumento eſt, animo ab omnibus moleſtiis ac quaſi ulceribus et morſibus vacuo, ſinceroque et otioſo debere ſacras res tractari? An rationi conſentaneum eſt, cum neque victimam aut avem ulceroſam uſurparet quiſquam rei ſacræ faciundæ gratia, capiendive augurii; multo magis ipſos augures curare, ut puri ſincerique et integri ad divina indicia obſervanda ſe

βαδίζειν; τὸ γὰρ ἕλκος ἔοικε πήρωσίς τις εἶναι καὶ μι-
D ασμὸς τοῦ σώματος.

οδ'.

« Διὰ τί μικρᾶς Τύχης ἱερὸν ἱδρύσατο Σερούϊος « Τύλλιος ὁ βασιλεὺς, ἣν BREBEM καλοῦσι;" Πότερον ὅτι μικρὸς ὢν ἐν ἀρχῇ καὶ ταπεινὰ πράττων, καὶ γεγονὼς ἐκ μητρὸς αἰχμαλώτου, διὰ τὴν τύχην ἐβασίλευσε τῆς Ῥώμης; Ἢ αὕτη μὲν ἡ μεταβολὴ μέγεθος ἐμφαίνει τύχης μᾶλλον ἢ μικρότητα; πάντων δὲ μάλιστα Σερούϊος ἔοικε τῆς τύχης ἐκθειάσας δύναμιν ἐπιφημίσαι πράξεσιν ἁπάσαις. Οὐ γὰρ μόνον τύχης εὐέλπιδος καὶ ἀποτροπαίου καὶ μειλιχίας καὶ πρωτογενείας
E καὶ ἄῤῥενος ἱερὰ κατεσκεύασεν, ἀλλ' ἔστιν ἰδίας τύχης ἱερὸν, ἕτερον δὲ ἐπιστρεφομένης, ἄλλο δὲ εὐέλπιδος, ἄλλο παρθένου· καὶ τί ἄν τις ἐπεξίοι τὰς ἄλλας ἐπωνυμίας, ὅπου τύχης ἰξευτηρίας ἱερόν ἐστιν, ἣν BISKATAN ὀνομάζουσιν, ὡς πόῤῥωθεν ἡμῶν ἁλισκομένων ὑπ' αὐτῆς καὶ

C. 10. πήρωσις] Ita T. Mez. varia lectio Voſſ. Vulgo πάρωσις.
E. 4. BISKATAN] Mez. βισκατρίκεμ.

conferant? Ulcus enim videtur quædam eſſe mutilatio et pollutio corporis.

LXXIV.

Cur parvæ Fortunæ quam Brevem vocant, fanum Servius Tullius dedicavit? An quod initio humilis et obſcurus, matre natus captiva, Fortunæ beneficio ad regnum Romæ evectus fuit? Aut magnitudinem potius mutatio iſta quam exiguitatem Fortunæ indicat? Omnium vero maxime videtur Servius Fortunæ vim divinam extuliſſe, omnibuſque eam inſcripſiſſe actionibus. Non enim Fortunæ duntaxat bonæ ſpei, averruncæ, blandæ, primigeniæ, et virilis templa condidit: ſed et propriæ Fortunæ ædes eſt, et convertentis, et bene ſperantis, et virginis: et quid reliqua perſequar cognomina: cum viſcatæ etiam Fortunæ templum

προσισχομένων τοῖς πράγμασιν. Ὅρα δὴ μὴ καταμαθὼν τοῦ παρὰ μικρὸν ἀεὶ τῆς τύχης μέγα δυνάμενον, καὶ ὅτι τὸ γενέσθαι τι μικρὸν ἢ μὴ γενέσθαι τι πολλάκις ὑπῆρξεν ἐνίοις τυχεῖν ἢ διαμαρτεῖν τῶν μεγίστων, μικρᾶς τύχης ἱερὸν ἱδρύσατο, προσέχειν διδάσκων τοῖς πράγμασι, καὶ μὴ καταφρονεῖν διὰ μικρότητα τῶν ἐντυγχανόντων.

οε'.

" Διὰ τί λύχνον οὐκ ἐσβέννυσαν, ἀλλὰ αὐτὸν ὑφ' " ἑαυτοῦ περιεώρων μαραινόμενον;" Πότερον ὡς συγγενὲς καὶ ἀδελφικὸν σεβόμενοι τοῦ ἀσβέστου καὶ ἀθανάτου πυρός; Ἢ καὶ τοῦτο συμβόλαιόν ἐστι τοῦ μὴ δεῖν τὸ ἔμψυχον, ἂν μὴ βλάπτῃ, διαφθείρειν μηδὲ ἀναιρεῖν, ὡς ζώῳ τοῦ πυρὸς ἐοικότος; καὶ γὰρ τροφῆς δεῖται, καὶ αὐτοκίνητόν ἐστιν, καὶ σβεννύμενον φωνὴν ἀφίησιν, ὥσπερ φονευόμενον. Ἢ διδάσκει τὸ ἔθος ἡμᾶς, ὅτι δεῖ μήτε πῦρ μήτε ὕδωρ, μήτε ἄλλό τι τῶν ἀναγκαίων αὐτοὺς ἄδην

E. 7. τοῦ παρὰ μικρὸν] Sic Mez. Vulgo τὸ παρὰ μικρόν.

ſit quaſi eminus nos captantis et rebus adhibentis? Quin hoc vide, an non deprehenſo Fortunam minimis momentis plurimum poſſe, multiſque uſu veniſſe ut exiguis plane rebus aut evenientibus aut non contingentibus maxima conſequerentur vel perderent, parvæ Fortunæ templum dedicarit: docens animum rebus eſſe advertendum, nihilque eorum quæ offeruntur, ob parvitatem eſſe negligendum.

LXXV.

Cur lucernam non exſtinguebant, ſed ultro conſumi atque extingui ſinebant? An venerabantur eam ut cognatam et germanam ignis perennis et inexſtinguibilis? An eo ſignificabant, animata niſi noceant, interficienda non eſſe? animalis autem ſimilis eſt lucerna, quod et alimento habet opus, et a ſeipſa motum habet, et cum exſtinguitur, vocem edit quaſi necata. Aut hic mos docet, neque ignem, neque aquam, neque ullam rem neceſſariam, cujus copia nobis ſuppeditet, perdere nos debere,

ἔχοντας διαφθείρειν, ἀλλὰ ἐᾶν χρῆσθαι τοὺς δεομένους, καὶ ἀπολείπειν ἑτέροις ὅταν αὐτοὶ μηκέτι χρείαν ἔχωμεν;

ος΄.

282 "Διὰ τί τὰς ἐν τοῖς ὑποδήμασι σεληνίδας οἱ "διαφέρειν δοκοῦντες εὐγενείᾳ φοροῦσιν;" Πότερον, ὡς Κάστωρ φησὶ, σύμβολόν ἐστι τοῦτο τῆς λεγομένης οἰκήσεως ἐπὶ τῆς σελήνης, καὶ ὅτι μετὰ τὴν τελευτὴν αὖθις αἱ ψυχαὶ τὴν σελήνην ὑπὸ πόδας ἕξουσιν; Ἢ τοῖς παλαιοτάτοις τοῦτο ὑπῆρχεν ἐξαίρετον; οὗτοι δὲ ἦσαν Ἀρκάδες τῶν ἀπὸ Εὐάνδρου Προσεληνίων λεγομένων. Ἢ, καθάπερ ἄλλα πολλὰ, καὶ τοῦτο τοὺς ἐπαιρομένους καὶ μέγα φρονοῦντας ὑπομιμνήσκει τῆς ἐπ' ἀμφότερα τῶν ἀνθρωπίνων μεταβολῆς; παράδειγμα ποιουμένους τὴν σελήνην,

B Ὡς ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
Χ' ὥταν περ αὐτῆς εὐγενεστάτη φανῇ,
Πάλιν διαῤῥεῖ κἀπὶ μηδὲν ἔρχεται.

B. 3. αὐτῆς εὐγενεστάτη] Ita Ald. Baſ. Xyl. Mez. E. Venet. Voſſ. At Leonic. Pol. Schott. αὖθις εὐφανεστάτη: utrumque pejus. Stephanus tamen hinc aſſumpſit αὖθις.

ſed aliis relinquenda eſſe quibus uſus eſt iis, ubi nos non amplius indigemus?

LXXVI.

Cur qui nobilitate generis aliis præſtare videbantur, lunulas in calceis geſtabant? An, ut Caſtor ait, ſignum hoc eſt habitationis ſupra Lunam quæ fertur, et quod poſt mortem rurſus animæ Lunam ſub pedibus habebunt? An hoc priſci habuerunt eximium, qui erant Arcades cum Evandro, et ante Lunam nati dicebantur? Aut, ut multa alia, hoc quoque inſtitutum erat, ut rebus ſecundis elati ac ſuperbientes, mutationis Fortunæ in alteram partem admonerentur? Exemplo videlicet Lunæ, quæ

Primum recens exiſtit e caligine:
Fulgore dehinc ſubinde faciem ſplendido
Augeſcit illuſtrans: et cum pulcherrima
Renidet orbe pleno, rurſus exuit
Lumen ſuum paulatim, et ad nihilum redit.

Ἢ πειθαρχίας ἦν μάθημα βουλευομένων μὴ δυσχεραίνειν, ἀλλ' ὥσπερ ἡ σελήνη προσέχειν ἐθέλει τῷ κρείττονι, καὶ δευτερεύειν,

Αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο,

κατὰ τὸν Παρμενίδην· οὕτω τὴν δευτέραν τάξιν ἀγαπᾷν χρωμένους τῷ ἡγεμόνι, καὶ τῆς ἀπ' ἐκείνου δυνάμεως καὶ τιμῆς ἀπολαύοντας;

οζ'.

" Διὰ τί τὸν μὲν ἐνιαυτὸν, τοῦ Διὸς νομίζουσι, τοὺς " δὲ μῆνας, τῆς Ἥρας;" Ἢ ὅτι τῶν μὲν ἀοράτων θεῶν καὶ νοητῶν βασιλεύουσι Ζεὺς καὶ Ἥρα· τῶν δὲ C
ὁρατῶν, ἥλιος καὶ σελήνη; ποιεῖ δὲ ὁ μὲν ἥλιος τὸν ἐνιαυτὸν, ἡ δὲ σελήνη τοὺς μῆνας. Δεῖ δὲ μὴ νομίζειν ἁπλῶς εἰκόνας ἐκείνων τούτους, ἀλλ' αὐτὸν ἐν ὕλῃ Δία, τὸν ἥλιον, καὶ αὐτὴν τὴν Ἥραν ἐν ὕλῃ, τὴν σελήνην· διὸ καὶ Ἴουνον ἐπονομάζουσι τὴν Ἥραν, τὸ νέον ἢ τὸ νεώτερον ἐμφαίνοντος τοῦ ὀνόματος ἀπὸ τῆς σελήνης· καὶ

C. 6. Ἴουνον] Ἰουνόνημ var. lect. Voſſ. Ἰουνῶνα Mez.

Aut obedientiæ ſic adſueſcere diſcebant, Lunæ exemplo præſtantiori parere non recuſantes? et quemadmodum illa ſecundas obit partes,

Phœbei ſemper radiis intenta nitoris,

ut canit Parmenides: ita ipſi quoque contenti eſſe ſecundo loco magiſtratibuſque obtemperare, ab iiſque potentiæ et honorum fructu aliquo imperiri?

LXXVII.

Cur annum Jovi, menſes Junoni conſecrant? An quod in deos inviſibiles et ſoli intelligentiæ notos regnum obtinent Jupiter et Juno: in eos qui conſpectui patent, Sol et Luna? Efficit autem Sol annum, Luna menſes. Neque ſimpliciter cenſendum eſt hos iſtorum eſſe imagines, ſed ipſum in materia Jovem eſſe Solem, ipſamque in materia Junonem eſſe Lunam: ideoque Junoni nomen eſt a juveneſcendo: et Junonem vocant Lucinam,

Ἥραν καλοῦσιν, οἷον φαεινὴν ἢ φωτίζουσαν· καὶ ἐν ταῖς λοχείαις καὶ ὠδῖσι βοηθεῖν, ὥσπερ καὶ ...ήνην, διὰ κυάνεον πόλον ἄστρων, διά τε ὠκυ...λάνας· εὐτοκεῖν γὰρ ἐν ταῖς πανσελήνοις μά...οῦσι.

οη΄.

...ὶ τί τῶν οἰωνῶν ὁ καλούμενος ἀριστερὸς, αἴσιος;" Οὐκ ἔστι τοῦτο ἀληθὲς, ἀλλὰ παρακρούεται πολ...άλεκτος; τὸ γὰρ ἀριστερὸν, ΣΙΝΙΣΤΡΟΝ ὀνο... τὸ δὲ ἀφεῖναι, ΣΙΝΕΡΕ, καὶ ΣΙΝΕ λέγουσιν ...ἶναι παρακαλῶσι· τὸν οὖν ἐφιέντα τὴν πρᾶξιν ...νιστέριον ὄντα, ΣΙΝΙΣΤΡΟΝ οὐκ ὀρθῶς ὑπο...σιν οἱ πολλοὶ καὶ ὀνομάζουσιν. Ἢ, καθάπερ ...φησιν, Ἀσκανίῳ τῷ Αἰνείου παρατατομένῳ ...εζέντιον, ἀστραπῆς ἐν ἀριστερᾷ νικηφόρου γενο...ενησάμενοι, καὶ πρὸς τὸ λοιπὸν οὕτω παραφυ... Ἢ, ὡς ἄλλοι τινὲς, Αἰνείᾳ τούτου συμπε... καὶ γὰρ Θηβαῖοι τῷ ἀριστερῷ κέρατι τρεψάμενοι

...idam diceres: pu...m in partubus aux...e mulieribus, ut et ...unde illud:

...m aſtrorum polum,
...ntemque Lunam.

...nim mulieres ſub ...m videntur prolem

...XXVIII.

...s *ſiniſtræ quæ dicun-* ...*ſpicio habentur pro* ...*s?* An verum hoc ...multoſque decepit? An ſiniſtrum (ſi quis probabilibus argumentis velit uti) a *ſinendo* dictum eſt? ideoque avem quæ actionem ſuſcipi permittit, *ſiniſtram* pro ſiniſteria vulgus male dicit. An res ita habet? cum Aſcanio Æneæ filio ſigna cum Mezentio collaturo fulgur a læva victoriam portendiſſet, rem in omen tractam in poſterum quoque fuiſſe obſervatam. Alii tamen Æneæ hoc uſu veniſſe dicunt. Et quidem Thebani, quod lævo cornu in pug-

τοὺς πολεμίους καὶ κρατήσαντες ἐν Λεύκτροις, διετέλεσαν ἐν πάσαις ταῖς μάχαις τῷ ἀριστερῷ τὴν ἡγεμονίαν ἀποδιδόντες. Ἢ μᾶλλον, ὡς Ἰόβας φησὶ, τοῖς πρὸς τὰς ἀνατολὰς ἀποβλέπουσιν, ἐν ἀριστερᾷ γίνεται τὸ βόρειον; ὃ δὴ τοῦ κόσμου δεξιὸν ἔνιοι τίθενται καὶ καθυπέρτερον. Ὅρα δὲ μὴ φύσει τοῖς εὐωνύμοις ἀσθενεστέροις οὖσιν αἱ παριστάμενοι τῶν οἰωνῶν οἷον ἀναῤῥωννύουσι καὶ ὑπερείδουσι τὸ ἐλλειπὲς τῆς δυνάμεως ἐπανισοῦντες. Ἢ τὰ ἐπίγεια καὶ θνητὰ τοῖς οὐρανίοις καὶ θείοις ἀντικεῖσθαι νομίζοντες, ᾤοντο τὰ πρὸς ἡμᾶς ἀριστερὰ τοὺς θεοὺς ἀπὸ τῶν δεξιῶν προπέμπειν.

οθ΄.

« Διὰ τί τοῦ θριαμβεύσαντος, εἶτα ἀποθανόντος καὶ « καέντος, ἐξῆν ὀστέον λαβόντας εἰς τὴν πόλιν εἰσφέρειν « καὶ κατατίθεσθαι, ὡς Πύῤῥων ὁ Λιπαραῖος ἱστόρηκεν; » Ἢ τιμῆς ἕνεκα τοῦ τεθνηκότος; καὶ γὰρ ἄλλοις ἀριστεῦσι καὶ στρατηγοῖς ἔδωκαν οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἀπ᾽ αὐτῶν ἐνθάπτεσθαι τῇ ἀγορᾷ, καθάπερ Οὐαλερίῳ

na Leuctrica fudiſſent hoſtem atque viciſſent, deinceps omnibus in prœliis principem locum ſiniſtræ aciei attribuerunt. Aut potius verſus ortum Solis intuentibus ad lævam eſt ſeptentrionalis mundi plaga, quam nonnulli dextram et ſuperiorem mundi partem appellant? hæc eſt Jubæ opinio. Quid ſi ſiniſtris natura imbecillioribus augures quaſi vim quandam addere, et defectum exſarcire iſta ratione voluerunt? aut terreſtria cœleſtibus oppoſita cenſentes, quæ nobis læva videntur, arbitrati ſunt deos a dextra mittere?

LXXIX.

Cur ejus qui triumphum egiſſet, ac deinde mortuus crematuſque eſſet, licebat os ſumptum in urbem inferre ac deponere? hoc enim Pyrrho Liparæus tradidit. An hoc fit in mortui honorem? Nam iis qui res præclare geſſiſſent, atque imperatoribus hoc dederunt Romani, ut in foro ſepeliren-

283 καὶ Φαβρικίῳ· καί φασι τούτων ἀπογόνοις ἀποθανοῦσι καὶ κομισθεῖσιν εἰς ἀγορὰν, ὑφίεσθαι δᾷδα καιομένην, εἶτα εὐθὺς αἴρεσθαι, χρωμένων ἀνεπιφθόνως τῇ τιμῇ, καὶ τὸ ἐξεῖναι μόνον ἐκβεβαιουμένων.

π΄.

“ Διὰ τί τοὺς θριαμβεύσαντας ἑστιῶντες ἐν δημοσίῳ, παρῃτοῦντο τοὺς ὑπάτους, καὶ πέμποντες παρεκάλουν μηδὲ ἐλθεῖν ἐπὶ τὸ δεῖπνον;” Ἢ καὶ τόπον ἔδει τῷ θριαμβεύσαντι καὶ σίαστον ἐντιμότατον ἀποδίδοσθαι, καὶ προπέμπειν μετὰ τὸ δεῖπνον; ταῦτα δὲ οὐκ ἔξεστιν ἑτέρῳ γίνεσθαι τῶν ὑπάτων παρόντων, ἀλλὰ ἐκείνοις.

πα΄.

“ Διὰ τί περιπόρφυρον ὁ δήμαρχος οὐ φορεῖ, τῶν
B “ ἄλλων ἀρχόντων φορούντων;” Ἢ τοπαράπαν οὐδὲ ἔστιν ἄρχων; οὐδὲ γὰρ ῥαβδούχους ἔχουσι, οὐδὲ ἐπὶ δίφρου καθήμενοι χρηματίζουσιν, οὐδὲ ἔτους ἀρχῇ, κα-

A. 7. μηδὲ ἐλθεῖν] Forte rectius E. μὴ ἐλθεῖν.
A. 8. σίαστον] κύαθον var. lect. Voſſ. Amiot. Mez.

tur: ut Valerio et Fabricio: quorum tamen poſteros aiunt ita invidiam honoris iſtius declinare ſolitos, ut funeri in forum allato fax ardens ſubjiceretur, ſtatimque auferretur: facultate duntaxat ſepulturæ in foro ſic confirmata.

LXXX.

Cur cum publico epulo exciperent eum qui triumphum duxiſſet, a conſulibus miſſis internunciis petebant, ne ad cœnam venirent? An quod locum aſſignari honoratiſſimum triumphatori oportebat, tractarique eum magnificentiſſime, et domum deduci peracta cœna: quæ omnia conſulibus, ſi intereſſent, nulli alii licebat deferri?

LXXXI.

Cur purpura prætextam veſtem tribunus plebis non geſtat, aliis magiſtratibus gerentibus? An quia omnino magiſtratus non eſt? nam neque lictores habet tribunus plebis, neque pro tribunali ſedens reſponſa dat, neque initio anni,

“ προσηρτημένων τῶν πελέκεων φέρονται;” Πότερον ὅτι σύμβολόν ἐστι τοῦ μὴ δεῖν πρόχειρον εἶναι καὶ λελυμένην τὴν ὀργὴν τοῦ ἄρχοντος; Ἢ, διατριβὴν καὶ μέλλησιν ἐμποιοῦν τῇ ὀργῇ τὸ λύειν ἀτρέμα τὰς ῥάβδους, πολλάκις ἐποίησε μεταγνῶναι περὶ τῆς κολάσεως; Ἐπεὶ δὲ τῆς κακίας τὸ μὲν ἰάσιμόν ἐστι, τὸ δὲ ἀνήκεστον, αἱ μὲν ῥάβδοι νουθετοῦσι τὸ μεταθέσθαι δυνάμενον, αἱ δὲ πελέκεις ἀποκόπτουσι τὸ ἀνουθέτητον.

πγʹ.

“ Διὰ τί τοὺς καλουμένους Βλετονησίους βαρβάρους
“ ὄντας, ἄνθρωπον τεθυκέναι θεοῖς πυθόμενοι, μετε-
“ πέμψαντο τοὺς ἄρχοντας αὐτῶν ὡς κολάσοντες· ἐπεὶ
“ δὲ νόμῳ τινὶ τοῦτο ἐφαίνοντο πεποιηκότες, ἐκείνους μὲν
“ ἀπέλυσαν, ἐκώλυσαν δὲ πρὸς τὸ λοιπόν· αὐτοὶ δὲ
“ οὐ πολλοῖς ἔτεσιν ἔμπροσθεν, δύο μὲν ἄνδρας, δύο δὲ
“ γυναῖκας ἐν τῇ βοῶν ἀγορᾷ λεγομένῃ, τοὺς μὲν, Ἕλ-
“ ληνας, τοὺς δὲ, Γαλάτας, ζῶντας κατώρυξαν; φαίνεται
“ γὰρ ἄτοπον, ταῦτα μὲν ποιεῖν αὐτοὺς, ἐπιτιμᾶν δὲ

gati feruntur, appenſis ſecuribus? An id ſigno eſt iram magiſtratus non debere eſſe in proclivi et ſolutam? an ſolutio faſcium, quæ paulatim fit, moram aliquam iræ injicit et cunctationem, et nonnunquam fecit ut ſententia de ſupplicio exigendo mutaretur? Jam cum vitiorum alia ſint ſanabilia, alia inſanabilia: virgis corrigebantur qui emendari poterant, ſecuribus amputabantur immedicabiles.

LXXXIII.

Cur Romani cum inaudiviſſent a Bletoneſiis, qui eſt populus barbarus, immolatum diis hominem eſſe, eorum magiſtratus acciverunt, ut pœnas de iis ſumerent: cum autem appareret legis cujuſdam juſſu id factum, miſſos eos fecerunt, ſed iſto ſacrificio in poſterum interdixerunt: ipſi autem non multis ante annis, duos viros totidemque mulieres in foro boario, alteros Græcos, alteras Gallas, vivos defoderunt? Videtur e-

« βαρβάροις ὡς οὐχ ὅσια ποιοῦσι.» Πότερον τὸ μὲν, θεοῖς θύειν ἀνθρώπους, ἀνόσιον ἡγοῦντο· τὸ δὲ, δαίμοσιν,
284 ἀναγκαῖον; Ἢ τοὺς μὲν ἔθει καὶ νόμῳ τοῦτο πράττοντας, ἁμαρτάνειν ἐνόμιζον, αὐτοὶ δὲ προσταχθέντες ἐκ τῶν Σιβυλλείων ἔπραξαν; Λέγεται γὰρ Ἑλβίαν τινὰ παρθένον ὀχουμένην ἐφ᾽ ἵππου βληθῆναι κεραυνῷ, καὶ γυμνὸν μὲν εὑρεθῆναι κείμενον τὸν ἵππον, γυμνὴν δὲ αὐτὴν ὡς ἐπίτηδες ἀνεσυρμένου τοῦ χιτῶνος ἀπὸ τῶν ἀπορρήτων, ὑποδημάτων δὲ καὶ δακτυλίων καὶ κεκρυφάλου διερριμμένων χωρὶς ἄλλων ἀλλαχόθι, τοῦ δὲ στόματος ἔξω προβεβληκότος τὴν γλῶτταν· ἀποφηναμένων δὲ τῶν μάντεων, δεινὴν μὲν αἰσχύνην ταῖς ἱεραῖς παρθένοις εἶναι, καὶ γενή-
B σεσθαι περιβόητον, ἅψεσθαι δέ τινα καὶ ἱππέων ὕβριν, ἐμήνυσε βαρβάρου τινὸς ἱππικοῦ θεράπων τρεῖς παρθένους τῶν ἑστιάδων, Αἰμυλίαν καὶ Λικινίαν καὶ Μαρτίαν ὑπὸ τὸ αὐτὸ διεφθαρμένας, καὶ συνούσας πολὺν χρόνον αν-

A. 1. τοῦτο πράττοντας] Ita Voſſ. Vulgo τούτῳ πράττοντας. P. τοῦτο προστάττοντας.

nim abſurdum iſta facere, et barbaris tanquam nefaria exprobrare eadem. An diis immolare homines nefas putabant: geniis autem, neceſſitatem cogere? Aut qui conſuetudine ac lege iſta ſacrificia recepiſſent, eos peccare exiſtimantes, ipſi Sibyllinis libris mandantibus iſtud fecerunt? Narrant enim Elbiam quandam virginem equo vehentem fulmine ictam, repertumque fuiſſe equum nudum jacentem, nudam quoque virginem ipſam, tanquam dedita opera veſtibus a genitali membro reductis, calceis, annulis, capitiſque redimiculo hinc inde diſperſis, lingua extra os exſerta. Tum vates reſpondiſſe, ingens opprobrium ſacris virginibus oblatum, foreque ut publice id innoteſceret, ſed et equitum conjunctum fore quoddam dedecus. Ibi barbari cujuſdam equitis ſervum indicium detuliſſe de tribus Veſtalibus virginibus Æmilia, Licinia, et Martia, ſub idem tempus vitiatis, et quæ jam diu cum viris inceſtam con-

δεδιότων, ὧν εἷς ἦν Βυτέτιος Βάρβαρος τοῦ μηνυτοῦ δεσπότης· ἐκεῖναι μὲν οὖν ἐκολάσθησαν ἐξελεγχθεῖσαι· τῆς δὲ πράξεως δεινῆς φανείσης, ἔδοξεν ἀναιρεῖσθαι τὰ Σιβύλλεια τοὺς ἱερεῖς· εὑρεθῆναι δέ φασι χρησμοὺς ταὐτά τε προδηλοῦντας ὡς ἐπὶ κακῷ γενησόμενα, καὶ προστάττοντας ἀλλοκότοις τισὶ δαίμοσι καὶ ξένοις, ἀποτροπῆς C ἕνεκα τοῦ ἐπιόντος, προέσθαι δύο μὲν Ἕλληνας, δύο δὲ Γαλάτας ζῶντας αὐτόθι κατορυγέντας.

πδʹ.

“ Διὰ τί τὴν τῆς ἡμέρας ἀρχὴν ἐκ μέσης νυκτὸς λαμβάνουσι;” Πότερον ὅτι ἡ πολιτεία στρατιωτικὴν ἐν ἀρχῇ σύνταξιν εἶχε· τὰ δὲ πολλὰ νύκτωρ ἐν ταῖς στρατείαις προλαμβάνεται τῶν χρησίμων; Ἢ πράξεως μὲν ἐποιοῦντο τὴν ἀνατολὴν, παρασκευῆς δὲ τὴν νύκτα; δεῖ γὰρ παρεσκευασμένους πράττειν, ἀλλὰ μὴ παρασκευάζεσθαι πράττοντας, ὡς Μύσων πρὸς Χίλωνα τὸν σοφὸν εἰπεῖν λέγεται ἐν χειμῶνι θρίνακα

B. 7. ἀναιρεῖσθαι] Legendum puto ἀνέρεσθαι: quo tendit T. ἀνιρεῖσθαι.

ſuetudinem habuiſſent, de quibus viris eſſet etiam Butetius, indicis dominus. Et Veſtales quidem criminis convictas, pœnas dediſſe: cæterum, ut atroci in re, placuiſſe, ut a ſacerdotibus Sibyllini libri conſulerentur. Ibi inventa fuiſſe oracula, quæ eventura iſthæc et malum publicum allatura prædicerent: cujus avertendi cauſa peregrinis quibuſdam et alienis geniis duos Græcos, totidem Gallos homines vivos eo in loco defoſſos Romani jubebantur dedere.

LXXXIV.

Cur a media nocte diei ſumunt initium? An quia reipublicæ conſtitutio principio fuit militaris? nam in re bellica pleraque noctu ante capiuntur utilia conſilia. Aut actionem ordiri ſub ortum ſolis volentes, apparatui noctem deſtinaverunt? Prius enim paratos ad agendum par eſt accedere, non inter agendum ſe parare: quod Myſo Chiloni ſapienti reſpondit, hyeme ven-

νόμενος. Ἢ καθάπερ ἡ μεσημβρία πέρας ἐστὶ πολλοῖς τοῦ τὰ δημόσια καὶ σπουδαῖα πράττειν, ἀρχὴν ἔδοξε ποιεῖσθαι τὸ μεσονύκτιον; τεκμήριον ιτο μέγα, τὸ μὴ ποιεῖσθαι Ῥωμαῖον ἄρχοντα συν- μηδὲ ὁμολογίας μετὰ μέσον ἡμέρας. Ἢ δύσις μὲν κατολὴ λαμβάνειν ἀρχὴν ἡμέρας καὶ τελευτὴν οὐ τόν ἐστιν· ὡς μὲν γὰρ οἱ πολλοὶ τῇ αἰσθήσει διορί- ἡμέρας μὲν ἀρχὴν τὴν πρώτην ἀνάσχεσιν τοῦ ἡλίου, δὲ, τελευταίαν ἀπόκρυψιν λαμβάνοντες, οὐχ ἰσημερίαν, ἀλλ' ἣν μάλιστα τῇ ἡμέρᾳ νύκτα παρ- αι δοκοῦμεν, αὕτη τῆς ἡμέρας ἐλάττων φανεῖται παρὰ ίου μεγέθους· ὃ δὲ αὖ πάλιν οἱ μαθηματικοὶ, ταύ- ώμενοι τὴν ἀτοπίαν, τίθενται τὸ τοῦ ἡλίου κέντρον ἅψηται τοῦ ὁρίζοντος, ἡμέρας διορισμὸν εἶναι καὶ , ἀναίρεσίς ἐστι τῆς ἐναργείας· συμβήσεται γὰρ, λλοῦ φωτὸς ὑπὲρ γῆν ὄντος, καὶ τοῦ ἡλίου κατα-

ιτο μέγα] Forte τούτου μέγα.
δυνατὸν] ὃ adjecimus ex Voſſ. ita jam Petavius correxerat: vid. Bryan. ad Plut. Vit. vol. i. p. 85, 1. Mez. ἀδύνατον.

m fabricans. Aut quia es plerisque finis eſt pub- t ſerias res agendi, me- noctem placuit pro exor- ni? cujus rei magnum entum eſt, quod nullus ius magiſtratus poſt me- fœdus aut pactum icit. uia ortu occaſuque Solis pium et finis diei definiri ſſunt? Quo enim modo ue ſenſus arbitrio diei pium dijudicant primum rtum, noctis autem ple- nam ejuſdem occultationem; nullum habebimus æquinoctium, ſed ob magnitudinem Solis nox etiam illa quam maxime æqualem diei credimus, die erit brevior. Quod autem mathematici abſurdo huic medentes diei ac noctis diſcrimen in appulſu centri Solis ad horizontem ſeu finitorem circulum conſtituunt, id evidentiam evertit; fit enim iſta ratione, ut diem eſſe negare, et noctem etiamnum du-

λάμποντος ἡμᾶς, μηδέπω ἡμέραν ὁμολογεῖν, ἀλλ' ἔτι νύκτα εἶναι. Ἐπεὶ τοίνυν ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσι τοῦ ἡλίου, δυσληπτός ἐστιν ἡ ἀρχὴ διὰ τὰς εἰρημένας ἀλογίας, ἀπολείπεται τὸ μεσουράνιον ἢ τὸ ἀντιμεσουράνιον αὐτοῦ λαμβάνειν ἀρχήν· βέλτιον δὲ τὸ δεύτερον· φέρεται γὰρ ἐκ μεσημβρίας ἐπὶ τὰς δύσεις ἀπὸ ἡμῶν, ἐκ δὲ μεσονυκτίου πρὸς ἡμᾶς ἐπὶ τὰς ἀνατολάς.

πε΄.

« Διὰ τί τὰς γυναῖκας οὔτε ἀλεῖν εἴων, οὔτε ὀψοποιεῖν τὸ παλαιόν; » Ἢ, τὰς συνθήκας διαμνημονεύοντες ἃς ἐποιήσαντο πρὸς τοὺς Σαβίνους; ἐπεὶ γὰρ ἥρπασαν τὰς θυγατέρας αὐτῶν, εἶτα πολεμήσαντες διηλλάγησαν, ἐν ταῖς ἄλλαις ὁμολογίαις καὶ τοῦτο ἐγράφη, μήτε ἀλεῖν ἀνδρὶ Ῥωμαίῳ γυναῖκα, μήτε μαγειρεύειν.

πϛ΄.

« Διὰ τί τοῦ Μαΐου μηνὸς οὐκ ἄγονται γυναῖκας; » Πότερον ὅτι μέσος ἐστὶ τοῦ Ἀπριλλίου καὶ τοῦ Ἰουνίου

rare cogamur fateri, cum adhuc infra terram multa luce manente Sol noſtram plagam illuſtrat. Quando igitur ortu et occaſu Solis principium diei et noctis ob dictas difficultates non poteſt percipi, reſtat ut pro principio diei ſumamus illum articulum temporis, quo Sol vel in medio cœli eſt, vel in oppoſito ejus puncto: hoc autem poſterius melius congruit. Sol enim a meridie verſus occaſum a nobis fertur: a mediæ noctis puncto verſus ortum ad nos.

LXXXV.

Cur antiquitus mulieres neque molere ſinebant, neque coquere? An memoria pactorum cum Sabinis initorum? Poſt raptum enim Sabinarum, et bellum pace mutatum, id quoque in pactis ſcriptum fuit, Mulierem viro Romano neque molere debere neque coquere.

LXXXVI.

Cur menſe Maio mulieres non ducuntur? An quia is medio loco inter Aprilem eſt et Ju-

5 μηνός, ὧν τὸν μὲν Ἀφροδίτης, τὸν δὲ Ἥρας, γαμηλίων θεῶν, ἱερὸν νομίζοντες, προλαμβάνουσι μικρὸν ἢ περιμένουσιν; Ἤ, ὅτι τῷ μηνὶ τούτῳ τὸν μέγιστον ποιοῦνται τῶν καθαρμῶν, νῦν μὲν εἴδωλα ῥιπτοῦντες ἀπὸ τῆς γεφύρας εἰς τὸν ποταμὸν, πάλαι δὲ ἀνθρώπους; διὸ καὶ τὴν Φλαμινίκαν ἱερὰν τῆς Ἥρας εἶναι δοκοῦσαν, νενόμισται σκυθρωπάζειν, μήτε λουομένην τηνικαῦτα, μήτε κοσμουμένην. Ἤ, ὅτι πολλοὶ Λατίνων ἐν τῷ μηνὶ τούτῳ τοῖς κατοιχομένοις ἐναγίζουσι; καὶ διὰ τοῦτο ἴσως Ἑρ-
B μῆν ἐν αὐτῷ σέβονται, καὶ Μαίας ἐπώνυμός ἐστιν. Ἤ, καθάπερ ἔνιοι λέγουσιν, ὁ μὲν Μάϊος ἀπὸ τῆς πρεσβυτέρας, ὁ δὲ Ἰούνιος, ἀπὸ τῆς νεωτέρας ἡλικίας ὠνόμασται; γάμῳ δὲ ἁρμοδιώτερον τὸ νέον, ὡς καὶ Εὐριπίδης φησίν,

Ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
Ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.

οὐ γαμοῦσιν οὖν ἐν τῷ Μαΐῳ, περιμένοντες τὸν Ἰούνιον, ὃς εὐθύς ἐστι μετὰ τὸν Μάϊον.

nium, quorum ille Veneri, hic Junoni ſacer eſt, numinibus matrimoniorum tutelaribus, vel antevertunt Maium, vel Junium præſtolantur? Aut quia menſe iſto maximam expiationem peragunt, ſimulachra nunc de ponte in fluvium, antiquitus homines jacientes? ideoque etiam Flaminicam, quæ Junonis habetur antiſtita, leges tunc jubent eſſe tetricam, lavacroque et ornatu abſtinere. Aut quia multi Latinorum iſto menſe parentant mortuis? atque ideo fortaſſis Mercurius eo menſe colitur, a Maia nomen ducente. Aut verius eſt quod alii dicunt? Maium a ſeniorum, qui ſunt majores, Junium a minorum ætate nomen habere, qui ſunt juniores: magis autem convenit nuptiis juventus, ut et Euripides monet,

Etenim ſenectus Cypridem miſſam facit
Anniſque onuſtos Venus averſatur viros

itaque Maio non contrahunt matrimonium, ſed in Junium continuo ſequentem differunt.

ζειν; ὡς δέ φασιν ἔνιοι, καὶ μετὰ τῶν ἀνθρώπων ὄντος ἐπὶ βωμὸν ἱδρύσατο τὸν Εὔανδρον αὐτῷ, καὶ θυσίαν προσαγαγεῖν. Κυνὶ δὲ πάντων μάλιστα τῶν ζώων ἐπολέμησε· καὶ γὰρ οὗτος αὐτῷ ἀεὶ πολλὰ πράγματα παρέσχε, καὶ ὁ Κέρβερος· καὶ ἐπὶ πᾶσι, τοῦ Λικυμνίου παιδὸς Οἰωνοῦ διὰ κύνα φονευθέντος ὑπὸ τῶν Ἱπποκοωντιδῶν, ἀναγκασθεὶς μάχην συνάψαι, τῶν τε ἄλλων φίλων πολλοὺς ἀπέβαλε, καὶ τὸν ἀδελφὸν Ἰφικλέα.

ϟα'.

« Διὰ τί τοῖς πατρικίοις οὐκ ἐξῆν περὶ τὸ Καπιτώλιον κατοικεῖν; » Πότερον ὅτι Μάρκος Μάλλιος αὐτόθι κατοικῶν ἐπεχείρησε τυραννίδι; ὃν ἀπώμοτον φασιν εἶναι τῷ οἴκῳ, μηδενὶ Μαλλίῳ ὄνομα Μάρκου γενέσθαι; Ἢ παλαιὸς ἦν φόβος οὗτος; Ποπλικόλαν γοῦν ἄνδρα δημοτικώτατον οὐκ ἐπαύσαντο διαβάλλοντες μὲν οἱ δυνατοί, δεδιότες δὲ οἱ πολλοί, μέχρις οὗ τὴν οἰκίαν αὐτὸς κατέσκαψεν, ἐπικεῖσθαι τῇ ἀγορᾷ δοκοῦσαν.

cenſetur Hercules? Aut quia adhuc inter homines degenti Evander aram poſuit, et victimam obtulit? id enim nonnulli tradunt. Omnium autem animalium nullum infeſtius habuit Hercules cane: hic enim ei plurimum negotii identidem exhibuit: et Cerberus canis fuit: ac præter omnia, cum Licymnii filium Oeonum canis cauſa interfeciſſent Hippocoontidæ, coactus pugnam committere, cum alios ſociorum multos, tum Iphiclum amiſit.

XCI.

Cur patriciis non licebat prope Capitolium habitare? An quia Marcus Manlius ibi habitans tyrannidem affectavit? propter quem illa familia jurejurando ſeſe obſtrinxit, nemini ſe ex ea Marci prænomen facturam. Aut antiquus tenebat metus? etenim Poplicolam hominem magis quam quiſquam fuerit alius popularem non deſtiterunt calumniis impetere potentiores, metuere vero plebs, antequam domum ſuam ipſe diruit, quod ea imminere foro videretur.

ϟβʹ.

« Διὰ τί τῷ σώσαντι πολίτην ἐν πολέμῳ, δρύινον
6 « διδόασι στέφανον; » Πότερον ὅτι πανταχοῦ καὶ ῥᾳδίως ἐστὶν εὐπορῆσαι δρυὸς ἐπὶ στρατείας; Ἢ ὅτι Διὸς καὶ Ἥρας ἱερὸς ὁ στέφανός ἐστιν, οὓς πολιούχους νομίζουσιν; Ἢ παλαιὸν ἀπ' Ἀρκάδων τὸ ἔθος, οἷς ἐστί τις συγγένεια πρὸς τὴν δρῦν; πρῶτοι γὰρ ἀνθρώπων γεγονέναι δοκοῦσιν ἐκ γῆς, ὥσπερ ἡ δρῦς τῶν φυτῶν.

ϟγʹ.

« Διὰ τί γυψὶ χρῶνται μάλιστα πρὸς τοὺς οἰωνισ-
« μούς; » Πότερον ὅτι καὶ Ῥωμύλῳ δώδεκα γῦπες ἐφάνησαν ἐπὶ τῇ κτίσει τῆς Ῥώμης; Ἢ ὅτι τῶν ὀρνίθων ἥκιστα συνεχὴς καὶ συνήθης οὗτος; οὐδὲ γὰρ νεοττιᾷ γυ-
B πὸς ἐντυχεῖν ῥᾳδίως ἐστίν, ἀλλὰ πόρρωθεν ποθὲν ἐξαπίνης καταίρουσι· διὸ καὶ σημειώδης ἡ ὄψις αὐτῶν ἐστίν. Ἢ καὶ τοῦτο παρ' Ἡρακλέους ἔμαθον; εἰ λέγει ἀληθῶς Ἡρόδωρος ὅτι πάντων μάλιστα γυψὶν ἐπὶ πράξεως

XCII.

Cur eum qui civem ſervaſſet, corona donabant querna? An quod ubique copia in expeditionibus eſt quercus, et quidem nullo negotio? Aut quia Jovi et Junoni ſacra eſt iſta corona, quibus diis urbium tutelam adſignant? Aut priſca eſt hæc Arcadum conſuetudo, quibus aliqua eſt cum quercu cognatio? Primi enim hominum e terra enati creduntur, ſicut quercus inter ſtirpes prima.

XCIII.

Cur ad auſpicia maxime uſi ſunt vulturibus? An quod Romulus Romam condens duodecim vultures obſervavit? An quia avium omnium minime iſta frequenter conſpici ſolet? non enim facile in pullos vulturis incideris: ſed ex remotis locis alicunde ſubito advolant: unde ſequitur, eorum conſpectu aliquid portendi. An hoc quoque ab Hercule didicerunt? Si tamen verum eſt quod Herodorus ſcripſit, Herculem in auſpicio ca-

ἀρχῇ φανεῖσιν ἔχαιρεν Ἡρακλῆς, ἡγούμενος δικαιότατον εἶναι τὸν γῦπα τῶν σαρκοφάγων ἁπάντων· πρῶτον μὲν γὰρ οὐδενὸς ἅπτεται ζῶντος, οὐδ' ἀποκτίννυσιν ἔμψυχον οὐδὲν, ὡς ἀετοὶ καὶ ἱέρακες καὶ τὰ νυκτινόμα· χρῆται δὲ τοῖς ἄλλοις ἀποθανοῦσιν· ἔπειτα καὶ τούτων τὰ ὁμόφυλα παρίησι· πετεινοῦ γὰρ οὐδεὶς ἑώρακε γῦπα γευόμενον, ὡς ἀετοὶ καὶ ἱέρακες μάλιστα τὰ συγγενῆ διώκουσι καὶ κόπτουσι· καίτοι κατ' Αἰσχύλον, C

Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;

ἀνθρώποις δὲ, ὡς ἔπος εἰπεῖν, ἀβλαβέστατός ἐστιν, οὔτε καρπὸν ἀφανίζων οὔτε φυτὸν, οὔτε ζῶον ἥμερον κακουργῶν. Εἰ δὲ, ὡς Αἰγύπτιοι μυθολογοῦσι, θῆλυ πᾶν τὸ γένος ἐστὶ, καὶ κυΐσκονται δεχόμενοι καταπνέοντα τὸν ἀπηλιώτην, ὥσπερ τὰ δένδρα τὸν ζέφυρον, καὶ παντάπασιν ἀπλανῆ τὰ σημεῖα καὶ βέβαια γίνεσθαι πιθανόν ἐστιν ἀπ' αὐτῶν· ἐν δὲ τοῖς ἄλλοις αἱ περὶ τὰς ὀχείας σοβήσεις, ἔτι δὲ

B. 9. τοῖς ἄλλοις] Legendum τοῖς ἄλλως. Voſſ. τοῖς ὅλοις.

piendo maxime delectatum fuiſſe vulturibus oblatis, quod hanc omnium volucrium carnivorarum juſtiſſimam cenſeret. Primum, quia nihil animatum tangit aut necat: id quod aquilæ faciunt, accipitres, et quæ noctu volant aves: ſed ſolis veſcitur cadaveribus. Deinde quod ſuæ quoque naturæ et generis cadavera præterit: nemo enim unquam vidit a vulture avem guſtari; cum aquilæ et accipitres maxime inſectentur et occidant aves: at vero ut eſt apud Æſchylum,

Inceſta avis ſit oportet, ſi volucrem voret.

Præterea hæc avis minime omnium aliarum homini nocet, cum neque fruges perdat, neque plantas, neque ullum manſuetum animal lædat. Denique ſi verum eſt quod Ægyptii perhibent, totum vulturum genus eſſe fœmininum, et concipere ſubſolani flatu excepto, ſicut arbores Favonii admiſſo ſpiritu; omnino probabile eſt præſagia ab iis ducta, firma eſſe et erroris vacua: cum in

ἁρπαγαὶ καὶ φυγαὶ καὶ διώξεις πολὺ τὸ θορυβῶδες καὶ ἀκατάστατον ἔχουσι.

ϟδʹ.

“ Διὰ τί τοῦ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔξω πόλεώς ἐστι;”
D Πότερον ὅτι τὰς ἔξω διατριβὰς ὑγιεινοτέρας ἐνόμιζον εἶναι τῶν ἐν τῷ ἄστει; καὶ γὰρ Ἕλληνες ἐν τόποις καθαροῖς καὶ ὑψηλοῖς ἐπιεικῶς ἱδρυμένα τὰ Ἀσκληπίεια ἔχουσιν. Ἦ, ὅτι τὸν θεὸν ἐξ Ἐπιδαύρου μετάπεμπτον ἥκειν νομίζουσιν, Ἐπιδαυρίοις δὲ οὐ κατὰ πόλιν, ἀλλὰ πόρρω τὸ Ἀσκληπιειόν ἐστιν; Ἦ, ὅτι τοῦ δράκοντος ἐκ τῆς τριήρους κατὰ τὴν νῆσον ἀποβάντος καὶ ἀφανισθέντος, αὐτὸν ᾤοντο τὴν ἵδρυσιν ὑφηγεῖσθαι τὸν θεόν;

ϟεʹ.

“ Διὰ τί νενόμισται τοὺς ἁγνεύοντας, ὀσπρίων ἀπέχεσ-
“ θαι;” Πότερον, ὡς οἱ Πυθαγορικοί, τοὺς μὲν κυάμους ἀφωσιοῦντο διὰ τὰς λεγομένας αἰτίας, τὸν δὲ λάθυρον
E καὶ τὸν ἐρέβινθον ὡς παρωνύμους τοῦ ἐρέβους καὶ τῆς λήθης;

D. 3. Ἀσκληπίεια—Ἀσκληπιειόν] Ita E. Vulgo Ἀσκλήπεια—Ἀσκλήπειόν.

aliis agitatio circa coitum, tum rapinæ, fugæ, inſectationeſque multum tumultuationis et incertitudinis exhibeant.

XCIV.

Cur Æſculapii fanum extra urbem eſt? An quia ſalubrius extra quam intra urbem degi putant? nam Græci quoque fere locis puris et ſublimibus poſita Æſculapii habent ſacraria. Aut quod deum illum Epidauro arceſſitum veniſſe Romam exiſtimant? Epidaurii autem non in urbe, ſed procul inde templum Æſculapii habent. Aut quod angue apud inſulam e trireme egreſſo et e conſpectu hominum ſublato, ipſum deum arbitrantur locum ſui templi indicaſſe?

XCV.

Cur caſtimoniam ſervantibus uſu leguminum eſt interdictum? An fabam ob eaſdem quas Pythagorici cauſas abominati ſunt? lathyrum autem et erebinthum *(hoc eſt piſum, puto, et cicerem)* quod *lathæ* et *erebo*, *id eſt letho et orco*, nomina

Ἢ ὅτι πρὸς τὰ περίδειπνα καὶ τὰς προκλήσεις τῶν νεκρῶν μάλιστα χρῶνται τοῖς ὀσπρίοις; Ἢ μᾶλλον, ὅτι δεῖ πρὸς τὰς ἁγνείας καὶ ἁγιστείας καθαρὰ καὶ λιτὰ τὰ σώματα ἔχειν; ἔστι δὲ τὰ ὄσπρια πνευματώδη, καὶ περίσσωμα ποιεῖ πολλῆς καθάρσεως δεόμενον. Ἢ ὅτι καὶ πρὸς συνουσίαν παρορμᾷ διὰ τὸ φυσῶδες καὶ πνευματικόν;

ϟϛʹ.

“ Διὰ τί τῶν παναγῶν παρθένων τὰς διαφθαρείσας
“ ἄλλως οὐ κολάζουσιν, ἀλλὰ ζώσας κατορύττουσιν;” F
Πότερον ὅτι καίουσι τοὺς ἀποθανόντας, θάπτειν δὲ πυρὶ τὴν τὸ πῦρ τὸ θεῖον ὁσίως μὴ φυλάξασαν, οὐκ ἦν δίκαιον; Ἢ σῶμα ταῖς μεγίσταις καθωσιωμένον ἁγιστείαις ἀναιρεῖν, καὶ προσφέρειν ἱερᾷ γυναικὶ χεῖρας, οὐ θεμιτὸν ἐνόμιζον; αὐτὴν οὖν ἀποθανεῖν μηχανώμενοι, δι' αὐτῆς κατεβίβαζον ὑπὸ γῆν εἰς οἴκημα πεποιημένον, ὅπου καὶ λύχνος ἔκειτο καιόμενος, καὶ ἄρτος καὶ γάλακτός τι καὶ ὕδατος· εἶτα

horum ſunt affinia? Aut quod ad circumpotationes funebres et mortuorum evocationes maxime utuntur leguminibus? Aut potius quia ad caſtimoniam afferre oportet corpora pura et tenuia? legumina autem flatus generant, et ſuperfluitatem gignunt multa opus habentem expurgatione. Aut quia etiam ad rem veneream inſtigant ob flatuum et ſpirituum generationem?

XCVI.

Cur Veſtales virgines ſi pudicitiam prodiderunt, non alio afficiunt ſupplicio, quam quod vivas defodiunt? An quia mortuos cremant: cremare autem eam quæ ignem ſacrum non cuſtodiverit pie, injuſtum eſſet? Aut quia corpus ſummis conſecratum cæremoniis interficere, et manus adferre ſacræ mulieri, nefas cenſentes, ipſam ultro mori volentes infra terram demiſerunt, in extructum ad hoc domicilium, ubi et lucerna ponebatur ardens, et panis, atque lactis et aquæ nonnihil, deinde terra ſuperne ingeſta occultabatur

μα κατέχρυσον ἄνωθεν. Καὶ οὐδὲ τοῦτον τ
οσιωσάμενοι τὴν δεισιδαιμονίαν ἐκπεφεύγασιν,
χρι νῦν ἐναγίζουσιν οἱ ἱερεῖς ἐκεῖ βαδίζοντες
τον.

ϟζʹ.

τὶ ταῖς Δεκεμβρίαις εἰδοῖς ἱπποδρομίας γε-
ὁ νικήσας δεξιὸς ἱερὸς Ἄρει θύεται, καὶ τὴν
ἐν ἀποκόψας τις ἐπὶ τὴν Ῥηγίαν καλουμένην
, καὶ τὸν βωμὸν αἱμάσσει, περὶ δὲ τῆς κεφα-
μὲν ἀπὸ τῆς ἱερᾶς ὁδοῦ λεγομένης, οἱ δὲ ἀπὸ
ούρρης καταβάντες διαμάχονται;" Πότερον,
γουσιν, ἵππῳ τὴν Τροίαν ἡλωκέναι νομίζοντες,
άζουσιν, ἅτε δὴ καὶ γεγονότες

ρώων ἀγλαὰ τέκνα μεμιγμένα παισὶ Λατίνων;

μοειδὲς καὶ πολεμικὸν καὶ ἀρήϊον ὁ ἵππος ἐστὶ,
ροσφιλῆ μάλιστα καὶ προσφόρα θύουσι τοῖς
ὁ νικήσας θύεται διὰ τὸ νίκης καὶ κράτος οἰ-

B. 4. κράτος] Legendum κράτυς Mez.

ae hoc quidem mo-
s ſe religione pu-
hodieque mos ob-
illum locum ſacer-
ntes parentent.

XCVII.

us Decembribus ex-
tribus ludis, dexter
r Marti ſacer im-
et caudam aliquis
fert ad locum cui
n, aramque cruen-
te alii a ſacra via,
alii a Suburra deſcendentes de-
pugnant? An, quæ eſt quorundam opinio, equo Trojam captam putantes, equum plectunt? utpote qui ſint

Troum ſplendida proles natis mixta Latinum.

Aut quia animoſa eſt beſtia, et bello apta atque Martialis equus? diis vero ea potiſſimum immolant, quæ iis accepta ſunt et convenientia? victor autem equus mactatur, quia deo vic-

κεῖον εἰς τὸν θεόν. Ἢ μᾶλλον ὅτι τοῦ θεοῦ στάσιμον τὸ ἔργον ἐστὶ, καὶ νικῶσιν οἱ μένοντες ἐν τάξει τοὺς μὴ μένοντας ἀλλὰ φεύγοντας, καὶ κολάζεται τὸ τάχος ὡς δειλίας ἐφόδιον, καὶ μανθάνουσι συμβολικῶς ὅτι σωτήριον οὐκ ἔστι τοῖς φεύγουσι;

ϟη'.

" Διὰ τί οἱ τιμηταὶ τὴν ἀρχὴν παραλαβόντες,
" οὐδὲν ἄλλο πράττουσι πρότερον, ἢ τὴν τροφὴν ἀπο-
" μισθοῦσι τῶν ἱερῶν χηνῶν, καὶ τὴν γάνωσιν τοῦ ἀγάλ- C
" ματος;" Πότερον ἀπὸ τῶν εὐτελεστάτων ἀρχόμενοι, καὶ μὴ πολλῆς δεομένων δαπάνης μηδὲ πραγματείας; Ἢ, παλαιά τις αὕτη χάρις ἀπομνημονεύεται τοῖς ζώοις ἀπὸ τῶν Κελτικῶν, ὅτι τοὺς βαρβάρους ὑπερβαίνοντας ἤδη τὸ περιτείχισμα τοῦ Καπιτωλίου νύκτωρ οἱ χῆνες ᾔσθοντο, τῶν κυνῶν καθευδόντων, καὶ βοῇ τοὺς φύλακας ἐπήγειραν; Ἢ φύλακες ὄντες οἱ τιμηταὶ τῶν μεγίστων, καὶ προσῆκον ἐπισκοπεῖν καὶ πολυπραγμονεῖν αὐτοῖς

C. 9. προσῆκον] Ita Voſſ. Vulgo προσηκόντων. Mez. προσήκοντες.

toria eſt accepta ferenda. Aut rectius hoc dicetur, opus illius dei ſtatariam eſſe pugnam, victoriamque ſtando ſuos ordines qui ſervant de fugientibus reportare; itaque puniri celeritatem ut fugæ commeatum, monerique iſto argumento cives, fugientibus nullam eſſe ſalutis fiduciam?

XCVIII.

Cur cenſores ubi magiſtratum acceperunt, nihil prius habeant locatione alimentorum pro ſacris anſeribus, et ſimulachri exornatione? An quia volunt ab iis ordiri, quæ ſumptuum et occupationis minimum deſiderant? Aut pro veteri beneficio animalibus hæc refertur gratia, quod Gallos Roma capta jam muros Capitolii ſuperantes canibus dormientibus ſenſerunt anſeres, vigileſque ſuo clangore excitaverunt? Aut cenſores, cum rerum maximarum cuſtodia ipſis demandata, officiique ipſorum eſſet

ἱερὰ καὶ δημόσια καὶ βίους καὶ ἤθη καὶ διαίτας, τὸ φυλακτικώτατον ζῶον εὐθὺς ἐν λόγῳ τίθενται, καὶ ἅμα τῇ
D τοιαύτῃ ἐπιμελείᾳ προτρέπονται τοὺς πολίτας μὴ ἀμελεῖν μηδὲ ῥαθυμεῖν τῶν ἱερῶν; Ἡ δὲ γάνωσις τοῦ ἀγάλματος ἀναγκαία· ταχὺ γὰρ ἐξανθεῖ τὸ μίλτινον, ᾧ τὰ παλαιὰ τῶν ἀγαλμάτων ἔχρωζον.

ϟθʹ.

“ Διὰ τί τῶν ἄλλων ἱερέων τὸν καταδικασθέντα καὶ
“ φυγόντα παύοντες, ἕτερον αἱροῦνται, τοῦ δὲ αὔγουρος,
“ ἕως ζῇ, κἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι καταγνῶσιν
“ οὐκ ἀφαιροῦνται τὴν ἱερωσύνην; (αὔγουρας δὲ τοὺς
“ ἐπὶ τῶν οἰωνῶν καλοῦσι.)” Πότερον, ὡς ἔνιοι λέγουσι, βούλονται μηδένα τὰ τῶν ἱερῶν ἀπόρρητα γινώσκειν, ὃς οὐκ ἔστιν ἱερεύς; Ἢ κατειλημμένον ὅρκοις τὸν αὔγουρα μηδενὶ φράσειν τὰ τῶν ἱερῶν, ἀπολῦσαι τῶν ὅρκων οὐ θέ-
E λουσιν ἰδιώτην γινόμενον; Ἢ τιμῆς οὐκ ἔστιν οὐδὲ ἀρχῆς, ἀλλ' ἐπιστήμης ὄνομα καὶ τέχνης, ὁ αὔγουρ; ὅμοιον οὖν

accurate obſervare et inſpicere in ſacra, res publicas, vitas, mores, rationemque victus; initio ſtatim vigilantiſſimum animal procurant, eaque induſtria cives hortantur, ut ſacrorum curam diligentem gerant? Simulachri autem illuſtratio neceſſaria eſt; minium enim quo antiqua ſimulachra inducebant, colorem habet facile evaneſcentem.

XCIX.

Quid cauſæ eſt, quod, cum alios ſacerdotes in locum damnatorum atque ſolum vertere juſſorum ſacerdotioque privatorum ſacerdotum ſufficiant; ſoli auguri, etiamſi ſummorum flagitiorum compertus habeatur, non abrogant ſacerdotium, quandiu vivit? An quod ſacrorum arcana a quoquam qui ſacerdos non ſit, cognoſci nolunt? Aut quia jurejurandi, quo ſanxit ſe nemini diſciplinam iſtam traditurum, eum abrogata dignitate factum privatum ſolvere nolunt religione? Aut non magiſtratus vel dignitatis, ſed ſcientiæ artiſque nomen eſt augur? ut qui va-

τῷ τὸν μουσικὸν ἀποψηφίσασθαι μουσικὸν μὴ εἶναι, καὶ τὸν ἰατρὸν, ἰατρὸν, τὸ κωλύειν μάντιν εἶναι τὸν μάντιν, ἀφελέσθαι μὴ δυναμένους τὴν δύναμιν αὐτοῦ, κἂν ἀφέλωνται τὴν προσηγορίαν. Ἄλλον δὲ οὐ καθιστᾶσιν, ὅπως τὸν ἐξ ἀρχῆς ἀριθμὸν τῶν αὐγούρων φυλάττοντες.

ρ'.

" Διὰ τί ταῖς Αὐγούσταις εἰδοῖς, Σεξτιλίαις δὲ " πρότερον λεγομέναις, ἑορτάζουσιν αἵ τε δοῦλαι καὶ οἱ " δοῦλοι πάντες, αἱ δὲ γυναῖκες μάλιστα ῥύπτεσθαι τὰς " κεφαλὰς καὶ καθαίρειν ἐπιτηδεύουσιν;" Ἢ διὰ τὸ Σερούιον τὸν βασιλέα κατὰ ταύτην τὴν ἡμέραν ἐξ αἰχμαλώτου γενέσθαι θεραπαινίδος, ἄδειαν ἔργων ἔχουσιν οἱ θεράποντες; τὸ δὲ πλύνειν τὰς κεφαλὰς ἀρξάμενον ἀπὸ τῶν θεραπαινίδων διὰ τὴν ἑορτὴν, ἄχρι τῶν ἐλευθέρων προῆλθεν;

ρα'.

" Διὰ τί κοσμοῦσι τοὺς παῖδας τοῖς περιδεραίοις ἃ " βούλλας καλοῦσι;" Πότερον ἐπὶ τιμῇ τῶν ἡρπασμένων γυναικῶν, ὥσπερ ἄλλα πολλὰ, καὶ τοῦτο ἐψηφίσαντο

tem ne vates ſit prohibere conetur, perinde agat ac ſi muſico ne muſicus, aut medico ne medicus ſit, velit edicere: cum, ut maxime titulum deroget, ſcientiam tamen adimere non poſſit. Alium porro non creant, quod numerum augurum ab initio conſtitutum retinere volunt.

C.

Cur Idibus Sextilis, qui nunc Auguſtus dicitur, feriæ ſunt utriuſque ſexus ſervis, mulieres autem tum maxime lavare & purgare capita ſtudent? An hoc ſervis datum, quod ea die Servius rex natus e captiva fuit ancilla? lotio autem capitis ab ancillis feriarum cauſa cœpta, etiam ad liberas pervaſit?

CI.

Quare pueros bullis ornant? An in honorem raptarum id quoque, ut multa alia, decre-

τοῖς ἐξ αὐτῶν γεννωμένοις ὑπάρχειν; Ἢ τὴν Ταρκυνίου τιμῶντες ἀνδραγαθίαν; λέγεται γὰρ ἔτι παῖς ὢν ἐν τῇ
E μάχῃ τῇ πρὸς Λατίνους ἅμα καὶ Τυῤῥηνοὺς, ἐμβαλεῖν εἰς τοὺς πολεμίους, ἀποῤῥυεὶς δὲ τοῦ ἵππου, καὶ τοὺς ἐπιφερομένους ἰταμῶς ὑποστὰς, ἐπιῤῥῶσαι τοὺς Ῥωμαίους· γενομένης δὲ λαμπρᾶς τροπῆς τῶν πολεμίων, καὶ μυρίων ἑξακισχιλίων ἀναιρεθέντων, τοῦτο λαβεῖν ἀριστεῖον παρὰ τοῦ πατρὸς καὶ βασιλέως. Ἢ τοῖς παλαιοῖς οἰκετῶν μὲν ἐρᾶν ὥραν ἐχόντων, οὐκ ἦν ἄδοξον οὐδὲ αἰσχρὸν, ὡς ἔτι νῦν αἱ κωμῳδίαι μαρτυροῦσιν, ἐλευθέρων δὲ παίδων ἰσχυρῶς ἀπείχοντο, καὶ ὅπως μηδὲ γυμνοῖς ἐντυχόντες ἀμφιγνοήσαιεν, ἐφόρουν οἱ παῖδες τὸ παράσημον; Ἢ καὶ πρὸς εὐταξίαν ἐστὶ φυλακτήριον τοῦτο, καὶ τρόπον τινὰ
B τοῦ ἀκολάστου χαλινὸς, αἰσχυνομένων ἀνδροῦσθαι πρὶν τὸ παιδικὸν ἀποθέσθαι παράσημον; Ὃ μὲν γὰρ οἱ περὶ Βάῤῥωνα λέγουσιν, οὐ πιθανόν ἐστιν, τῆς βούλλης ὑπὸ Αἰολέων βόλλας

B. 3. βούλλης] Xyl. Mez. βουλῆς. Proxime E. βολᾶς.

tum earum natis eſt? Aut Tarquinii virtutem hoc modo venerantur? Is enim etiamnum puer in pugna adverſus Latinos ſimul Etruſcoſque commiſſa, fertur in hoſtes impetum dediſſe, delapſuſque de equo irruentes audacter ſubſtitiſſe, Romanorumque animos auxiſſe: fuſiſque magno prœlio hoſtibus, quorum interfecti ſunt ſedecim millia, a rege patre ſuo virtutis ac rei optime geſtæ illud præmium accepiſſe. An quia antiquis formoſos ſervos amare inhoneſtum non erat, (quod etiamnum comœdiæ teſtatum faciunt) ab ingenuis autem maximopere abſtinebant: ideoque ut ne nudis quidem incidentes errarent, id inſigne liberi geſtabant? An ordinis hoc quoque ſignum rationem commodam pertinebat, tanquam frænum immodeſtiæ injectum, cum puderet in viros evadere priuſquam pueritiæ ſignum depoſuiſſent? Probabile enim non eſt quod Varro tradit, quia conſilium (Græcis hoc *bule* eſt) Æolice *bolla* dicatur,

ἐν ταῖς δίκαις, συμφορητοῦ τινος καὶ κοινοῦ σπέρματος γεγόνασιν, ἀλλὰ ἔστιν ὁ Σπόριος τῶν πρώτων ὀνομάτων, ὡς ὁ Σέξτος καὶ ὁ Δέκιμος καὶ ὁ Γάϊος· τὰ δὲ πρῶτα τῶν ὀνομάτων οὐχ ὁλογραφοῦσιν, ἀλλ' ἢ δι' ἑνὸς γράμματος, ὡς τὸν Τίτον καὶ τὸν Λούκιον καὶ τὸν Μάρκον ἢ διὰ δυοῖν, ὡς τὸν Τιβέριον καὶ τὸν Γνέον· ἢ διὰ τριῶν, ὡς τὸν Σέξτον καὶ τὸν Σερούϊον. Ἔστιν οὖν καὶ ὁ Σπόριος τῶν διὰ δυοῖν γραφομένων, τοῦ Σ καὶ τοῦ Π· γράφουσι δὲ διὰ τούτων καὶ τοὺς ἀπάτορας, ΣΙΝΕ ΠΑΤΡΙΣ. οἷον ἄνευ πατρός· τῷ μὲν Σίγμα τὸ ΣΙΝΕ, τῷ δὲ Π τὸ ΠΑΤΡΙΣ σημαίνοντες. Τοῦτο οὖν τὴν πλάνην ἐποίησε, τὸ διὰ τῶν αὐτῶν γραμμάτων τὸ ΣΙΝΕ ΠΑΤΡΙΣ καὶ τὸν Σπόριον γράφεσθαι. Λεκτέον δὲ καὶ τὸν ἕτερον λόγον· ἔστι δὲ ἀτοπώτερος· τοὺς γὰρ Σαβίνους φασὶ τὸ τῆς γυναικὸς αἰδοῖον ὀνομάζειν ΣΠΟΡΙΟΝ· εἶτα οἷον ἐφυβρίζοντας οὕτω προσαγορεύειν τὸν ἐκ γυναικὸς ἀγάμου καὶ ἀνεγγύου γεγενημένον.

men: ſed tamen verum non eſt quod iidem putant, et rhetores in orandis cauſis afferunt, ſic dictos quod promiſcuo ſemine ſint nati. Sed *Spurius* prænomen eſt, ut *Sextus*, *Decimus*, *Caius*. Porro non integra ſcribunt Romani prænomina, ſed aut unica litera notant, ut *Titum*, *Lucium*, *Marcum*, ſic, *T. L. M.* aut duabus, ut *Tiberium*, *Cneum*, ſic, *Ti. Cn.* aut tribus, ut *Sextum*, *Servium*, ſic, *Sex. Ser.* *Spurius* quoque duabus literis indicatur, *Sp.* Iiſdem literis etiam nothos ſignificant *S. P.* nimirum *Sine Patre.* Quæ res errori anſam præbuit, cum *Spurius* et *incerto patre natus* iiſdem elementis notarentur, ut hi quoque ſpurii uſurparentur. Eſt et alia, verum abſurdior ratio. Aiunt a Sabinis pudenda mulieris *ſpurium* nominari: itaque ſic ignominioſe appellari qui ex non nupta muliere natus eſſet.

ρδ΄.

ιὰ τί τὸν Διόνυσον ΛΙΒΕΡΟΥΜ ΠΑΤΡΕΜ χα-
;" Πότερον ὡς ἐλευθερίας πατέρα τοῖς πιοῦσι
ν; γίνονται γὰρ οἱ πολλοὶ θρασεῖς καὶ παῤῥησίας ὑπο-
ῖνται περὶ τὰς μέθας. Ἢ ὅτι τὴν λοιβὴν παρέχει;
Ἀλέξανδρός φησιν, ἀπὸ τῶν περὶ Ἐλευθέρας τῆς
, ἐλευθερέως Διωνύσου προσαγορευομένου;

ρέ.

ιὰ τίνα αἰτίαν ἐν ταῖς δημοσίαις ἑορταῖς ἔθος
ἐστι γαμεῖσθαι παρθένους, αἱ δὲ χῆραι γαμοῦνται;"
, ὡς ὁ Βάῤῥων εἴρηκεν, ὅτι λυπούμεναι μὲν αἱ
γαμοῦνται, χαίρουσι δὲ αἱ γυναῖκες· ἑορτὴ δὲ
υπουμένους ποιεῖν, μηδὲ πρὸς ἀνάγκην; Ἢ
ὅτι ταῖς μὲν παρθένοις καλὸν μὴ ὀλίγων, ταῖς δὲ
ἰσχρὸν πολλῶν ὄντων γαμεῖσθαι; ζηλωτὸς γὰρ ὁ
γάμος, ὁ δὲ δεύτερος ἀπευκταῖος· αἰσχύνονται γὰρ

δὲ] Legendum ἑορτῆς δὲ, *eſt hoc feſti diei, ut nil cum moleſtia agatur:* el ἑορτῇ δὲ δεῖ.
ὤν ὄντων] Mez. recte πολλῶν παρόντων.

CIV.

acchо Liberi Patris oſuerunt? An quod is libertatem ingene- rique enim per ebrie- oces, liberique nimi- Aut quia liba exhi- ut, ut Alexander tra- , quod Bacchus apud as Bœotiæ urbem E- is, id eſt liber, dictus

CV.

ublicis feriis mos non eſt nubere virgines, nubunt tamen viduæ? An cauſa eſt, quam adfert Varro? Virgines nubere invitas et triſtes, mulieres autem cum lætitia: feſto autem die nihil cum moleſtia, omnia lubenti animo ſunt agenda? Aut quia decori eſt virginibus nuptias earum multis præſentibus peragi, idemque viduis dedecori? primæ enim nuptiæ optandæ ſunt et in pretio: ſecundæ votis recuſandæ, quod vel cum turpi-

ἂν ζώντων τῶν προτέρων ἑτέρους λαμβάνουσιν, ὀδύρονται δὲ ἂν ἀποθανόντων· ὅθεν ἡσυχίᾳ χαίρουσι μᾶλλον ἢ θορύβοις καὶ προπομπαῖς· αἱ δὲ ἑορταὶ περισπῶσι τοὺς πολλοὺς, ὥστε τοῖς τοιούτοις μὴ σχολάζειν. Ἢ, ὅτι καὶ τὰς Σαβίνων θυγατέρας ἁρπάσαντες ἐν ἑορτῇ παρθένους οὔσας, εἰς πόλεμον κατέστησαν, ἐξοιωνίσαντο γαμεῖν παρθένους ἐν ἱεραῖς ἡμέραις;

ρϛʹ.

“Διὰ τί Ῥωμαῖοι τύχην σέβονται ΠΡΙΜΙΓΕΝΕΙΑΝ, “ἣν ἄν τις εἴποι πρωτογένειαν;” Ἆρα ὅτι Σερουΐῳ κατὰ τύχην, ὥς φασιν, ἐκ θεραπαινίδος γενομένῳ, βασιλεῦσαι τῆς Ῥώμης ἐπιφανῶς ὑπῆρξεν; οὕτω γὰρ οἱ πολλοὶ Ῥωμαῖοι ὑπειλήφασιν. Ἢ μᾶλλον ὅτι τῆς Ῥώμης ἡ τύχη παρέσχε τὴν ἀρχὴν καὶ τὴν γένεσιν; Ἢ φυσικώτερον ἔχει λόγον τὸ πρᾶγμα καὶ φιλοσοφώτερον, ὡς τὴν τύχην πάντων οὖσαν ἀρχὴν, καὶ τὴν φύσιν ἐκ τοῦ κατὰ τύχην συνισταμένην, ὅταν τισὶν ὡς ἔτυχεν ὑποκειμένοις τάξις ἐγγένηται;

tudine nubunt vivente priore marito, vel cum luctu, ſi is ſit mortuus. Itaque viduæ ad ſuas nuptias quiete magis gaudent quam frequentia hominum et tumultu: feſtivitates porro multitudinem ad ſe trahunt, neque nuptiis vacare patiuntur. Aut quia feſto die raptis Sabinis virginibus bellum eſt exortum, religio ipſis inde fuit virginum nuptias feſtis diebus celebrare?

CVI.

Cur Fortunam Primigeniam Romani venerantur? An, quæ multorum eſt Romanorum opinio, Servio Tullo ex ancilla, ut fertur, nato Romæ regnum Fortunæ beneficio obtigit? Aut potius quod ipſi Romæ ſui ortus initia ſuggeſſit Fortuna? Aut cauſam res habet magis ad naturalium rerum contemplationem referendam? nimirum omnium rerum principium eſſe fortunam, et naturam ex eventis fortuitis conſtitui, quando fortuita eventa ordinem inter ſe ſortiuntur?

ρζʹ.

« Διὰ τί τοὺς περὶ τὸν Διόνυσον τεχνίτας, ΙΣΤΡΙΩ-
« ΝΑΣ Ῥωμαῖοι καλοῦσιν ;" Ἢ δι' ἣν αἰτίαν Κλούβιος Ῥοῦφος ἱστόρηκεν ; φησὶ γὰρ ἐν τοῖς πάνυ παλαιοῖς
D χρόνοις Γαΐου τε Σουλπικίου καὶ Λικινίου Στόλωνος ὑπατευόντων, λοιμώδη νόσον ἐν Ῥώμῃ γενομένην, πάντας ὁμαλῶς διαφθεῖραι τοὺς ἐπὶ σκηνὴν προερχομένους· δεηθεῖσιν οὖν αὐτοῖς ἐκ Τυρρηνίας ἐλθεῖν πολλοὺς καὶ ἀγαθοὺς τεχνίτας, ὧν τὸν πρωτεύοντα δόξῃ καὶ χρόνῳ πλεῖστον ἐνδημερεύοντα τοῖς θεάτροις, Ἴστρον ὀνομάζεσθαι· καὶ διὰ τοῦτο πάντας, ΙΣΤΡΙΩΝΑΣ ἀπ' ἐκείνου προσαγορεύεσθαι.

ρηʹ.

« Διὰ τί δὲ τὰς ἐγγὺς γένους οὐ γαμοῦσιν ;" Πότερον αὔξειν τοῖς γάμοις βουλόμενοι τὰς οἰκειότητας, καὶ συγγενεῖς πολλοὺς ἐπικτᾶσθαι, διδόντες ἑτέροις καὶ λαμβάνοντες παρ' ἑτέρων γυναῖκας ; Ἢ φοβούμενοι
E τὰς ἐν τοῖς γάμοις τῶν συγγενῶν διαφορὰς,

CVII.

Cur ſcenici artifices Baccho ſacri, hiſtriones dicuntur? An veram cauſam Cluvius Rufus? Is narrat priſcis temporibus Caio Sulpicio et Licinio Stolone Conſulibus peſtem Romæ graſſatam omnes ad unum ſcenæ adminiſtros extinxiſſe; itaque alios requirentibus advenifſe ex Etruria multos bonoſque ejus rei artifices: inter quos gloria et uſu artificii longiſſimo præſtantem reliquis fuiſſe Hiſtrum nomine: ab eo cæteris quoque hiſtrionum nomen factum.

CVIII.

Cur cognatas non ducunt uxores? An ut conjugiis augeant neceſſitudines, multoſque ſibi parent cognatos aliis dando, ab aliis accipiendo mulieres? Aut metuentes ſibi a diſcordiis conjugialibus, quæ exortæ inter cognatos, præter conjugum debitum amorem etiam naturæ jura eſſent abo-

ὡς τὰ φύσει δίκαια προσαπολλυούσας; Ἢ, πολλῶν βοηθῶν τὰς γυναῖκας ὁρῶντες δι᾽ ἀσθένειαν δεομένας, οὐκ ἐβούλοντο τοὺς ἐγγὺς γένους συνοικίζειν, ὅπως ἂν οἱ ἄνδρες ἀδικῶσιν αὐτὰς, οἱ συγγενεῖς βοηθῶσιν;

ρθ′.

"Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς, ὃν ΦΛΑΜΙΝΑ ΔΙΑΛΙΝ καλοῦσιν, οὐκ ἔξεστιν ἀλεύρου θιγεῖν οὐδὲ ζύμης;" Ἢ τὸ μὲν ἄλευρον ἀτελὴς τροφὴ καὶ ἄπεπτός ἐστιν; οὔτε γὰρ ὃ ἦν μεμένηκεν ὁ πυρὸς, οὔτε ὃ δεῖ γενέσθαι γέγονεν ὁ ἄρτος, ἀλλὰ καὶ τὴν τοῦ σπέρματος δύναμιν ἀπολώλεκεν ἅμα, καὶ τὴν σιτίου χρείαν οὐκ ἔσχηκε. διὸ καὶ ΜΥΛΗΦΑΤΟΝ ὁ ποιητὴς ἄλφιτον ἐκ μεταφορᾶς ὠνόμακεν, ὥσπερ φονευόμενον ἐν τῷ ἀλέτῳ καὶ φθειρόμενον· ἡ δὲ ζύμη καὶ γέγονεν ἐκ φθορᾶς αὐτὴ, καὶ φθείρει τὸ φύραμα μιγνυμένη· γίγνεται γὰρ ἄτονον καὶ ἀδρανὲς, καὶ ὅλως ἔοικε σῆψις ἡ ζύμωσις εἶναι· πλεονάσασα γοῦν ἀποξύνει παντάπασι καὶ φθείρει τὸ ἄλευρον.

E. 2. ὡς τὰ φύσει] Voſſ. ὡς καὶ τὰ φύσει.

litura? Aut videntes mulieribus ob imbecillitatem opus eſſe multis defenſoribus, noluerunt cognatas ducere, ut ipſis auxilio eſſe poſſent ſi a maritis injuria afficerentur?

CIX.

Quamobrem flamini Diali non licebat farinam aut fermentum tangere? An quia farina alimentum eſt imperfectum et crudum? nam neque manſit triticum id quod erat, neque factum eſt quod fieri debet, nimirum panis: ſed ſimul et ſeminis vim amiſit, et uſum cibi non eſt aſſecutum. Itaque poeta farinam *mylephaton* tranſlatione uſus dixit, quaſi interfectum et perditum molendo frumentum. Fermentum cum ipſum natum eſt ex corruptione, tum farinam cui admiſcetur, corrumpit, ut languidior fiat et inefficax: omninoque fermentatio putrefactionis ſpeciem gerit; quæ ſi modum excedat, plane acidam reddit et perdit farinam.

ρι'.

… τί καὶ σαρκὸς ὠμῆς ἀπείρηται τῷ ἱερεῖ ψαύειν;" …ωμοφαγίας πάνυ πόῤῥωθεν ἀποτρέπει τὸ ἔθος; …ὺ τὸ ἄλευρον αἰτίαν ἀφοσιοῦται, καὶ τὸ κρέας; …δὲ ζῶον, οὔτε ὄψον ἤδη γέγονεν· ἡ γὰρ ἕψησις …ς, ἀλλοίωσις οὖσα καὶ μετακόσμησις, ἐξίστησι … τὸ δὲ πρόσφατον καὶ ὠμὸν, οὐδὲ τὴν ὄψιν …ρὸν καὶ ἀμίαντον, ἀλλὰ εἰδεχθῆ καὶ ἑλκώδη.

ρια'.

… τί δὲ κυνὸς καὶ αἰγὸς ἐκέλευον ἀπέχεσθαι …ι, μήτε ἁπτόμενον μήτε ὀνομάζοντα;" Πό…μενοι αἰγὸς βδελυττόμενοι τὸ ἀκόλαστον καὶ δυσ…δούμενοι τὸ νοσηματικόν; δοκεῖ γὰρ ἐπιληψία …λάνεσθαι μάλιστα τῶν ζώων, καὶ προσανα…ι τοῖς φαγοῦσιν, ἢ θιγοῦσιν ὑπὸ τοῦ πάθους … αἰτίαν δὲ λέγουσι τὴν στενότητα τῶν πνευμα…ν πολλάκις ἐπιλαμβανομένην, τεκμαιρόμενοι

CX.

…dem interdictum eſt …rnis crudæ? An …n longiſſime a cru… abducit? Aut ea…de farina attulimus …:? Caro enim ne… eſt, neque cibus reddita: aſſatio et …litatibus ejus mu…tam demum aliam … recens autem et … neque adſpectum …et purum et labis …ed deformem viſui…m, et ulceroſum.

CXI.

Cur eundem lex jubebat canis et capræ cum tactu, tum nominatione omnino abſtinere? An capræ abominabantur laſciviam, fœtoremque? an quod morbo comitiali animal iſtud obnoxium eſt, contagionem mali metuebant ad eos perventuram, qui tum veſcerentur capra, aut eam tangerent, cum in morbo eſt? Cauſam morbi tradunt eſſe anguſtiam meatuum per quos ſpiritus fertur, ob quam is ſæpe intercipitur: pro argumento uſur-

τῇ λεπτότητι τῆς φωνῆς· καὶ γὰρ ἀνθρώπων ὅσοις ἐπιληπτίζουσι συμβαίνει φθέγγεσθαι, μηκασμῷ παραπλησίαν φωνὴν ἀφιᾶσι. Τῷ δὲ κυνὶ τοῦ μὲν ἀκολάστου καὶ δυσώδους ἧττον ἴσως μέτεστι· καίτοι φασὶν ἔνιοι, μήτε τῆς Ἀθηναίων ἀκροπόλεως ἐπιβαίνειν κύνα, μήτε τῆς Δηλίων νήσου, διὰ τὴν ἐμφανῆ μίξιν, ὥσπερ βοῶν καὶ συῶν καὶ ἵππων ἐν θαλάμοις, ἀλλ' οὐκ ἐμφανῶς καὶ ἀνέδην ὀχευόντων· τὴν γὰρ ἀληθινὴν αἰτίαν ἀγνοοῦσιν, ὅτι μάχιμον ὄντα τὸν κύνα, τῶν ἀσύλων καὶ ἁγίων ἐξείργουσιν ἱερῶν, ἀσφαλῆ καταφυγὴν τοῖς ἱκέταις διδόντες. C

Εἰκὸς μὲν οὖν ἐστι καὶ τὸν ἱερέα τοῦ Διὸς, ὥσπερ ἔμψυχον καὶ ἱερὸν καὶ ἄγαλμα καταφύξιμον ἀνεῖσθαι τοῖς δεομένοις καὶ ἱκετεύουσι, μηδενὸς ἀπείργοντος μηδὲ ἐκφοβοῦντος. Διὸ κλινίδιον μὲν ἦν αὐτοῦ κείμενον ἐν τῷ θυρῶνι τῆς οἰκίας· ὁ δὲ προσπεσὼν τοῖς γόνασι τὴν ἡμέραν ἐκείνην, ἄδειαν εἶχε πληγῶν καὶ κολάσεως· εἰ δὲ δεσμώτης φθαίη προσελθὼν, ἐλύετο· τοὺς δὲ δεσμοὺς

pant vocis tenuitatem; nam et homines morbo Herculeo correpti exilem vocem emittunt, balatui adſimilem. Cani fortaſſis minus adeſt fœtoris et laſciviæ: quanquam ſunt qui canem et arce Athenienſi, et Delo inſula aiunt arceri, propter coitum in propatulo: quaſi vero boves, ſues, et equi non promiſcue et palam, ſed intra thalamos proli dent operam. Iſti veram cauſam ignorant. Quia canis animal eſt pugnax, ideo aſylis et ſacroſanctis prohibetur ſacrificiis, in quibus omnis periculi exſors perfugium ſupplicibus conceditur. Veri ergo ſimile eſt Jovis quoque ſacerdotem, utpote vivum, ſacrumque perfugii ſimulachrum, ad ſe libere admittere quoſvis ſupplices et deprecantes, nemine arcente aut terrente. Itaque lectulus ei poſitus erat ad ipſum domus veſtibulum: et qui ad genua ejus accidiſſet, is ea die a verberibus et ſupplicio immunis erat: ac ſi vinctus acceſſiſſet, ſolvebatur. Vincula autem foras non per januam,

ἐκτὸς οὐ κατὰ θύρας, ἀλλὰ ὑπὸ τοῦ στέγους ἀπεῤῥίπτουν. Οὐδὲν οὖν ὄφελος ἦν οὕτως αὐτὸν ἥμερον παρέχειν καὶ φιλάνθρωπον, εἰ κύων παρειστήκει, δεδιττόμενος καὶ ἀπείρκων τοὺς προσφυγεῖν δεομένους. Οὐ μὴν οὐδὲ καθα-
D ρεύειν ᾤοντο παντάπασιν οἱ παλαιοὶ τὸ ζῶον· καὶ ὀλυμπίων μὲν γὰρ οὐδενὶ θεῶν καθιέρωται, χθονία δὲ δεῖπνον Ἑκάτῃ πεμπόμενος εἰς τριόδους, ἀποτροπαίων καὶ καθαρσίων ἐπέχει μοῖραν· ἐν δὲ Λακεδαίμονι τῷ φονικωτάτῳ θεῶν Ἐνυαλίῳ σκύλακας ἐντέμνουσι· Βοιωτοῖς δὲ δημοσίᾳ καθαρμός ἐστι, κυνὸς διχοτομηθέντος τῶν μερῶν διεξελθεῖν· αὐτοὶ δὲ Ῥωμαῖοι τοῖς Λυκαίοις, ἃ Λουπερκάλια καλοῦσιν, ἐν τῷ καθαρσίῳ μηνὶ κύνα θύουσιν. Ὅθεν οὐκ ἀπὸ τρόπου τοῖς τὸν ὑπέρτατον καὶ καθαρώτατον εἰληφόσι θεραπεύειν θεὸν, ἀπειρῆσθαι κύνα ποιεῖσθαι συνήθη καὶ σύνοικον.

D. 1. καὶ ὀλυμπίων μὲν γὰρ οὐδενὶ] Vix ſincera hæc compoſitio. Rectius legatur: καὶ γὰρ ὀλυμπίων μὲν οὐδενί.

ſed de tecto in publicum projiciebantur. Nihil vero ſupplicibus profuturum erat, ſi ita benigno, et humano ſe præbente flamine, canis adſiſtens hanc veniam petituros terruiſſet atque arcuiſſet. Enimvero canem antiqui non uſquequaque mundum eſſe judicabant; nam et nulli cœlitum is immolabatur: et Hecatæ terreſtri in trivio cœnæ loco miſſus, piacularis ſacri, avertendi mala expiandique gratia facti partes obibat. Lacedæmone porro Marti, deo cædibus deditiſſimo, catulos inſecabant: apud Bœotos publicum eſt ſacrificium, quo cane in duas diſciſſo partes, per earum medium tranſibant: ipſi Romani Lupercalibus menſe Februario cane litant. Itaque abs re non eſt, quod ſacerdoti ſupremi ac puriſſimi numinis familiæ ſuæ canem aut aliquid cum eo rei habere nefas ſtatuerunt.

ρβ'.

"Διὰ τίνα δὲ αἰτίαν οὐδὲ κιττοῦ θιγεῖν ἐφεῖτο τῷ ἱερεῖ τοῦ Διός; οὐδὲ ὁδὸν διελθεῖν ἀναδενδράδος ἄνωθεν διατεταμένης;" Ἦ τοῦτο μὲν ὅμοιόν ἐστι τῷ μὴ ἐσθίειν ἀπὸ δίφρου, μηδ' ἐπὶ χοίνικος καθῆσθαι, μηδὲ σάρον ὑπερβαίνειν; οὐ ταῦτα τῶν Πυθαγορικῶν δεδιότων καὶ φυλαττομένων, ἀλλ' ἕτερα τούτοις ἀπαγορευόντων; καὶ γὰρ τὸ ὑπὸ ἄμπελον ὑποπορεύεσθαι, τὴν ἀναφορὰν ἐπὶ τὸν οἶνον ἔχει, ὡς οὐ θεμιτὸν τῷ ἱερεῖ μεθύσκεσθαι· τῶν γὰρ μεθυσκομένων ὑπὲρ κεφαλῆς ὁ οἶνός ἐστι, καὶ πιέζονται καὶ ταπεινοῦνται· δεῖν ὑπερτέρους εἶναι καὶ κρατεῖν ἀεὶ τῆς ἡδονῆς ταύτης, ἀλλὰ μὴ κρατεῖσθαι. Τὸν δὲ κιττὸν πότερον ὡς ἄκαρπον καὶ ἄχρηστον ἀνθρώποις, ἀδρανῆ δὲ καὶ δι' ἀσθένειαν ἑτέρων ὀχημάτων δεόμενον, σκιᾷ δὲ καὶ χλωρότητος ὄψει γοητεύοντα τοὺς πολλούς, οὐκ ᾤοντο δεῖν ἀσύμβολον ἐν ταῖς οἰκίαις μάτην ἐντρέφεσθαι καὶ περιπλέκεσθαι, βλαβερὸν ὄντα τοῖς προσδεχομένοις φυτοῖς, τῆς γῆς

CXII.

Cur eidem non licet hederam tangere, neque per viam tranſire ubi vitium propagines in ſublimi ſunt prætentæ? An hæc horum ſunt ſimilia, *Non edere in curru, Neque inſidere chœnici, Neque ſcopas tranſcendere?* non iſta metuentibus aut caveri volentibus Pythagoricis, ſed aliis rebus per has ambages interdicere. Ad vinum enim refertur, quod ſubire viti prohibetur ſacerdos: ſcilicet nefas eſſe eum inebriari; qui enim ebrii ſunt, eorum ſuperius capitibus eſt vinum, atque ea degravat et premit: cum par ſit voluptate iſta ſuperiores eſſe, et non vinci a vino, ſed ei moderari. Hederam autem an ut ſterilem et inutilem hominibus, imbecillamque et ea de cauſa aliis quibus innitatur opus habentem, umbraque et virore ſuo multis quaſi præſtigiando imponentem, non voluerunt abſque emolumento et fruſtra in domibus ali, et circumplicare ſe aliis ſtirpibus, quibus ea re no-

Διὸ τῶν μὲν ὀλυμπίων ἱερῶν εἴργεται, καὶ Ἥρας Ἀθήνησιν, οὔτε Θήβησιν ἐν Ἀφροδίτης, ἀν κιττόν· ἀγριωνίοις δὲ καὶ νυκτελίοις, ὧν τὰ διὰ σκότους δρᾶται, πάρεστιν. Ἦ καὶ τοῦτο κὴ θιάσων καὶ βακχευμάτων ἀπαγόρευσις ἦν; ἔνοχοι τοῖς βακχικοῖς πάθεσι γυναῖκες, εὐθὺς κιττὸν φέρονται, καὶ σπαράττουσι δραττόμεναι σοὶ, καὶ διέσθιουσαι τοῖς στόμασιν· ὥστε μὴ παν-πιθάνους εἶναι τοὺς λέγοντας, ὅτι καὶ πνεῦμα ἔχων ἐγερτικὸν καὶ παρακινητικὸν, ἐξίστησι καὶ ει, καὶ ὅλως ἄοινον ἐπάγει μέθην καὶ χάριν τοῖς ῶς πρὸς ἐνθουσιασμὸν ἔχουσι.

ριγ'.

κα τί τοῖς ἱερεῦσι τούτοις ἀρχὴν οὐκ ἐφεῖτο οὐδὲ μετελθεῖν, ἀλλὰ ῥαβδούχῳ τε χρῶνται,

κς] Non dubitavi recipere ex noſtra correctione, præſertim a Mez. nfirmata. Vulgo, κιττὸν ἄγριον, ἴωις δὲ καὶ ν.
ἴλει—χάριν] Forte ταράττει—ταραχήν. Poſſis χάριν item mutare in ραν: Mez. in κάρον.

que occupat? Hanc b rem hedera et O-cris arcetur: et ne-nis in Junonis, ne-is in Veneris ſacris us hederæ ſylveſtri Agrioniis et Nyc-chanalibus, quorum s peragitur in tene-etur. An hoc ipſo o orgia Bacchi vo-: vetita? Bacchicis ibus deditæ mulie-ad hederam ferun-e diſcerpunt mani-entes, et vorantes: ita ut non plane fide careat quod nonnulli dicunt, ineſſe ſpiritum hederæ, qui de ſtatu rationis deturbet, mentemque abalienet, exagitetque et prorſus ebrietatem a nullo ortam vino inducat, ac permoleſtam: ſi quis alioquin hominum ad concitationes animi furioſas, inſtinctuſve divinos ſit proclivis.

CXIII.

Cur iiſdem flaminibus Dialibus permiſſum non eſt ut magiſtratum ſuſcipiant aut ambiant? cum tamen et lictorem

" καὶ δίφρον ἡγεμονικὸν ἐπὶ τιμῇ καὶ παραμυθίᾳ τοῦ " μὴ ἄρχειν ἔχουσι;" Πότερον, ὡς ἐνιαχοῦ τῆς Ἑλλάδος ἀντίρροπον ἦν τὸ τῆς ἱερωσύνης ἀξίωμα πρὸς τὸ τῆς βασιλείας, μὴ τυχόντας ἱερεῖς ἀπεδείκνυσαν; Ἢ μᾶλλον ὅτι τῶν μὲν ἱερῶν ὡρισμένας πράξεις ἐχόντων, τῶν δὲ δημοσίων ἀτάκτους καὶ ἀορίστους, οὐκ ἦν δυνατὸν εἰς ἓν ἅμα τῶν καιρῶν συμπεσόντων ἑκατέρῳ παρ- C
εἶναι τὸν αὐτόν, ἀλλὰ ἔδει θάτερα πολλάκις ἀμφοτέρων ἐπειγόντων ἀπολείποντα, νῦν μὲν ἀσεβεῖν τοὺς θεούς, νῦν δὲ βλάπτειν τοὺς πολίτας; Ἢ ταῖς ἀνθρωπίναις ἐνορῶντες ἀρχαῖς οὐκ ἐλάττονα τῆς ἐξουσίας τὴν ἀνάγκην προσοῦσαν, καὶ τὸν ἄρχοντα δήμου, καθάπερ Ἱπποκράτης ἔφη τὸν ἰατρόν, δεινὰ μὲν ὁρῶντα, δεινῶν δὲ ἁπτόμενον, ἐπ' ἀλλοτρίοις δὲ κακοῖς

B. 8. *βασιλείας, μὴ τυχόντας*] Supplendus locus ita, *βασιλείας, ἢ τοὺς μὴ τυχόντας.*

B. 10. *τῶν δὲ δημοσίων*] Addidimus ex Voſſ. Xylander vertendo ſupplet *τῶν δὲ βασιλέων.* Melius Mez. *τῶν δὲ ἀρχῶν.*

C. 4. *Ἢ ταῖς ἀνθρωπίναις*] Ἢ ſumpſimus a P. Xyl. Mez. Vulgo *αἱ.*

habeant, et ſellam curulem, honoris gratia, utque ferant æquiore animo magiſtratuum gerundorum facultatem ſibi ademptam? An quia in Græcia etiam aliquibus in locis ſacerdotium dignitate regno cum æquale eſſet, repulſam paſſos ſacerdotio dignati ſunt? Aut potius, quod, cum certæ et ordine definitæ eſſent ſacerdotum actiones, regum vero ordine carentes et infinitæ, fieri non poterat ut qui rex ſimul ſacerdoſque eſſet, diverſi generis in eundem temporis articulum incidentibus negotiis utrumque procuraret: ſed neceſſe erat futurum ut utroque urgente alterum omitteret, itaque interdum deos rite non coleret, interdum civibus eſſet damno? Aut quod in magiſtratus humanos intuentes, cum non minus neceſſitate eos, quam poteſtate adminiſtrari obſervarent: populique principem, quod de medico Hippocrates pronunciavit, *multa horrenda adſpectu videre, multa tangere, et ex alienis miſeriis pro fructu ſuas capere mo-*

[illegible]ίας λύπας καρπούμενον, οὐχ ὅσιον ἡγοῦντο θύειν θεοῖς, καὶ ἱερῶν κατάρχεσθαι, γενόμενον ἐν καταδίκαις καὶ θανατώσεσι πολιτῶν, πολλάκις δὲ καὶ συγγενῶν καὶ οἰκείων, οἷα καὶ Βρούτῳ συνέτυχε;

leſtias; impium rati ſunt iſtum diis ſacrificare, et auſpicem eſſe divini cultus, qui damnationibus et capitalibus, lethoque finitis ſuppliciis civium, non raro etiam cognatorum et domeſticorum, ut Bruto uſu venit, interfuiſſet?

ΠΛΟΥΤΑΡΧΟΥ

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΕΛΛΗΝΙΚΑ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΕΛΛΗΝΙΚΑ.

PLUTARCHI

CAPITULORUM DESCRIPTIO.

QUÆSTIONES GRÆCÆ.

α'.

"ΤΙΝΕΣ ἐν Ἐπιδαύρῳ Κονίποδες καὶ Ἄρτυνοι;" Οἱ μὲν τὸ πολίτευμα ὀγδοήκοντα καὶ ἑκατὸν ἄνδρες ἦσαν· ἐκ δὲ τούτων ᾑροῦντο βουλευτάς, οὓς Ἀρτύνους ἐκάλουν. Τοῦ δὲ δήμου τὸ πλεῖστον, ἐν ἀγρῷ διετέλει· ἐκαλοῦντο δὲ Κονίποδες, ὡς συμβαλεῖν ἐστιν,

I.

QUI *ſunt apud Epidaurios Conipodes et Artyni?* Rempublicam tractabant centum et octoginta viri. Ex his ſenatores deligebant, quos appellabant *Artynos*. Major porro populi pars ruri ſolebat verſari: vocabantur autem *Conipodes*, quaſi *pulveripedes*, quod

ἀπὸ τῶν ποδῶν γνωριζόμενοι κεκονιμένων ὁπότε κατέλοιεν εἰς τὴν πόλιν.

β΄.

« Τίς ἡ παρὰ Κυμαίοις Ὀνοβάτις; » Τῶν γυναικῶν τὴν ἐπὶ μοιχείᾳ ληφθεῖσαν ἀγαγόντες εἰς ἀγορὰν, F
ἐπὶ λίθου τινὸς ἐμφανῆ πᾶσι καθίστασαν· εἶτα οὕτως ἀνεβίβαζον ἐπ' ὄνον, καὶ τὴν πόλιν κύκλῳ περιαχθεῖσαν, ἔδει πάλιν ἐπὶ τὸν αὐτὸν λίθον καταστῆναι, καὶ τὸ λοιπὸν ἄτιμον διατελεῖν, Ὀνοβάτιν προσαγορευομένην. Τὸν δὲ λίθον ἀπὸ τούτου οὐ καθαρὸν νομίζοντες, ἀφωσιοῦντο. Ἦν δὲ καὶ Φυλάκτου τις ἀρχὴ παρ' αὐτοῖς· ὁ δὲ, ταύτην ἔχων, τὸν μὲν ἄλλον χρόνον ἐτήρει τὸ δεσμωτήριον, εἰς δὲ τὴν βουλὴν ἐν τῷ νυκτερινῷ συλλόγῳ παριὼν, ἐξῆγε τοὺς βασιλεῖς τῆς χειρὸς, καὶ κατεῖχε, 292
μέχρι περὶ αὐτῶν ἡ βουλὴ διαγνοίη, πότερον ἀδικοῦσιν ἢ οὒ, κρύβδην φέρουσα τὴν ψῆφον.

γ΄.

« Τίς ἡ παρὰ Σόλοις Ὑπεκκαύστρια; » Τὴν τῆς

agnoſcerentur e pedibus pulverulentis, quoties in urbem veniebant.

II.

Quæ eſt apud Cumæos Onobatis? Deprehenſam in adulterio mulierem in forum producebant, et in lapide omnibus conſpicuo ſiſtebant, deinde aſino impoſitam circa urbem circumducebant, poſtea rurſum in eodem lapide adſtare coacta, infamis per totam habebatur vitam, et vocabatur *Onobatis*: lapidem autem ob eam rem ut pollutum abominabantur. Magiſtratus etiam apud hos fuit, qui *phylactes* dicebatur a cuſtodiendo. Eum qui gerebat, reliquo tempore carcerem cuſtodiebat. Nocturno autem concilio in ſenatum veniens, manu injecta reges educebat, ac detinebat donec occulte latis ſuffragiis de iis judicaſſet ſenatus, injuſtene agerent necne.

III.

Quæ eſt apud Solenſes Hypeccauſtria? Sic appellabant

Ἀθηνᾶς ἱέρειαν οὕτω καλοῦσιν, ὅτι ποιεῖταί τινας θυσίας καὶ ἱερουργίας ἀποτροπαίους.

δ΄.

"Τίνες ἐν Κνίδῳ οἱ Ἀμνήμονες; καὶ τίς ὁ Ἀφεστήρ;" Ἑξήκοντα προκρίτους ἄνδρας ἐκ τῶν ἀρίστων, οἷον ἐπισκόποις ἐχρῶντο διὰ βίου καὶ προβούλοις τῶν μεγίστων· ἐκαλοῦντο δὲ Ἀμνήμονες, ὡς ἄν τις εἰκάσειε, διὰ τὸ ἀνυπεύθυνον· εἰ μὴ νὴ Δία πολυμνήμονές τινες ὄντες· ὁ δὲ τὰς γνώμας ἐρωτῶν, Ἀφεστήρ.

έ.

"Τίνες οἱ παρὰ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί;" Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες, ἐποιήσαντο συνθήκας, καὶ στήλην ἐπ' Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται, Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας, καὶ μὴ ἐξεῖναι χρηστοὺς ποιεῖν. Ἐξηγούμενος οὖν ὁ

A. 8. προκρίτους ἄνδρας] Legendum προκρίτοις ἀνδράσι: ſic et Mez.

Minervæ antiſtitam, quod averruncandorum malorum gratia certis quibuſdam ſacris operatur.

IV.

Qui ſunt Cnidiis Amnemones, et quis Apheſter? Ex optimatibus viri ſexaginta delecti erant, quibus per omnem vitam tanquam inſpectoribus utebantur, et eorum ſummis in negotiis auctoritatem ſequebantur. *Amnemones*, id eſt immemores, dictos ſuſpicari licet, quod factorum rationes ab iis non exigebantur: aut potius mehercle, quod plurimum valerent memoria. *Apheſter* autem dicebatur, qui ſententias interrogabat.

V.

Qui ſunt apud Arcades et Lacedæmonios chreſti, id eſt boni? Lacedæmonii Tegeatis reconciliati, fœdus pepigerunt, et communem columnam ad Alpheum poſuerunt: in qua inter alia fœderis capita hoc ſcriptum erat, *Meſſenios regione pellunto, Neminem bonum faciunto.* Hoc Ariſtoteles interpretans, ait eo ſignificari,

Ἀριστοτέλης τοῦτό φησι δύνασθαι, τὸ μὴ ἀποκ βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

ϛʹ.

“ Τίς ὁ παρὰ Ὀπουντίοις Κριθολόγος ;” Οἱ τῶν Ἑλλήνων πρὸς τὰς πάνυ παλαιὰς θυσίας ἐ ταῖς κριθαῖς ἀπαρχομένων τῶν πολιτῶν· τὸν μ ἐπὶ τῶν θυσιῶν ἄρχοντα, καὶ ταύτας κομιζόμεν ἀπαρχὰς, Κριθολόγον ὠνόμαζον. Δύο δὲ ἦσα παρ᾽ αὐτοῖς, ὁ μὲν περὶ τὰ θεῖα τεταγμένος περὶ τὰ δαιμόνια.

ζʹ.

“ Τίνες αἱ Πλωϊάδες νεφέλαι ;” Τὰς ὑπο μάλιστα καὶ περιφερομένας ἐκάλουν πλωϊάδ Θεόφραστος ἐν τετάρτῃ περὶ μεταρσίων εἴρηκεν κα
“ ἐπεὶ δὲ αἱ πλωϊάδες αὗται νεφέλαι καὶ αἱ συ
“ ἀκίνητοι δὲ καὶ τοῖς χρώμασιν ἔκλευκοι, δηλο
“ φορὰν τινα τῆς ὕλης, ὡς οὔτε ἐξυδατουμένης, ἐ
“ πνευματουμένης.”

Tegeatarum neminem debere interfici, qui auxilii cauſa Laconicis rebus ſtuderet.

VI.

Quis eſt apud Opuntios Critbologus ? (Vox hordeum legentem deſignat.) Græcorum plerique in vetuſtiſſimis ſacrificiis hordeo utebantur, primitias ejus civibus offerentibus. Præſidi itaque ſacrorum, et primitias iſtas colligenti, hoc nomen factum eſt. Duos autem habebant ſacerdotes : unum qui deorum, alterum qui geniorum ſacra admin

VII.

Quæ ſunt Ploiades
Quæ maxime imbrem
tum haberent, et circu
rentur, ſic appellabantu
ophraſtus libro de iis
ſublimi fiunt quarto:
inquit, *nebulæ ſunt,*
conſiſtunt : immobiles
colore albo differentia
dam materiæ indican
in aquam neque in
converſæ.

η'.

"Τίς ὁ παρὰ Βοιωτοῖς Πλατυχαίτας;" Τοὺς οἰκίας γειτνιῶντας, ἢ χωρίοις ὁμορροῦντας, αἰολίζοντες οὕτω καλοῦσιν ὡς τὸ πλεῖστον ἔχοντας. Παραθήσομαι δὲ λέξιν μίαν ἐκ τοῦ θεσμοφυλακίου νόμου, πλειόνων οὐσῶν.

θ'.

"Τίς ὁ παρὰ Δελφοῖς Ὁσιωτὴρ, καὶ διὰ τί Βύ-
"σιον ἕνα τῶν μηνῶν καλοῦσι;" Ὁσιωτῆρα μὲν καλοῦσι τὸ θυόμενον ἱερεῖον, ὅταν Ὅσιος ἀποδειχθῇ. Πέντε δέ εἰσιν ὅσιοι διὰ βίου, καὶ τὰ πολλὰ μετὰ τῶν προφητῶν δρῶσιν οὗτοι, καὶ συνιερουργοῦσιν, οἱ γεγονέναι δοκοῦντες ἀπὸ Δευκαλίωνος. Ὁ δὲ Βύσιος μὴν, ὡς μὲν οἱ πολλοὶ νομίζουσι, φύσιός ἐστιν· ἔαρος γὰρ ἄρχει, καὶ τὰ πολλὰ φύεται τηνικαῦτα καὶ διαβλαστάνει. Τὸ δ' ἀληθὲς οὐκ ἔχει οὕτως· οὐ γὰρ ἀντὶ τοῦ Φ τῷ Β χρῶνται Δελφοὶ, καθάπερ Μακεδόνες, Βίλιππον γὰρ καὶ Βαλα-

D. 5. πλεῖστον ἔχοντας] Abeſt in E. et lacuna ejus loco. Forte corruptum et legendum πλησίον ἔχοντας.

VIII.

Quis eſt Bœotorum Platychætas? Sic appellabant ædibus agriſve ſuis vicinos et conterminos, tanquam plurimum poſſidentes. Apponam autem unam vocem ex lege theſmophylacii ſeu archivi, cum ſint plura vocabula.

IX.

Quis eſt apud Delphos Hoſioter, et cur unum de menſibus appellant Byſium? Hoſioter eſt victima quæ immolatur cum creatur Hoſius: (vox *ſanctum* notat). Quinque autem ſunt *Hoſii* per omnem vitam, multiſque in rebus adſunt vatibus, atque una etiam ſacrificant: quippe a Deucalione genus crediti trahere. *Byſius* menſis, ut plerique putant, *Phyſius* eſt, a naſcendo ſic dictus: eſt enim veris initio, quo tempore pleraque naſcuntur et germinant. Sed res ita non habet. Non enim Delphi B littera pro Ph utuntur, ut Macedones, qui *Bilippum*, *Balacrum*, *Beronicam* dicunt,

κρὸν καὶ Βερονίκην λέγοντες, ἀλλ' ἀντὶ τοῦ Π· καὶ γὰρ τὸ Πατεῖν, Βατεῖν, καὶ τὸ Πικρὸν, Βικρὸν ἐπιεικῶς καλοῦσιν. Ἔστιν οὖν Πύσιος ὁ Βύσιος, ἐν ᾧ πυστιῶνται καὶ πυνθάνονται τοῦ θεοῦ· τὸ γὰρ ἐνιοεῖν καὶ πάτριον· ἐν τῷ μηνὶ γὰρ τούτῳ χρηστήριον ἐγίγνετο, καὶ ἑβδόμην ταύτην νομίζουσι τοῦ θεοῦ γενέθλιον, καὶ Πολύφθοον ὀνομάζουσιν, οὐ διὰ τὸ πέττεσθαι φθοῖς, ἀλλὰ πολυπειθῆ F
καὶ πολυμάντευτον οὖσαν. Ὀψὲ γὰρ ἀνείθησαν αἱ κατὰ μῆνα μαντεῖαι τοῖς δεομένοις· πρότερον δὲ ἅπαξ ἐθεμίστευσεν ἡ Πυθία τοῦ ἐνιαυτοῦ κατὰ ταύτην τὴν ἡμέραν, ὡς Καλλισθένης καὶ Ἀναξανδρίδης ἱστορήκασι.

ί.

« Τί τὸ Φυξίμηλον; » Τῶν μικρῶν ἐστι καὶ χαμαι- 293
ζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. Ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ, καὶ διαφύγῃ τὸ

F. 8. ἐνιοεῖν] Nihili hic quidem. Forte corrigendum ἔνικεν.
F. 5. Ἀναξανδρίδης] Ἀλεξανδρίδης corrigit Tib. Hemſterhuſ. ad Polluc. ix. 59. et ad Ariſtoph. Plut. p. 3 4.

quæ ſunt *Philippus*, *Phalacrus*, *Pheronice*, ſed loco litteræ P ſoliti *batein* dicere et *bicron*, quæ ſunt *patein* et *picron*. Eſt ergo *Byſius* dictum pro *Pyſius*, quod eo menſe deum ſcitantur. Atque hæc ſententia convenit cum antiquis Delphorum obſervationibus. Menſe enim iſto oraculum primo exſtitit, et ſeptimanam iſtam deo natalitiam putant, *polyphthoum*que nominant, non a coquendis *phthoibus*, quod eſt placentæ genus, ſed quod multa tum reſponſa deus edat. Sero enim cœpit ſingulis menſibus oracula requirentibus reſpondere: antiquitus ſemel duntaxat in anno vaticinabatur Pythia, idque iſta die, ut Calliſthenes et Anaxandridas tradiderunt.

X.

Quid eſt Phyximelum? Planta eſt exigua et humijacens, cujus germina pecus inambulans conculcat atque affligit, et incrementum impedit. Cum itaque ſe ſubjicit, et ad

βλάπτεσθαι ὑπὸ τῶν ἐπιγενομένων, Φυξίμηλα καλεῖται. Τὸ δὲ μαρτύριον Αἰσχύλου.

ιά.

" Τίνες οἱ Ἀποσφενδόνητοι;" Κέρκυραν τὴν νῆσον Ἐρετριεῖς κατῴκουν· Χαρικράτους δὲ πλεύσαντος ἐκ Κορίνθου μετὰ δυνάμεως, καὶ τῷ πολέμῳ κρατοῦντος, ἐμβάντες εἰς τὰς ναῦς οἱ Ἐρετριεῖς, ἀπέπλευσαν οἴ-
B καδε. Προαισθόμενοι δὲ οἱ πολῖται τῆς χώρας, εἶργον αὐτοὺς, καὶ ἀποβαίνειν ἐκώλυον σφενδονῶντες. Μὴ δυνάμενοι δὲ μήτε πεῖσαι, μήτε βιάσασθαι, πολλοὺς καὶ ἀπαραιτήτους ὄντας, ἐπὶ Θρᾴκης ἔπλευσαν, καὶ καταλαβόντες χωρίον, ἐν ᾧ πρότερον οἰκῆσαι Μέθωνα τὸν Ὀρφέως πρόγονον ἱστοροῦσι, τὴν μὲν πόλιν ὠνόμασαν Μεθώνην, ὑπὸ δὲ τῶν περιοίκων Ἀποσφενδόνητοι προσωνομάσθησαν.

ιβ'.

" Τίς ἡ παρὰ Δελφοῖς Χαρίλα;" Τρεῖς ἄγουσι

A. 5. ἐπιγενομένων] Forte ἐπινεμομένων.
A. 9. κρατοῦντος] Ita Baſ. Xyl. P. Voſſ. Vulgo κρατοῦντες.
B. 6. πρόγονον] Lege ἀπόγονον ut Xyl. reddidit.

juſtam magnitudinem pervenit, evitatis ovium injuriis ac damnis, *phyximelum* dicitur. Teſtis Æſchylus.

XI.

Qui ſunt Apoſphendoneti? Quaſi, *fundarum telis pulſos*, diceres. Corcyram inſulam Eretrienſes incolebant. Charicrate autem a Corintho cum copiis profecto, bello ab eo victi, conſcenſis navibus domum verſus navigarunt. Cives, re mature animadverſa, arcuerunt eos patria, fundiſque impetentes egredi in terram non ſunt paſſi. Cum itaque neque perſuadere hominibus rigidis, neque vim facere multitudini eorum poſſent, in Thraciam navigaverunt. Ibi loco occupato, quem prius coluiſſe Methon Orphei de poſteris unus fertur, urbem Methonam nominaverunt, ipſi a vicinis *Apoſphendoneti* ſunt appellati.

XII.

Quid eſt apud Delphos Charila? Delphi tres deinceps

Δελφοὶ ἐνναετηρίδας κατὰ τὸ ἑξῆς, ὧν τὴν μὲν, Σεπτήριον καλοῦσι, τὴν δ' Ἡρωΐδα, τὴν δὲ Χαρίλαν.

Τὸ μὲν οὖν σεπτήριον ἔοικε μίμημα τῆς πρὸς τὸν C
Πύθωνα τοῦ θεοῦ μάχης εἶναι, καὶ τῆς μετὰ τὴν μάχην ἐπὶ τὰ Τέμπη φυγῆς καὶ ἐκδιώξεως. Οἱ μὲν γὰρ φυγεῖν ἐπὶ τῷ φόνῳ φασὶ χρήζοντα καθαρσίων, οἱ δὲ τῷ Πύθωνι τετρωμένῳ καὶ φεύγοντι, κατὰ τὴν ὁδὸν ἣν νῦν ἱερὰν καλοῦμεν, ἐπακολουθεῖν, καὶ μικρὸν ἀπολειφθῆναι τῆς τελευτῆς· κατέλαβε γὰρ αὐτὸν ἐκ τοῦ τραύματος ἄρτι τεθνηκότα, κεκηδευμένον ὑπὸ τοῦ παιδὸς ᾧ ὄνομα ἦν Αἴξ, ὡς λέγουσι. Τὸ μὲν οὖν σεπτήριον, τούτων ἢ τοιούτων τινῶν ἀπομίμησίς ἐστιν ἑτέρων.

Τῆς δὲ Ἡρωΐδος τὰ πλεῖστα μυστικὸν ἔχει λόγον, ὃν ἴσασιν αἱ Θυιάδες· ἐκ δὲ τῶν δρωμένων φανερῶς Σεμέλης ἄν τις ἀναγωγὴν εἰκάσειε.

Περὶ δὲ τῆς Χαρίλας τοιαῦτά τινα μυθολογοῦσι. Λι- D
μὸς ἐξ αὐχμοῦ τοὺς Δελφοὺς κατέσχε, καὶ πρὸς τὰς

C. 11. μυστικὸν] Hoc ex Voſſ. et P. loco vulgati μυθικόν.

nono quoque anno agunt ſolennitates, *Septerium*, *Heroida*, *Charilam*.

Septerium imitationem habet pugnæ Apollinis cum Pythone, et a pugna fugæ dei ad Tempe, aut perſecutionis. Alii enim fugiſſe eum ferunt, quod peracta cæde opus expiatione haberet: alii Pythonem ſaucium et fugientem via, quæ nunc Sacra dicitur, cum inſequeretur, ſuperveniſſe ei recens e vulnere mortuo, et funerato a filio, cujus nomen Aix, id eſt *capra*, perhibent. *Septerium* ergo harum, aut ſimilium rerum imitatio eſt.

Heroidis pleraque fabuloſam habent rationem, Thyadibus notam: ex iis quæ aguntur, liquido quis excitationem Semeles conjiciat repræſentari.

De *Charila* hæc traditur fabula. Fame ob anni ſiccitatem urgente Delphos, cum liberis et uxoribus cives ad

θύρας τοῦ βασιλέως ἐλθόντες μετὰ τέκνων καὶ γυναικῶν ἱκέτευον· ὁ δὲ τῶν ἀλφίτων καὶ τῶν χεδρόπων μετεδίδου τοῖς γνωριμωτέροις αὐτῶν· οὐ γὰρ ἦν ἱκανὰ πᾶσιν. Ἐλθούσης δὲ παιδὸς ἔτι μικρᾶς ὀρφανῆς γονέων, καὶ προσλιπαρούσης, ἐρράπισεν αὐτὴν ὑποδήματι, καὶ τῷ προσώπῳ τὸ ὑπόδημα προσέρριψεν· ἡ δὲ, πενιχρά τις οὖσα καὶ ἔρημος, οὐκ ἀγεννής τε τὸ ἦθος, ἐκποδὼν γενομένη, καὶ λύσασα τὴν ζώνην, ἀνήρτησεν ἑαυτήν.
E Ἐπιτείνοντος δὲ τοῦ λιμοῦ καὶ νοσημάτων προσγενομένων, ἀνεῖλεν ἡ Πυθία τῷ βασιλεῖ Χαρίλαν ἱλάσκεσθαι παρθένον αὐτοθάνατον. Μόλις οὖν ἀνευρόντες ὅτι τοὔνομα τοῦτ᾽ ἦν τῇ ῥαπισθείσῃ παιδὶ, μεμιγμένην τινὰ καθαρμῷ θυσίαν ἀπετέλεσαν, ἣν ἐπιτελοῦσιν ἔτι καὶ νῦν δι᾽ ἐννέα ἐτῶν. Προκάθηται μὲν γὰρ ὁ βασιλεὺς, τῶν ἀλφίτων καὶ τῶν χεδρόπων ἐπιδιδοὺς πᾶσι καὶ ξένοις καὶ πολίταις, κομίζεται δὲ τῆς Χαρίλας παιδικὸν εἴδωλον· ὅταν οὖν

D. 9. ἀγεννής τε] Recepi τε, ut melius vulgato τις, et confirmatum a codice E. Præſtabat, πενιχρὰ μὲν—οὐκ ἀγεννὴς δέ τις.

fores regis ſupplices venerunt. Is farina et leguminibus notiores ſibi (non enim omnibus ſufficiebat) impertiit. Puella autem parvula cum accederet orba parentibus, et inſtaret petendo, calceo malam ejus percuſſit, calceumque in faciem ejus conjecit: hæc, ut erat animo minime abjecto, pauper alioquin et deſerta, e medio ſe ſubduxit, cinguloque ſoluto fauces illigans ſeſe ſuſpendit. Tum creſcente penuria, et morbis accedentibus, Pythia regi reſpondit, *Placandos eſſe manes Charilæ virginis quæ ipſa ſibi mortem conſciviſſet.* Vix tandem inveſtigato id nomen puellæ quæ alapam accepiſſet fuiſſe, piaculare quoddam ſacrificium peregerunt, quod etiamnum nono quovis anno fit. Præſidet rex, et farinam leguminaque impertit omnibus et peregrinis et civibus: infertur puerile ſimulachrum Charilæ: poſt-

πάντες λάβωσιν, ὁ μὲν βασιλεὺς ῥαπίζει τῷ ὑποδήματι τὸ εἴδωλον, ἡ δὲ τῶν Θυιάδων ἀρχηγὸς ἀραμένη F κομίζει πρός τινα τόπον φαραγγώδη, κἀκεῖ σχοινίον περιάψαντες τῷ τραχήλῳ τοῦ εἰδώλου κατορύττουσιν ὅπου τὴν Χαρίλαν ἀπαγξαμένην ἔθαψαν.

ιγ´.

“ Τί τὸ πτωχικὸν κρέας παρ᾽ Αἰνιᾶσι;” Πλείονες γεγόνασιν Αἰνιάνων μεταναστάσεις. Πρῶτον μὲν γὰρ οἰκοῦντες περὶ τὸ Δώτιον πεδίον, ἐξέπεσον ὑπὸ Λαπιθῶν εἰς Αἴθικας. Ἐκεῖθεν τῆς Μολοσσίας τὴν περὶ τὸν Ἀραύαν χώραν κατέσχον· ὅθεν ὠνομάσθησαν Παραυαῖοι. Μετὰ ταῦτα Κίρραν κατέσχον· ἐν δὲ Κίρρῃ κατα- 294 λεύσαντες Οἴνοκλον τὸν βασιλέα, τοῦ θεοῦ προστάξαντος, εἰς τὴν περὶ τὸν Ἴναχον χώραν κατέβησαν οἰκουμένην ὑπὸ Ἰναχιέων καὶ Ἀχαιῶν. Γενομένου δὲ χρησμοῦ, τοῖς μὲν, ἂν μεταδῶσι τῆς χώρας, ἀποβαλεῖν ἅπασαν· τοῖς

F. 9. Ἀραύαν] Xyl. corrigit Αὔαν: quod confirmat L. Holſtenius ad Steph. Byz. p. 243.

A. 1. καταλεύσαντες] Sequimur Xylandrum et Amiot. atque ipſum Plutarchum, qui ita p. 297. B. Vulgo καταπλεύσαντες.

quam omnibus datum fuit, rex id calceo ferit: quæ autem Thyadum eſt princeps, ſimulachrum ad confragoſum defert locum, ibique collum fune cingentes ſimulachri, id defodiunt ubi olim Charila ſepulta fuerat.

XIII.

Quid eſt mendicatoria caro apud Æneianes? Sæpius migraverunt Æneianes. Principio enim cum habitarent circa Dotium campum, inde a Lapithis ad Æthicas fuerunt expulſi. Poſt Moloſſiæ regionem quæ eſt circa Avum occuparunt, unde iis nomen Paravei factum fuit. Deinde Cirram obtinuerunt: ubi cum juſſu dei regem Œnoclum lapidibus obruiſſent, in regionem Inacho amni adjacentem deſcenderunt, quæ tum ab Inachiis et Achæis tenebatur. His erat oraculum datum, fore ut ſi partem agri darent, univerſum amitterent: illis, po-

δ', ἂν λάβωσι παρ' ἑκόντων, καθέξειν, Τέμων ἀνὴρ ἐλλόγιμος τῶν Αἰνιάνων, ἀναλαβὼν ῥάκια καὶ πήραν, καὶ προσαίτης ὤν, ἀφίκετο πρὸς τοὺς Ἰναχιεῖς· ὕβρει δὲ καὶ πρὸς γέλωτα τοῦ βασιλέως βῶλον ἐπιδόντος αὐτῷ, δεξάμενος εἰς τὴν πήραν ἐνέβαλε, καὶ ἀφανὴς
B ἦν, ἠγαπηκὼς τὸ δῶρον· ἀπεχώρησε γὰρ εὐθὺς οὐδὲν προσαιτήσας. Οἱ δὲ πρεσβύτεροι θαυμάσαντες, ἀνεμιμνήσκοντο τοῦ χρησμοῦ, καὶ τῷ βασιλεῖ προσιόντες, ἔλεγον μὴ καταφρονῆσαι μηδὲ προέσθαι τὸν ἄνθρωπον. Αἰσθόμενος οὖν ὁ Τέμων τὴν διάνοιαν αὐτῶν, ὥρμησε φεύγειν, καὶ διέφυγεν εὐξάμενος τῷ Ἀπόλλωνι καθ' ἑκατόμβης. Ἐκ δὲ τούτου μονομαχοῦσιν οἱ βασιλεῖς, καὶ τὸν τῶν Ἰναχιέων Ὑπέροχον ὁ τῶν Αἰνιάνων Φήμιος, ὁρῶν μετὰ κυνὸς αὐτῷ προσφερόμενον, οὐκ ἔφη δίκαια ποιεῖν, δεύτερον ἐπάγοντα μαχόμενον· ἀπελαύνοντος δὲ τοῦ Ὑπερόχου τὸν κύνα καὶ μεταςρεφομένου λίθῳ βαλὼν

A. 10. ἀφανὴς ἦν] Forte ἐμφανὴς ut Mez.
B. 11. μεταςρεφομένου] Sic E. Vulgo μεταςρεφόμενον.

tituros eſſe, ſi a volentibus acciperent. Tum Temo primi inter Æneianes nominis vir, pannis obſitus, peramque geſtans in morem mendici, ſe ad Inachios contulit: cui cum ludibrii cauſa rex glebam terræ tribuiſſet ſtipem petenti, acceptam eam in peram conjecit, munereque optime contentus iſto ſeſe ſubduxit, nihil porro exigens. Seniores hoc mirari, et in memoriam revocare oraculum, regem adire, hortarique, ne rem negligeret, ſed hominem apprehenderet. Temo animadvertere quid ii cogitarent, fugaque data ad ſuos evadere, vota Apollini hecatomba. Secundum hæc ſingulari prœlio reges congreſſi ſunt: ibi cum Hyperochum Inachiorum regem videret comite cane contra ſe venire Phemius Æneianum rex, injuſte agere dixit qui ſocium ad pugnam adduceret: et avertentem ſe canis abigendi gra-

ὁ Φήμιος ἀναιρεῖ. Κτησάμενοι δὲ τὴν χώραν, τοὺς C
Ἰναχιεῖς μετὰ τῶν Ἀχαιῶν ἐκβαλόντες, τὸν μὲν λίθον ἐκεῖνον ὡς ἱερὸν σέβονται, καὶ θύουσιν αὐτῷ, καὶ τοῦ ἱερείου τῷ δημῷ περικαλύπτουσιν· ὅταν δὲ τῷ Ἀπόλλωνι τὴν ἑκατόμβην ἀποδιδῶσι, τῷ Διῒ βοῦν καθιερεύσαντες, μερίδα τοῖς Τέμωνος ἀπογόνοις ἐξαίρετον νέμουσι, καὶ πτωχικὸν κρέας ἐπονομάζουσι.

ιδʹ.

" Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι; καὶ τίς ὁ " Φάγιλος;" Τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν. Μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος, ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας, καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς D
δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. Αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη· τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας, ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους· ἦν

tia lapidis jactu interfecit. Sic Æneianes potiti ea ditione, pulſis Inachiis atque Achæis, lapidem iſtum tanquam ſacrum colunt, eique rem ſacram faciunt, et adipe hoſtiæ eum tegunt: cumque Apollini hoſtiam perſolvunt, Jovi taurum immolantes, partem carnium eximiam Temonis poſteris tribuunt, ac mendicatoriam carnem appellant.

XIV.

Quinam ſunt apud Ithacenſes Coliadæ, et quis Phagilus?

Adverſus Ulyſſem procorum ab ipſo necatorum neceſſarii ſeditionem moverunt. Arbiter adſcitus ab utraque parte Neoptolemus, judicavit debere Ulyſſem ut ſanguine inquinatum exſulare Cephallenia, Zacyntho, atque Ithaca: ſocios autem et familiares procorum quotannis pro damno rei familiari Ulyſſis illato, ei pendere mulctam. Itaque Ulyſſes in Italiam commigravit, mulctam filio dedicavit, eique ab Ithacenſibus ſolvi juſſit: erat

φίτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα ων. Φάγιλον δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι· ε περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος, κατέ- εὶς τοὺς πολίτας, καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' ου, καὶ Βουκολιῶν ἀπὸ Φιλοιτίου.

ιε'.

Τίς ἡ Ξυλίνη Κύων παρὰ Λοκροῖς;" Φυσκίου τοῦ κτύωνος υἱὸς ἦν Λοκρός· ἐκ δὲ τούτου καὶ Καβύης ς· πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν τῶν ἀναλαβὼν, περὶ ἀποικίας ἐμαντεύετο. Τοῦ δὲ ήσαντος κτίζειν πόλιν ὅπουπερ ἂν τύχῃ δηχθεὶς κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν, σε κυνόσβατον· ἐνοχληθεὶς δὲ τῇ πληγῇ, διέ- ν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ , ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάνθειαν, καὶ τὰς ὅσας οἱ κληθέντες Ὀζόλαι Λοκροὶ κατῴκησαν.

D. 9. Κολιαδῶν] Ita Xyl. et Var. lect. Voſſ. Vulgo Κολιδῶν.

farina, vinum, favi mel- eum, ſal, et victimæ a- es phagilis. Cæterum teles *phagilum* ait eſſe n. Porro Eumæum cum elemachus libertate do- cìvibus inſeruit: eſt- b Eumæo Coliadarum , a Philœtio Bucolio-

XV.

e eſt canis lignea apud ? Locrus Phyſcii filius ictyonis nati ex Cabia habuit Locrum, cum quo poſtquam in diſcordiam incidit, magno civium numero aſſumpto oraculum de colonia deducenda conſuluit: tulitque reſponſum *ibi ſe urbem condere debere, ubi morſus eſſet a cane lignea.* Mari trajecto rubum caninum (*cynoſbaton*, id eſt, fruticem ſpinoſum) calcavit, vulnereque vexatus, per aliquot dies ibi commoratus, regionis natura conſiderata, Phyſcenſes, Hiantheiamque condidit, urbeſque alias quæ a Locris deinde Ozolis cultæ

Ὀζόλας δὲ Λοκροὺς, οἱ μὲν, διὰ τὸν Νέσσον, οἱ δὲ, τὸν Πύθωνα δράκοντα, κληθῆναι λέγουσιν, ἐκβρασθέντας ὑπὸ τῆς θαλάσσης, καὶ σαπέντας ἐν τῇ τῶν Λοκρῶν χώρᾳ· τινὲς δὲ κώδια, καὶ τραγέας τοὺς ἀνθρώπους φορεσιῶντας, καὶ τὰ πλεῖστα συνόντας αἰπολίοις, γενέσθαι δυσώδεις· ἔνιοι δὲ τοὐναντίον, πολυάνθεμον τὴν χώραν οὖσαν, ἀπ' εὐωδίας τοὔνομα λαβεῖν· ὧν ἐστὶ καὶ Ἀρχύτας ὁ Ἀμφισσεύς· γέγραφε γὰρ οὕτω,

Τὴν βοτρυοστέφανον μυρίπνουν μακύναν ἐραννήν. 29

ιϛ´.

"Τί τὸ καλούμενον ὑπὸ Μεγαρέων Ἀφάβρωμα;" Νῖσος ἀφ' οὗ προσηγορεύθη Νισαία, βασιλεύων, ἐκ Βοιωτίας ἔγημεν Ἀβρώτην Ὀγχήστου θυγατέρα, Μεγαρέως δὲ ἀδελφὴν, γυναῖκα καὶ τῷ φρονεῖν, ὡς ἔοικε, περιττὴν καὶ σώφρονα διαφερόντως. Ἀποθανούσης δὲ αὐτῆς; οἵ τε Μεγαρεῖς ἐπένθησαν ἑκουσίως, καὶ ὁ Νῖσος

A. 1. ἐραννήν] Duplex ν poſui, aſſentientibus E. H. Voſſ. P. Xyl.
A. 4. Ὀγχήστου] Sic Baſ. Xyl. E. H. Voſſ. P. Vulgo Οἰχήστου.
A. 5. τῷ φρονεῖν] Repoſui ex Voſſ. Vulgo τὸ φρονεῖν.

ſunt. *Ozolas* autem quaſi *fœtidos* ſi diceres, Locros alii propter Neſſum putant dictos, alii propter Pythonem, qui a mari ejectus in regionem Locrorum, ibi computruerit: alii fœtorem eos contraxiſſe putant, quod pelles ovium ac caprarum pro veſtitu gererent, et plerumque inter caprarum greges viverent: alii contra ſic dictos quaſi *fragrantes* autumant, quod regio ipſorum floribus abundet: e quorum numero eſt etiam Archytas Amphiſſenſis, qui ſic ſcripſit:

Vitiferam, innumeris fragrantem et odoribus illam
Macynam jucundam.

XVI.

Quid rei eſt, quod Megarenſes Aphabroma vocant? Niſus rex Megaridis, quæ ab eo Niſæa fuit cognominata, e Bœotia uxorem duxit Abrotam, Oncheſti filiam, Megarei ſororem, mulierem inſigniter prudentem juxta atque pudicam. Eam vita functam Megarenſes ultro luxerunt: et

ἀϊδίαν τινὰ μνήμην καὶ δόξαν αὐτῆς καταστῆναι βουλόμενος, ἐκέλευε τὰς Μεγαρίδας φορεῖν ἣν ἐκείνη στολὴν B ἐφόρει, καὶ τὴν στολὴν ἀφάβρωμα δι' ἐκείνην ὠνόμασε. Δοκεῖ δὲ τῇ δόξῃ τῆς γυναικὸς καὶ ὁ θεὸς βοηθῆσαι· πολλάκις γὰρ τὰς ἐσθῆτας ἀλλάξαι βουλομένας τὰς Μεγαρίδας, χρησμῷ διεκώλυσε.

ιζ.

" Τίς ὁ Δορύξενος ;" Τὸ παλαιὸν ἡ Μεγαρὶς ᾤκεῖτο κατὰ κώμας, εἰς πέντε μέρη νενεμημένων τῶν πολιτῶν· ἐκαλοῦντο δὲ Ἡραεῖς, καὶ Πιραεῖς, καὶ Μεγαρεῖς, καὶ Κυνοσουρεῖς, καὶ Τριποδισκαῖοι. Τῶν δὲ Κορινθίων πόλεμον αὐτοῖς ἐξεργασαμένων πρὸς ἀλλήλους, (ἀεὶ γὰρ ἐπεβουλεύον ὑφ' αὐτοῖς ποιήσασθαι τὴν Μεγαρικὴν) ὅμως δι' ἐπιείκειαν ἡμέρως ἐπολέμουν καὶ συγγενικῶς. C Τοὺς μὲν γὰρ γεωργοῦντας οὐδεὶς ἠδίκει τὸ παράπαν, τοὺς δ' ἁλισκομένους λύτρον τι τεταγμένον ἔδει κατα-

A. 9. τὰς Μεγαρίδας φορεῖν] Poſui hoc quia habet auctoritatem codicum Voſſ. et P. Vulgo eſt τὰ ὀςᾶ, unde Bryanus acute corrigit τὰς ἀςὰς ad Plut. Vit. T. V. p. 433.

B. 9. ἐξεργασαμένων] An ἐξεγειραμένων.

Niſus ut æternum ei monimentum conficeret, oſſa ipſius quas ea geſſiſſet veſtibus amiciri juſſit, et ab ejus nomine aphabroma appellavit. Videturque gloriam mulieris deus defendiſſe: nam Megarides fœminæ cum veſtem mutare ſæpius ſtatuiſſent, ſemper prohibuit.

XVII.

Quid eſt Doryxenus? Antiquitus Megaris regio colebatur per pagos, in quinque partes diſtributis civibus: dicebantur autem Heraenſes, Piraenſes, Megarenſes, Cynoſurenſes, et Tripodiſcæi. Hos cum Corinthii (qui ſemper Megaricam in ſuam redigere poteſtatem conati ſunt) in bellum civile conjeciſſent, id tamen æquitatis ſtudio ab iis placide fuit ac ſocialiter geſtum. Agricolis enim nemo quiſquam faciebat injuriam: qui captus eſſet, certo ſe pretio redimere opus habebat, quod non

βαλεῖν, καὶ τοῦτο ἐλάμβανον ἀφέντες· πρότερον δὲ οὐκ εἰσέπραττον, ἀλλ' ὁ λαβὼν αἰχμάλωτον, ἀπῆγεν οἴκαδε, καὶ μεταδοὺς ἁλῶν καὶ τραπέζης, ἀπέπεμπεν οἴκαδε. Ὁ μὲν οὖν τὰ λύτρα κομίσας ἐπῃνεῖτο, καὶ φίλος ἀεὶ διετέλει τοῦ λαβόντος, ἐκ δορυαλώτου δορύξενος προσαγορευόμενος· ὁ δ' ἀποστερήσας, οὐ μόνον παρὰ τοῖς πολεμίοις, ἀλλὰ καὶ παρὰ τοῖς πολίταις ὡς ἄδικος καὶ ἄπιστος ἠδόξει.

ιή.

"Τίς ἡ Παλιντοκία;" Μεγαρεῖς Θεαγένη τὸν τύραννον ἐκβαλόντες, ὀλίγον χρόνον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν· εἶτα πολλὴν, κατὰ Πλάτωνα, καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι, τά τε ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο, καὶ παριόντες εἰς τὰς οἰκίας αὐτῶν οἱ πένητες, ἠξίουν ἑστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς· εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι.

ante exigebatur quam eſſet dimiſſus: captivum enim qui ceperat, domum abducebat, impertituſque eum ſale et menſa ſua, domum dimittebat: qui pretium ſui redimendi offerebat, is laudabatur, et amicus ejus qui ceperat ipſum perpetuus manebat, ac pro captivo *doryxenus*, id eſt hoſpes haſta bellica partus appellabatur: qui fraudem ſolutioni feciſſet, non apud hoſtes modo, ſed etiam apud cives infamis ob injuſtitiam et perfidiam habebatur.

XVIII.

Quid eſt Palintocia? Megarenſes cum ejeciſſent tyrannum ſuum Theagenem, non diu civilem tenuerunt modeſtiam: mox oratoribus nimiam eis et meram propinantibus, ut Platonico more loquar, libertatem, omnino corrupti, cum aliis in rebus petulanter divites tractaverunt, tum in ædes eorum venerunt, utque ſibi ſplendidum appararetur convivium poſtularunt: ac ſi repulſam paterentur, vim libidinemque in omnes exercuerunt. Deni-

Τέλος δὲ δόγμα θέμενοι τὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειστῶν, ὓς δεδωκότες ἐτύγχανον, παλιντοκίαν τὸ γινόμενον προσαγορεύσαντες.

ιθ'.

" Τίς ἡ Ἀνθηδὼν, περὶ ἧς ἡ Πυθιὰς εἶπε,

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,

" ἡ γὰρ ἐν Βοιωτοῖς, οὐκ ἔστι πολύοινος;" Τὴν Καλαυρίαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. Ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων, Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον· εἶχε δὲ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί·

Πῖν' οἶνον τρυγίαν· ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,
Οὐδ' ἱερὰν Ὑπέρειαν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες.

ταῦτα μὲν ὁ Ἀριστοτέλης. Ὁ δὲ Μνασιγείτων φησὶν, Ὑπέρης ἀδελφὸν ὄντα τὸν Ἄνθον, ἔτι νήπιον ἀπολέσθαι, καὶ τὸν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανώμενον, εἰς Φερὰς

que facto plebiſcito, a fœneratoribus fœnora quæ ipſis perſolverant repetiverunt: et factum hoc a receptione fœnorum *palintociam* dixerunt.

XIX.

Quænam eſt Anthedon, de qua Pythias dixit,

Fæcatum bibe vinum, ut non Anthedone degens,

neque enim Bœotiæ Anthedon vini ferax eſt multi? Calauria antiquitus dicta fuit Irene a fœmina Irena, quam fabulantur natam Neptuno et Melantheia Alphei filia. Poſtmodo cum Anthes Hypereſque cum ſuis ibi habitarent, dicta fuit Anthedonia et Hypereia. Oraculum, ut Ariſtoteles tradit, tale fuit:

Fæcatum bibe vinum, ut non Anthedone degens,
Aut Hyperæ ſacræ, quod ibi ſine fæce bibiſſes.

Mnaſigeito autem ſcribit, Anthum Hyperæ fratrem etiamnum infantem fuiſſe amiſſum, Hyperemque vagatum ejus quærendi cauſa, Pheras ad A-

πρὸς Ἄκαστον ἢ Ἄδραστον ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος· ὡς οὖν εἱστιῶντο, τὸν παῖδα προσφέροντα τῷ ἀδελφῷ τὸ ποτήριον, ἐπιγνῶναι, καὶ εἰπεῖν πρὸς αὐτὸν ἡσυχῇ,

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις.

κ'.

" Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυῒ Σκότος;" Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, τὰ μὲν ἄλλα 296
μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης, χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν. Ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβάλοντες παρὰ τὴν καλουμένην δρῦν, τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. Ταῖς δὲ Πριηνέων γυναιξὶν ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος ὁ περὶ τῶν με-

F. 4. ἢ Ἄδραστον] Videtur delendum, ut monuit Bryan. ad Vit. Plut. t. i. p. 83.

caſtum aut Adraſtum veniſſe, ubi tum forte Anthus ſervus a poculis erat: hunc in convivio fratrem, cui poculum præbebat, agnoviſſe, et clam ei dixiſſe,

Fæcatum bibe vinum, ut non Anthedone degens.

XX.

Quid ſibi volunt tenebræ apud quercum, quæ Prienæ memorantur? Samii et Prienæi bello commiſſo, mediocribus invicem damnis ſe affecerunt: collatis autem ſignis, Prienæi Samios mille trucidaverunt: ſeptimoque poſt anno cum Mileſiis pugna congreſſi ad locum qui Quercus dicitur, optimos primoſque civium amiſerunt: quo tempore Bias Priena in Samum miſſus legatus claruit. Cum autem Prienæas mulieres calamitas hæc graviter perculiſſet, exſecratio et jurejurandum maximis de rebus conſtitutum eſt *per te-*

Ὁ περὶ δρυὶ σκότος, διὰ τὸ παῖδας αὐτοῦ καὶ ις καὶ ἄνδρας ἐκεῖ φονευθῆναι.

κα΄.

Τίνες οἱ περὶ Κρησὶ λεγόμενοι Καταχαῦται;" ὺς φασι τοὺς τὰς Ἀθηναίων θυγατέρας καὶ γυναῖ-ας Βραύρωνος ἁρπάσαντας, ὁπηνίκα Λῆμνον καὶ ν κατῴκουν, εἶτα ἐκπεσόντας, εἰς τὴν Λακωνικὴν θαι, καὶ γενέσθαι ἐπιμιξίαν αὐτοῖς, μέχρι παίδων ς πρὸς τὰς ἐγχωρίους γυναῖκας· ἐκ δ' ὑποψίας αβολῆς πάλιν ἀναγκασθέντες ἐκλιπεῖν τὴν Λα-ὺ, μετὰ παίδων καὶ γυναικῶν εἰς Κρήτην κατᾶραι, ἡγεμόνα καὶ τὸν ἀδελφὸν ἔχοντας· ἐκεῖ δὲ πο-ας τοῖς κατέχουσι τὴν Κρήτην, πολλοὺς περιορᾶν ν ταῖς μάχαις ἀποθνησκόντων ἀτάφους, τὸ μὲν ν ἀσχόλους διὰ τὸν πόλεμον ὄντας καὶ τὸν κίνδυνον, δὲ φεύγοντας ἅπτεσθαι νεκρῶν ἐφθαρμένων ὑπὸ καὶ διερρυηκότων· τὸν οὖν Πόλλιν ἐξευρόντα τιμάς

γκασθέντες] Legendum ἀναγκασθέντας.
λφὸν] Hic et mox infra, legendum Δελφόν. Vide ad p. 247. C.

ad quercum : quod ibi arentes, virique earum oppetiiſſent.

XXI.

ſunt qui apud Creten-tur Katakautæ? Tyr-ferunt, qui quo tem-brum ac Lemnum te-t, Athenienſium filias res e Braurone rapue-dibus pulſos in Laco-veniſſe, et cum ejus re-mulieribus tantum ha-commercii, ut etiam li-beros ex iis procrearent. Ob ſuſpicionem vero et calumni-am coactos Laconica cum ux-oribus et liberis excedere, Polli et fratre ducibus, in Cretam appuliſſe : ibi bellum cum in-colis gerentes, multos qui in pugnis cecidiſſent inſepultos jacere paſſos fuiſſe, cum et humare initio ob bellum et pericula non vacaret, et poſtea cadavera tempore corrupta et putredine ſoluta tangere pige-ret. Ibi Pollin excogitaſſe ho-

τινας καὶ προνομίας καὶ ἀτελείας ἀποδοῦναι, τοῖς μὲν τοῖς ἱερεῦσι τῶν θεῶν, τοῖς δὲ τοῖς ταφεῦσι τῶν τετελευτηκότων, ἐπιφημίσαντα καὶ ταῦτα δαίμοσι χθονίοις, ὅπως ἀναφαίρετοι διαμένοιεν· εἶτα κλήρῳ διαλαχεῖν πρὸς τὸν ἀδελφόν· ὀνομασθῆναι δὲ, τοὺς μὲν, ἱερεῖς, τοὺς δὲ, κατακαῦτας· καὶ πολιτεύεσθαι μὲν αὐτοὺς καθ' αὑτοὺς, ἔχειν δὲ μετὰ τῶν ἄλλων φιλανθρώπων, καὶ ἄδειαν D ἀδικημάτων οἷς ἄλλοι Κρῆτες εἰώθασι χρῆσθαι πρὸς ἀλλήλους, ἄγοντες λαθραίως καὶ ἀποφέροντες· ἐκείνους γὰρ οὐδὲν ἀδικεῖν, οὐδὲ κλέπτειν οὐδὲν, οὐδὲ ἀφαιρεῖσθαι.

κβ'.

"Τίς ὁ Παίδων τάφος παρὰ Χαλκιδεῦσι;" Κόθος καὶ Ἄρκλος οἱ Ξούθου παῖδες εἰς Εὔβοιαν ἧκον οἰκήσοντες, Αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων. Ἦν δὲ τῷ Κόθῳ λόγιον, "εὖ πράξειν καὶ περιέσεσθαι τῶν "πολεμίων, ἐὰν πρίηται τὴν χώραν." Ἀποβὰς οὖν μετ' ὀλίγον, ἐνέτυχε παίζουσι παιδαρίοις παρὰ τὴν

D. 10. μετ' ὀλίγον] μετ' ὀλίγων. Mez. recte.

nores quoſdam et privilegia immunitateſque, quarum alias ſacerdotibus, alias cadaverum ſepultoribus tribueret, utque perpetua iſta eſſent, diis Manibus ea conſecraſſe: ſortitum deinde cum fratre ſuper iis fuiſſe. Itaque aliis nomen ſacerdotum, aliis catacautarum (a cremandis cadaveribus) obtigiſſe: utroſque ſeorſim ſuam rempublicam habere: cumque Cretenſes mutuo furtis et rapinis ſe infeſtent, ad alias humaniter ipſis conceſſas immunitates id quoque accedere, quod ab iis omnia id genus maleficia abſtinentur.

XXII.

Quid rei eſt puerorum ſepulchrum apud Chalcidenſes? Cothus et Arclus Xuthi filii in Eubœam habitatum venerunt, cum Æolenſes pleraſque inſulæ ejus partes obtinerent. Oraculum autem Cotho datum erat, *ſi emiſſet terram, fore ut rebus uteretur ſecundis, hoſteſque ſuperaret.* Facta exſcenſione, mox incidit in pue-

θάλασσαν· συμπαίζων οὖν αὐτοῖς καὶ φιλοφρονούμενος,
E ἔδειξε παίγνια πολλὰ τῶν ξενικῶν· ὡς δὲ ἑώρα τοὺς παῖδας ἐπιθυμοῦντας λαβεῖν, οὐκ ἔφησεν αὐτοῖς δώσειν ἄλλως εἰ μὴ τῆς γῆς λάβοι παρ' αὐτῶν· οἱ δὲ παῖδες οὕτως ἀναιρούμενοι χαμᾶθεν ἐδίδοσαν, καὶ τὰ παίγνια λαβόντες ἀπηλλάγησαν. Οἱ δὲ Αἰολεῖς αἰσθόμενοι τὸ γεγονὸς, καὶ τῶν πολεμίων αὐτοῖς ἐπιπλεόντων, ὑπ' ὀργῆς καὶ λύπης διεχρήσαντο τοὺς παῖδας· ἐτάφησαν δὲ παρὰ τὴν ὁδὸν ᾗ βαδίζουσιν ἐκ πόλεως ἐπὶ τὸν Εὔριπον, καὶ ὁ τόπος Τάφος Παίδων καλεῖται.

κγ'.

« Τίς ὁ Μιξαρχαγέτας ἐν Ἄργει; καὶ τίνες οἱ Ἐ-
F « λάσιοι; » Μιξαρχαγέταν τὸν Κάστορα καλοῦσι, καὶ νομίζουσι παρ' αὐτοῖς τεθάφθαι· τὸν δὲ Πολυδεύκην ὡς ἕνα τῶν Ὀλυμπίων σέβονται. Τοὺς δὲ τὰς ἐπιληψίας ἀποτρέπειν δοκοῦντας, Ἐλασίους μὲν ὀνομάζουσι, δοκοῦσι

E. 10. Μιξαρχαγέτας] Recepi ex emendatione Mez. et Valckenarii ad Theocrit. p. 278.

ros ludentes apud mare: quibus ſe cum addidiſſet ſocium, ac multa peregrina ludicra monſtraviſſet, ut ſenſit ea ipſos cupere accipere, negavit ſe alia lege daturum, quam ſi terram ab ipſis accepiſſet: pueri proinde terram humi ſublatam ei dederunt, ludicriſque acceptis diſceſſerunt. Æoles re comperta, cum hoſtes navibus contra ipſos adveherentur, ira doloreque conciti pueros interfecerunt. Sepulti ſunt juxta viam qua ex urbe ad Euripum itur, locuſque *Puerorum ſepulchrum* dicitur.

XXIII.

Quis eſt Argis Mixarchagetus, et qui ſunt Elaſiæ? Mixarchagetam appellant Caſtorem, et apud ſe putant ſepultum. Pollucem autem colunt ut unum de diis Olympiis (ſeu Cœlitibus). Jam quidam qui ſunt de poſteris Alexidæ Amphiarai filiæ, morbum comitialem avertere cum

δὲ τῶν Ἀλεξίδας τῆς Ἀμφιαράου θυγατρὸς ἀπογόνων εἶναι).

κδ΄.

"Τί τὸ παρ' Ἀργείοις λεγόμενον Ἔγκνισμα;" Τοῖς ἀποβαλοῦσί τινα συγγενῶν ἢ συνήθων, ἔθος ἐστὶ μετὰ πένθος εὐθὺς τῷ Ἀπόλλωνι θύειν, ἡμέραις δὲ ὕστερον τριάκοντα, τῷ Ἑρμῇ. Νομίζουσι γὰρ, ὥσπερ τὰ σώματα τῶν ἀποθανόντων δέχεσθαι τὴν γῆν, οὕτω τὰς ψυχὰς τὸν Ἑρμῆν. Τῷ δὲ Ἀπόλλωνος τῷ ἀμφιπόλῳ κριθὰς διδόντες, λαμβάνουσι κρέας τοῦ ἱερείου, καὶ τὸ πῦρ ἀποσβέσαντες ὡς μεμιασμένον, παρ' ἑτέρων δὲ ἐναυσάμενοι τοῦτο τὸ κρέας ὀπτῶσιν, Ἔγκνισμα προσαγορεύοντες.

κε΄.

"Τίς Ἀλάστωρ, Ἀλιτήριος, Παλαμναῖος;" Οὐ γὰρ πειστέον τοῖς λέγουσι ἀλιτηρίους κεκλῆσθαι τοὺς ἐπιτηροῦντας ἐν τῷ λιμῷ τὸν ἀλοῦντα καὶ διαρπάζοντας· ἀλλὰ ἀλάστωρ μὲν κέκληται ὁ ἄληστα καὶ πολὺν χρόνον μνημονευθησόμενα δεδρακώς· ἀλιτήριος δὲ,

exiſtimentur, (a depellendo) *Elaſiæ* dicuntur.

XXIV.

Quid eſt Encniſma Argivorum? Qui cognatum aut familiarem amiſiſſet, ſolebat ſtatim a luctu rem ſacram Apollini facere, ac triginta poſt diebus Mercurio. Exiſtimant enim ſicut corpora mortuorum terra, ita a Mercurio animas excipi. Apollinis autem miniſtro hordeum dantes, carnem hoſtiæ accipiunt, ignemque ut pollutum exſtinguentes, aliunde novum accendunt, quo carnem eam coquant, eamque *encniſma* appellabant (a nidore ducta voce).

XXV.

Quid ſignificant Alaſtor, Aliterius, Palamnæus? non enim fides habenda eſt aliterios dictos perhibentibus qui famis tempore obſervant molentes (hos Græci vocant *aluntas*) et farinam diripiunt. Verum eſt *Alaſtor* qui perpetravit *alaſta* (id eſt oblivioni numquam mandanda) ſed diutur-

λεύασθαι καὶ φυλάξασθαι διὰ μοχθηρίαν καλῶς. Ταῦτα, φησὶν ὁ Σωκράτης, ἐν διφθέραις χαλ-γεγράφασι.

κϛʹ.

Τίνος ἔχεται διανοίας τὸ τοὺς ἀπάγοντας εἰς Κασ-παίαν τὸν βοῦν, ἐξ Αἴνου καὶ τὰς παρθένους προ-πεμπούσας ἐπᾴδειν ἄχρι τῶν ὅρων;

> Μήποτε νοστήσαιτε φίλην ἐς πατρίδα γαῖαν;"

ἶνες ὑπὸ Λαπιθῶν ἐξαναστάντες τὸ πρῶτον, ᾤκη-σαν περὶ τὴν Αἰθικίαν, εἶτα περὶ τὴν Μολοσσίδα καὶ ιοπαίαν· οὐδὲν δὲ χρηστὸν ἀπὸ τῆς χώρας ἔχοντες, καὶ χαλεποῖς χρώμενοι περιοίκοις, εἰς τὸ Κιῤ-πεδίον ἧκον, Ὀνόκλου τοῦ βασιλέως ἄγοντος αὐτούς. δὲ μεγάλων αὐχμῶν γενομένων, κατὰ χρησμὸν, ὥς αι, τὸν Ὄνοκλον καταλεύσαντες, καὶ πάλιν πλα-ες, εἰς ταύτην ἀφίκοντο τὴν χώραν ἣν νῦν ἔχουσιν, ην καὶ πάμφορον οὖσαν. Ὅθεν εἰκότως εὔχονται

B. 2. καὶ τὰς παρθένους] καὶ addidi ex E.

abitura memoriam. *Ali-* quem vitare (*aleuaſtæ*) nprobitatem convenit. Socrates ait facinora in æreis inſcripta fuiſſe.

XXVI.

ſenſu ſit, quod qui Æno Caſſiopæam abducunt, iis es quæ eos deducunt uſ- fines, accinunt,

> *m in dulcem nunquam patriam deatis?*

nes primum a Lapithis pulſi circa Æthiciam, deinde apud Moloſſidem et Caſſiopæam habitaverunt: quæ regio cum nulli eſſet ipſis uſui, moleſtoſque præterea haberent vicinos, in Cirrhæum campum Onoclo rege ducente tranſiverunt. Ubi cum gravis ſiccitas et crebra urgeret, oraculo, ut fertur, juſſi Onoclum interfecerunt, rurſumque vagati, eam occupaverunt regionem, quam nunc obtinent bonam et feraciſſimam. Itaque

τοῖς θεοῖς, εἰς τὴν παλαιὰν πατρίδα μὴ ἐπανελθεῖν, ἀλλ' αὐτοῦ καταμένειν εὐδαιμονοῦντας.

κζ'.

" Τί δή ποτε παρὰ Ῥοδίοις εἰς τὸ τοῦ Ὀκριδίωνος " ἡρῷον οὐκ εἰσέρχεται κῆρυξ;" Ἢ ὅτι Ὄχιμος τὴν θυγατέρα Κυδίππην ἐνεγγύησεν Ὀχριδίωνι; Κέρκαφος δὲ ἀδελφὸς ὢν Ὀχίμου, τῆς δὲ παιδὸς ἐρῶν, ἔπεισε τὸν κήρυκα (διὰ κηρύκων γὰρ ἔθος ἦν τὸ μετέρχεσθαι τὰς νύμφας) ὅταν παραλάβῃ τὴν Κυδίππην, πρὸς ἑαυτὸν D
ἀγαγεῖν· τούτου δὲ πραχθέντος ὁ μὲν Κέρκαφος ἔχων τὴν κόρην ἔφυγεν, ὕστερον δὲ τοῦ Ὀχίμου γηράσαντος ἐπανῆλθε· τοῖς δὲ Ῥοδίοις ἔθος κατέστη κήρυκα μὴ προσιέναι τῷ τοῦ Ὀχριδίωνος ἡρῴῳ, διὰ τὴν γενομένην ἀδικίαν.

κη'.

" Τί δή ποτε παρὰ Τενεδίοις εἰς τὸ τοῦ Τένου ἱερὸν " οὐκ ἔξεστιν αὐλητὴν εἰσελθεῖν, οὐδ' Ἀχιλλέως ἐν τῷ

D. 4. Ῥοδίοις ἔθος κατέστη] Aſſumpſi ἔθος ex Venet. Voſſ. P. Ita plenior ſit oratio vulgata, quamquam nec ipſa plane repudianda.

non injuria a diis petunt ne unquam in patriam antiquam redeundum ſit, ſed lætis rebus ibi permanendum.

XXVII.

Cur apud Rhodios in ſacellum Ocridionis non ingreditur præco? An res ita habet? Ochimus Cydippen filiam deſpondit Ocridioni: ſed Cercaphus Ochimi frater, cum amore puellæ laboraret, præconi (nam per hos arceſſi ſponſas moris erat) perſuaſit, ut ſponſam acceptam ſibi adduceret: quo facto Cercaphus cum puella profugit: et Ochimo demum jam ſene facto rediit. Rhodii itaque ſanxerunt, injuriæ iſtius cauſa, ne quis præconum intraret in ſacellum Ocridionis.

XXVIII.

Cur apud Tenedios in Tenæ fanum tibicini intrare, ibidemque Achillis nomen proferri non

ηθῆναι ;” Ἢ, ὅτι τῆς μητρυιᾶς τὸν Τένην
ύσης ὡς βουλόμενον αὐτῇ συγγενέσθαι, Μόλπος
ς τὰ ψευδῆ κατεμαρτύρησεν αὐτοῦ, διὰ τοῦτο
συνέπεσε φεύγειν εἰς Τένεδον μετὰ τῆς ἀδελφῆς ;
δὲ λέγεται τὴν μητέρα Θέτιν ἰσχυρῶς ἀγορεῦσαι
ιν τὸν Τένην, ὡς τιμώμενον ὑπὸ Ἀπόλλωνος,
ιεγγυῆσαι ἑνὶ τῶν οἰκετῶν, ὅπως προσέχῃ καὶ
σκῃ, μὴ λάθοι κτείνας ὁ Ἀχιλλεὺς τὸν Τένην.
τὴν Τένεδον κατατρέχων ἐδίωκε τὴν ἀδελφὴν
καλὴν οὖσαν, ἀπαντήσας τε ὁ Τένης ἠμύνετο
; ἀδελφῆς· καὶ ἡ μὲν ἐξέφυγεν, ὁ δὲ Τένης
Ὁ δ᾽ Ἀχιλλεὺς πεσόντα τοῦτον ἐγνώρισε, τὸν
ην ἀπέκτεινεν, ὅτι παρὼν οὐκ ἀνέμνησεν· τὸν
έθαψεν, οὗ νῦν τὸ ἱερόν ἐστι, καὶ οὔτε αὐλητὴς
τε Ἀχιλλεὺς ὀνομάζεται.

ϛαι] Haud ſcio an rectius ſit ἀπαγορεῦσαι quod habet Voſſ. a cor-tore.

γνώρισε] Dedi ex E pro vulgato γνωρίσας quod conſtructionem la-actabat.

um noverca Tenem
taſſet de inceſto con-
Molpus tibicen fal-
nonium contra Te-
; quo factum eſt ut
m ſorore profugere
um ſit coactus. A-
o, ut aiunt, Thetis
ere mandaverat ne
quippe Apollini ca-
ret, unique famulo-
tium dederat, ut ani-
rteret, Achillemque
ne per imprudentiam

Teni necem inferret. Sed cum Achilles Tenedum populans ſororem Tenæ, utpote formoſam, inſequeretur, Teneſque obviam iens pro ſorore propugnaret, eaque fuga elapſa ipſe eſſet interfectus, Achilles re cognita famulum occidit, quod præſens eum non monuiſſet, Tenemque ſepelivit: hujus fanum eſt hodieque, in quod neque tibicen intrat, neque Achillis in eo nomen auditur.

κθʹ.

“ Τίς ὁ παρ' Ἐπιδαμνίοις Πωλήτης ;” Ἐπιδάμνιοι γειτνιῶντες Ἰλλυριοῖς ᾐσθάνοντο τοὺς ἐπιμιγνυμένους αὐτοῖς πολίτας γιγνομένους πονηρούς, καὶ φοβούμενοι νεωτερισμόν, ᾑροῦντο πρὸς τὰ τοιαῦτα συμβόλαια καὶ τὰς ἀμείψεις καθ' ἕκαστον ἐνιαυτὸν ἕνα τῶν δεδοκιμασμένων παρ' αὐτοῖς, ὃς ἐπιφοιτῶν τοῖς βαρβάροις, παρεῖχεν ἀγορὰν καὶ διάθεσιν πᾶσι τοῖς πολίταις, πωλήτης 298 προσαγορευόμενος.

λʹ.

“ Τίς ἡ περὶ Θρᾴκην Ἀραίνου ἀκτή ;” Ἄνδριοι καὶ Χαλκιδεῖς πλεύσαντες εἰς Θρᾴκην οἰκήσεως ἕνεκα, Σάνην μὲν πόλιν ἐκ προδοσίας κοινῇ παρέλαβον· τὴν δὲ Ἄκανθον ἐκλελοιπέναι τοὺς βαρβάρους πυνθανόμενοι, δύο κατασκόπους ἔπεμψαν. Ὡς δὲ τῇ πόλει προσιόντες παντάπασι πεφευγότας ᾐσθάνοντο τοὺς πολεμίους, ὁ μὲν Χαλκιδικὸς προεξέδραμεν ὡς καταληψόμενος

A. 3. Ἀραίνου] E. H. Ven. P. Ἀράνου item mox infra.

XXIX.

Quis eſt apud Epidamnios Poletes? Epidamnii Illyriorum vicini, cum ſuos cives cum iſtis commercia agitantes viderent deteriores fieri, et ea de cauſa ſibi a novis rebus metuerent, ad contractus et permutationes iſtas quotannis unum ſpectatæ vitæ civem delegerunt, qui ad barbaros commeans omnium civium nomine cum his negotiaretur, poleteſque (ab iſto commeatu) diceretur.

XXX.

Quænam eſt ad Thraciam Aræni acta? Andrii et Chalcidenſes cum ſedium petendarum cauſa in Thraciam navigaſſent, Sanen urbem communi jure, proditione deditam, ceperunt: audito autem Acanthum a barbaris deſertam, duos miſerunt eo exploratores. Qui cum ad urbem acceſſiſſent, hoſteſque plane profugiſſe deprehenderent, Chalcidenſis

ιδεῦσι τὴν πόλιν· ὁ δὲ Ἄνδριος ὐ συνεξανύτων,
δόρυ, καὶ ταῖς πύλαις ἐμπαρέντος μετὰ βολῆς,
η παισὶν αἰχμῇ προκατειλῆφθαι τὴν πόλιν.
διαφορᾶς γενομένης, ἄνευ πολέμου συνέβη-
ρεσίοις καὶ Σαμίοις καὶ Παρίοις χρήσασθαι
ν διαιτηταῖς. Ἐπεὶ δ᾽ οἱ μὲν Ἐρυθραῖοι καὶ
τὴν ψῆφον Ἀνδρίοις ἤνεγκαν, οἱ δὲ Πάριοι
ιν, ἀρὰς ἔθεντο περὶ τὸν τόπον τοῦτον οἱ Ἄν-
αὐτῶν, μήτε δοῦναι γυναῖκα Παρίοις, μήτε
αὐτῶν. Καὶ διὰ τοῦτο προσηγόρευσαν ἀκ-
ς, πρότερον ὀνομαζομένην Δράκοντος.

λα'.

τί τοῖς θεσμοφορίοις αἱ τῶν Ἐρετριέων γυναῖκες
πῦρ, ἀλλὰ πρὸς ἥλιον ὀπτῶσι τὰ κρέα, καὶ
ειαν οὐ καλοῦσιν;" Ἦ ὅτι ταῖς αἰχμα-
ήγεν ἐκ Τροίας Ἀγαμέμνων, ἐνταῦθα συνέβη

A. 11. μετὰ βολῆς] Forte rectius E. μετὰ βοῆς.

t tanquam civibus
occupaturus: at
ı eum curſu non
haſtam conjectam
rbis portæ infixit,
ndriis urbem eam
onunciavit. Or-
rdia, quæ tamen
n erupit, ita con-
rtes, ut Erythræ-
: Pariis arbitrium
e controverſiæ de-
c cum Erythræi
undum Andrios
nt, Parii autem
o cauſam probaſ-
ſent: eo loco Andrii conceptis verbis Parios deteſtati ſunt, ſeque nullum poſtmodo dandarum aut accipiendarum mulierum commercium cum illis habituros pronunciaverunt. Itaque litus illud *Aræni* appellarunt, cum ante Draconis diceretur.

XXXI.

Cur theſmophoriis ſacris Eretrienſium mulieres non ad ignem carnes, ſed ad Solem aſſant? neque Calligeneiam invocant? An quia captivis quas a Troja abduxit Aga-

θεσμοφόρια θύειν, πλοῦ δὲ φανέντος, ἐξαίφνης ἀνήχθησαν ἀτελῆ τὴν θυσίαν καταλιποῦσαι;

λβ´.

“Τίνες οἱ Ἀειναῦται παρὰ Μιλησίοις;” Τῶν περὶ Θόαντα καὶ Δαμασήνορα τυράννων καταλυθέντων, ἑταιρεῖαι δύο τὴν πόλιν κατέσχον, ὧν ἡ μὲν ἐκαλεῖτο Πλουτὶς, ἡ δὲ Χειρομάχα. Κρατήσαντες οὖν οἱ δυνατοὶ, καὶ τὰ πράγματα περιστήσαντες εἰς τὴν ἑταιρείαν, ἐβουλεύοντο περὶ τῶν μεγίστων, ἐμβαίνοντες εἰς τὰ πλοῖα, καὶ πόῤῥω τῆς γῆς ἐπανάγοντες· κυρώσαντες δὲ τὴν γνώμην, κατέπλεον, καὶ διὰ τοῦτο Ἀειναῦται προσηγορεύθησαν. D

λγ´.

“Τί δή ποτε Χαλκιδεῖς τὸν περὶ τὸ Πυρσόφιον “τόπον Ἀκμαίων Λέσχην καλοῦσι;” Τὸν Ναύπλιόν φασιν ὑπὸ τῶν Ἀχαιῶν διωκόμενον, Χαλκιδεῖς ἱκετεῦσαι, καὶ τὰ μὲν περὶ τῆς αἰτίας ἀπολογεῖσθαι, τὰ δ᾽ αὐτὸν ἀντεγκαλεῖν τοῖς Ἀχαιοῖς. Ἐκδιδόναι μὲν αὐ-

memnon, uſuvenit ut ibi theſmophoria cum facerent, tempeſtate ad navigandum apta oblata, ſubito aveherentur, imperfecto ſacrificio?

XXXII.

Qui ſunt Mileſiis Aeinautæ? Thoante et Damaſenore tyrannis dejectis, duæ Mileti ſodalitates urbem obtinuerunt, quarum altera *Plontis*, altera *Cheiromacha* dicebatur. Cum autem potentes prævaluiſſent, rerumque ſummam ad ſe tranſtuliſſent, deliberaturi de maximis negotiis in navigia ingreſſi, ac longe a terra provecti, facto decreto reverterunt: hinc illis *Aeinautarum* nomen, id eſt ſemper navigantium.

XXXIII.

Quamobrem Chalcidenſes locum qui ad Pyrſophium eſt, Acmæon Leſcham, id eſt, *ætate vigentium conventui ac confabulationibus deſtinatum publice locum, appellant?* Nauplium ferunt perſequentibus ipſum Achæis ſupplicem factum Chalcidenſibus, qua diluiſſe crimina, qua alia viciſſim Achæis objeciſſe. Chalcidenſes nequaquam de eo dedendo co-

λχιδεῖς οὐδὲ ἐμέλλησαν· δεδιότες δὲ μὴ δόλῳ φυλακὴν ἔδοσαν αὐτῷ τοὺς ἀκμάζοντας νεανίσ- κατέστησαν εἰς τὸν τόπον τοῦτον ὅπου συνῆσαι ἅμα καὶ τὸν Ναύπλιον παρεφύλαττον.

λδʹ.

ς ὁ βοῦν εὐεργέτῃ θύσας;" Πλοῖον ὥρμει Ἰθακησίαι λῃστρικὸν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μίων ἐχόντων πίττας. Τούτῳ οὖν κατὰ τύχην πορθμεὺς Ἰθακήσιος ὀνόματι Πυῤῥίας, καὶ τὸν ν ἐῤῥύσατο, μηδὲν δεόμενος, ἀλλὰ πεισθεὶς ς καὶ οἰκτείρας· προσέλαβε δὲ καὶ τῶν κερα- πρεσβύτου κελεύσαντος. Ἀπαλλαγέντων δὲ τῶν γενομένης ἀδείας, ὁ πρεσβύτης τοῖς κεραμίοις ίαν προσαγαγὼν, χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς ὺ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. Ἐξ- ῶ ὁ Πυῤῥίας πλούσιος γενόμενος τά τε ἄλλα τε τὸν γέροντα, καὶ βοῦν ἔθυσεν αὐτῷ. Ὁ καὶ

Τούτῳ] Prius ex E. H. Venet. Voſſ. Poſterius ex E. Vulgo ῖας. Ταύτῃ.

l metuentes ne dolo tur, præſidium ei a- m ætate vigentium eoque in loco con-

XXXIV.

? qui bovem benefac- avit? Apud Itha- tione erat navis pi- eaque ſenex cum n continentibus. Ad fortuna portitor ap- enſis, nomine Pyrrhias qui ſenem nullius ſui commodi cauſa, ſed precibus ac miſeratione illius inductus redemit, cadorum etiam nonnullis hortatu ejus emptis. Poſtquam diſceſſu prædonum data eſt licentia, ſenex Pyrrhiam ad fictilia iſta adduxit, oſtenditque multum auri argentique pici permixtum. Ita Pyrrhias ſubito ditatus, cum aliis officiis ſenem coluit, tum bovem ei immolavit. Hinc

παροιμιαζόμενοι λέγουσιν, Οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν ἀλλ' ἢ Πυῤῥίας.

λέ.

" Τί δή ποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν " λέγειν χορευούσαις, Ἴωμεν εἰς Ἀθήνας;" Κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας, ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν 399 ἐν Ἰαπυγίᾳ κατοικεῖν, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, ἀναμεμιγμένων αὐτοῖς Ἀθηναίων. Ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. Ἐξ ἐκείνων οὖν τινες γεγονότες καὶ νομιζόμενοι Κρῆτες, εἰς Δελφοὺς συναπεστάλησαν. Ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους, ᾖδον ἐν ταῖς ἑορταῖς, Ἴωμεν εἰς Ἀθήνας.

λϛ'.

" Διὰ τί τὸν Διόνυσον αἱ τῶν Ἠλείων γυναῖκες

proverbio dicunt, *Nemo bene merito bovem immolavit præter Pyrrhiam.*

XXXV.

Cur Bottiæorum puellis mos fuit choreas ducentibus dicere, Eamus Athenas? Cretenſes, ut perhibetur, ex voto primitias hominum Delphos miſerunt. Miſſi cum viderent nullam ibi rerum copiam eſſe, inde in coloniam profecti primum incoluerunt Iapygiam, poſt Thraciæ iſtam partem, quæ Bottiæorum dicitur, obtinuerunt, permixtis Athenienſibus. Apparet enim adoleſcentes, qui tributi nomine ab Athenienſibus mittebantur, a Minoe non fuiſſe interfectos, ſed pro ſervis detentos. Horum ergo aliqui facti et habiti Cretenſes, una cum reliquis Delphos miſſi erant. Itaque Bottiæorum filiæ gentis ſuæ memoriam celebrantes, in feſtivitatibus canebant, *Eamus Athenas.*

XXXVI.

Cur Eleorum mulieres Bac-

“ ὑμνοῦσαι παρακαλοῦσι Βοέῳ ποδὶ παραγίνεσθαι πρὸς
B “ αὐτάς; ἔχει δ᾽ οὕτως ὁ ὕμνος, Ἐλθεῖν ἥρω Διόνυσε
“ ἅλιον ἐς ναὸν ἁγνὸν, σὺν χαρίτεσσιν ἐς ναὸν τῷ βοέῳ
“ ποδὶ θύων· εἶτα δὶς ἐπᾴδουσιν, Ἄξιε ταῦρε.” Πότερον ὅτι καὶ βουγενῆ προσαγορεύουσι καὶ ταῦρον ἔνιοι τὸν θεόν; Ἢ τῷ μεγάλῳ ποδὶ, Βοέῳ λέγουσιν, ὡς Βοῶπιν ὁ ποιητὴς τὴν μεγαλόφθαλμον, καὶ Βουγάϊον τὸν μεγάλαυχον. Ἢ, μᾶλλον, ὅτι τοῦ βοὸς ὁ ποὺς ἀβλαβής ἐστι, τὸ δὲ κερασφόρον ἐπιβλαβές· οὕτω τὸν θεὸν παρακαλοῦσι πρᾷον ἐλθεῖν καὶ ἄλυπον; Ἢ, ὅτι καὶ ἀρότρου καὶ σπόρου πολλοὶ τὸν θεὸν ἀρχηγὸν γεγονέναι νομίζουσι;

λζ′.

C “ Διὰ τί Ταναγραίοις πρὸ τῆς πόλεώς ἐστιν Ἀ-
“ χίλλειον, τόπος οὕτω προσαγορευόμενος; ἔχθρα γὰρ
“ αὐτῷ μᾶλλον ἢ φιλία λέγεται γεγονέναι πρὸς τὴν πό-
“ λιν, ἁρπάσαντι μὲν τὴν μητέρα τοῦ Ποιμάνδρου
“ Στρατονίκην, ἀποκτείναντι δὲ υἱὸν Ἐφίππου Ἀχέ-

B. 9. ἀρότρου] Legendum ἀρότου videtur. Solennis permutatio librariorum in his vocibus.

chum in ſacro carmine hortantur ut bubulo pede ad ipſas accedat? ac bis accinunt, Digne taure? Hymni hæc eſt forma: Veni heros Bacche maritimum ad templum ſanctum cum Gratiis, ad templum pede bubulo. An quia bovigenam nonnulli et taurum cognominant Bacchum? Aut *bubulo* dicunt pro magno? ſicut *boopin* poeta dixit magnis præditam oculis, et *bugaium* qui ſe glorioſe jactaret. Aut potius, quia pes bovis innoxius eſt, cornua damnoſa, ſic deum hortantur ut lenis veniat atque innoxius? Aut quia multi hunc deum aratri et ſationis inventorem fuiſſe putant?

XXXVII.

Cur Tanagræis ante urbem locus eſt, nomine Achilleum? inimicitia enim ei potius cum hac urbe quam amicitia fertur interceſſiſſe, ut qui inde matrem Pœmandri Stratonicam rapuerit, et Aceſtorem Ephippi fi-

“ στρεα.” Ποίμανδρος τοίνυν, ὁ Ἐφίππου πατήρ, ἐπὶ τῆς Ταναγρικῆς κατὰ κώμας οἰκουμένης ἐν τῷ καλουμένῳ Στέφοντι, πολιορκούμενος ὑπὸ τῶν Ἀχαιῶν, διὰ τὸ μὴ βούλεσθαι συστρατεύειν, ἐξέλιπε τὸ χωρίον ἐκεῖνο νύκτωρ, καὶ τὴν Ποιμανδρίαν ἐτείχισε. Παρὼν δὲ Πολύκριθος ὁ ἀρχιτέκτων διαφαυλίζων τὰ ἔργα καὶ καταγελῶν, ὑπερήλατο τὴν τάφρον. Ὀργισθεὶς ὁ Ποίμανδρος ὥρμησε λίθον ἐμβαλεῖν αὐτῷ μέγαν, ὃς ἦν αὐτόθι D
κεκρυμμένος ἐκ παλαιοῦ, νυκτελίοις ἱεροῖς ἀποκείμενος· τοῦτον ἀνασπάσας ὑπὸ ἀγνοίας ὁ Ποίμανδρος ἔβαλε, καὶ τοῦ μὲν Πολυκρίθου διήμαρτε, Λεύκιππον δὲ τὸν υἱὸν ἀπέκτεινε. Ἔδει μὲν οὖν κατὰ τὸν νόμον ἐκ τῆς Βοιωτίας μεταστῆναι, ἐφέστιον καὶ ἱκέτην ξένον γενόμενον· οὐκ ἦν δὲ ῥᾴδιον, ἐμβεβληκότων εἰς τὴν Ταναγραϊκὴν τῶν Ἀχαιῶν. Ἔπεμψεν οὖν Ἔφιππον τὸν υἱόν, Ἀχιλλέως δεησόμενον. Ὁ δὲ καὶ τοῦτον

C. 8. Στέφοντι] Ita omnes libri exceptis tribus Græco-Latinis, tamquam imaginibus ab exemplo expreſſis Stephaniano, quod ipſum habet σέφοντι: illæ vero imagines σεφοντι. Itaque conſarcinator Variarum lectionum ad calcem Græco-Latinarum, ex Pet. notavit σέφοντι.

D. 8. καὶ τοῦτον—αὐτοῦ] Prius abeſt in E. ejuſque loco lacuna duorum verſuum. Certe totius capitis narratio non ſatis expedita eſt. Ex E. item ſumpſi αὐτοῦ, ut Xyl. vertit: vulgo eſt αὐτόν.

lium interfecerit. Pœmander itaque Ephippi pater cum Tanagrica regio etiamnum per pagos habitaretur, in Stephonte (loci hoc nomen eſt) ab Achæis oppugnatus quod ſocium expeditionis ſe addere nollet, noctu eo loco deſerto Pœmandriam muro muniit. Aderat ei Polycrithus architectus, qui opera ejus contemnens atque ridens, foſſam tranſiliit. Irritatus Pœmander, ſaxum grande, quod ibi occultatum erat antiquitus, nocturnis quibuſdam ſacris impoſitum, arripuit, eoque ferire Polycrithum volens, jactu aberrante filium Leucippum ictum interfecit. Erat itaque ei e Bœotia profugiendum, et peregre alicujus ad lares ſupplicandum: verum id impreſſio ab Achæis in Tanagricam jam tum facta reddebat difficile. Itaque Ephippum filium ad Achillem ſupplicatum miſit. Ephippus cum Achilli ut veniret per-

εἰσάγειν πείσας, καὶ Τληπόλεμον τὸν Ἡρακλέους, καὶ Πηνέλεων τὸν Ἱππάλκμου, συγγενεῖς ἅπαντας αὐτοῦ ὄν-
E τας· ὑφ' ὧν ὁ Ποίμανδρος εἰς Χαλκίδα συνεκπεμφθεὶς καὶ καθαρθεὶς παρ' Ἐλεφήνορι τὸν φόνον, ἐτίμησε τοὺς ἄνδρας, καὶ τεμένη πᾶσιν ἐξεῖλεν, ὧν τὸ Ἀχιλλέως καὶ τοὔνομα διατετήρηκεν.

λή.

" Τίνες οἱ παρὰ Βοιωτοῖς ψολόεις, καὶ τίνες Αἰο-
" λεῖαι;" Τὰς Μινύου θυγατέρας φασὶ Λευκίππην καὶ Ἀρσινόην καὶ Ἀλκαθόην μανείσας ἀνθρωπίνων ἐπιθυμῆσαι κρεῶν, καὶ διαλαχεῖν περὶ τῶν τέκνων· Λευκίππης λαχούσης, παρασχεῖν Ἵππασον τὸν υἱὸν διασπάσασθαι· κληθῆναι τοὺς μὲν ἄνδρας αὐτῶν δυσειματοῦντας ὑπὸ
F λύπης καὶ πένθους, Ψολόεις, τὰς Αἰολείας Οἰωνολόας. Καὶ μέχρι νῦν Ὀρχομένιοι τὰς ἀπὸ τοῦ γένους οὕτω καλοῦσι·

L. 5. Αἰολεῖαι] Leg. αἱ Ὀλεῖαι Mez.

L. 10. κληθῆναι — Οἰωνολόας] Legendum e correctione Mez. κληθῆναι οὖν τοὺς μὲν ἄνδρας αὐτῶν δυσειματοῦντας ὑπὸ λύπης καὶ πένθους Ψολόεις, αὐτὰς δὲ Ὀλείας, οἷον ὀλοάς. Ex E. recepi δυσειματοῦντας.

ſuaſit, tum Tlepolemo etiam Herculis filio ac Peneleo Hippalcmi filio omnes ipſi genere propinquos; ab his Pœmander Chalcidem deductus, ibique apud Elephenorem a cæde expiatus, honorem viris habuit, omnibuſque ſacra loca adſignavit, quorum nomen ſuum retinuit Achilleum.

XXXVIII.

Qui ſunt apud Bœotos Pſoloeis, et Æoleiæ? Minyæ filias ferunt Leucippam, Arſinoam, et Alcathoam furore correptas eſum humanarum carnium appetiviſſe, ſortitaſque munus tradendi ad necem filii, et obtigiſſe Leucippæ ut filium Hippaſum traderet: hunc ab iis fuiſſe diſcerptum. Hinc maritos ipſarum, quia præ luctu et dolore veſtibus uterentur ſordis, *Pſoloeis* dictos quaſi caliginoſos a ſqualore: ipſas autem *Æoleias*, tanquam *oloas*, id eſt diras. Atque etiamnum earum poſteritatem his afficiunt nominibus Orchomenii: et quotannis fu-

καὶ γὰρ παρ' ἐνιαυτὸν ἐν τοῖς Ἀγριωνίοις φυγὴ καὶ δίωξις αὐτῶν ὑπὸ τοῦ ἱερέως τοῦ Διονύσου ξίφος ἔχοντος. Ἔξεστι δὲ τὴν καταληφθεῖσαν ἀνελεῖν, καὶ ἀνεῖλεν ἐφ' ἡμῶν Ζωΐλος ὁ ἱερεύς· ἀπέβη δὲ εἰς οὐδὲν χρηστὸν αὐτοῖς, ἀλλ' ὅ τε Ζωΐλος ἐκ τοῦ τυχόντος ἑλκυδρίου νοσή- 300
σας, καὶ διασαπεὶς πολὺν χρόνον, ἐτελεύτησεν· οἵ τε Ὀρχομένιοι δημοσίαις βλάβαις καὶ καταδίκαις περιπεσόντες, ἐκ τοῦ γένους τὴν ἱερωσύνην μετέστησαν, ἐκ πάντων αἱρούμενοι τὸν ἄριστον.

λθʹ.

“ Διὰ τί τοὺς εἰς τὸ Λύκαιον εἰσελθόντας ἑκουσίως, “ καταλεύουσιν οἱ Ἀρκάδες· ἂν δ' ὑπ' ἀγνοίας, εἰς “ Ἐλευθέρας ἀποστέλλουσι;” Πότερον ὡς ἐλευθερουμένων αὐτῶν διὰ τὴν ἀπόλυσιν, ἔχει ὁ λόγος πίστιν, καὶ τοιοῦτόν ἐστι τὸ Εἰς ἐλευθέρας, οἷον τὸ, “ Εἰς ἀμελοῦς “ χώραν,” καὶ τὸ, “ Ἥξεις εἰς Ἀρέσαντος ἕδος;” Ἢ, κατὰ τὸν μῦθον, ἐπεὶ μόνοι τῶν Λυκάονος παίδων Ἐλευ-

gantur feſtis Agrioniis a ſacerdote Bacchi ſtricto gladio: licetque deprehenſam interficere: et quidem necavit noſtra ætate Zoilus ſacerdos. Verum ea res infelix ipſi urbique fuit: nam et Zoilus levi admodum ex ulcere in diuturnum lapſus morbum, computruit ac deceſſit: et Orchomenii in cauſis publicis damnati mulctatique ſacerdotium a familia tranſtulerunt, deligereque ex tota multitudine optimum inſtituerunt.

XXXIX.

Cur qui ſponte ſua in Lycæum intrant, lapidibus obruuntur ab Arcadibus; qui per imprudentiam, Eleutheras deportantur? An quaſi liberatis hoc modo hiſce ſermoni fides paratur? ut ſimilis ſit locutio, Ad Eleutheras, qualis eſt:

In regionem Amelus:—

Et,

Ad ſedem venies Areſantis.

Aut fabulam ſequi præſtat? quoniam ſoli de Lycaonis filiis Eleuther et Lebadus facinoris,

εάδος οὐ μετέχον τοῦ περὶ τὸν Δία μιάσ-
εἰς Βοιωτίαν ἔφυγον, καὶ Λεβαδεῦσίν ἐστιν
πρὸς Ἀρκάδας· εἰς Ἐλευθέρας οὖν ἀπο-
ς ἐν τῷ ἀβάτῳ τοῦ Διὸς ἀκουσίως γενο-
ως Ἀρχίτιμος ἐν τοῖς Ἀρκαδικοῖς, ἐμβάν-
τι ἄγνοιαν ὑπὸ Ἀρκάδων παραδοθῆναι
ὑπὸ δὲ Φλιασίων Μεγαρεῦσιν, ἐκ δὲ Με-
Θήβας κομιζομένους περὶ τὰς Ἐλευθέρας,
οντοῖς καὶ διοσημείαις ἄλλαις κατασχεθῆναι·
ὴ τὸν τόπον Ἐλευθέρας ἔνιοί φασι προσα-
Τὸ μέντοι σκιὰν μὴ πίπτειν ἀπὸ τοῦ ἐμ-
ὸ Λύκαιον, λέγεται μὲν οὐκ ἀληθῶς, ἔσχηκεν
εάν. Πότερον τοῦ ἀέρος εἰς νέφη τρεπομένου
άζοντος ἐπὶ τοῖς εἰσιοῦσιν; Ἢ ὅτι θανατοῦται
ς, τῶν δὲ ἀποθανόντων οἱ Πυθαγορικοὶ λέ-
υχὰς μὴ ποιεῖν σκιάν, μηδὲ σκαρδαμύττειν;

ι] E. præponit φησί.
ic E. Vulgo ἐσχηκέναι.

em molitus fuit s fuerunt, et in erunt: unde et jus civitatis cum ercedit; ergo E-gant qui in Jo-ceſſo loco impru-erunt. Architi-icis ſcribit quoſ-cæum intraſſent am, ab Arcadi-iiſſe Phliaſiis, ab ſibus: inde cum rentur, apud E-e imbre, tonitru-bus, aliiſque cœleſtibus denunciationibus detentos: atque inde etiam loco nomen Eleutheras factum nonnulli affirmare. Quod autem Lycæum ingreſſus umbram nullam a ſe jacere putabatur, falſo dictum eſt, quantumvis creditum. An, quod aër ſe in nubes cogeret, ac quaſi tetricum vultum propter ingreſſos indueret? Aut quia necatur ingreſſus? nam occiſorum animas aiunt Pythagorici neque umbram jacere, neque conni-

Ἡ σκιὰν μὲν ὁ ἥλιος ποιεῖ, τὸν δὲ ἥλιον ἀφαιρεῖται τοῦ ἐμβάντος ὁ νόμος; καὶ τοῦτο αἰνιττόμενοι λέγουσι. Καὶ γὰρ Ἔλαφος ὁ ἐμβὰς καλεῖται. Διὸ καὶ Κανθαρίωνα τὸν Ἀρκάδα πρὸς Ἠλείους αὐτομολήσαντα πολεμοῦντας Ἀρκάσι, καὶ διαβάντα μετὰ λείας τὸ ἄβατον, καταλυ- D
θέντος δὲ τοῦ πολέμου καὶ φυγόντα εἰς Σπάρτην, ἐξέδοσαν οἱ Λακεδαιμόνιοι τοῖς Ἀρκάσι, τοῦ θεοῦ κελεύσαντος ἀποδιδέναι τὸν ἔλαφον.

μʹ.

“ Τίς Εὔνοστος ἥρως ἐν Τανάγρᾳ; καὶ διὰ τίνα “ αἰτίαν τὸ ἄλσος αὐτοῦ γυναιξὶν ἀνέμβατόν ἐστιν;” Ἐλιέως τοῦ Κηφισσοῦ καὶ Σκιάδος Εὔνοστος ἦν υἱός, ᾧ φασιν ὑπὸ νύμφης Εὐνόστας ἐκτραφέντι τοῦτο γενέσθαι τοὔνομα. Καλὸς δὲ ὢν καὶ δίκαιος, οὐχ ἧττον ἦν σώφρων καὶ αὐστηρός· ἐρασθῆναι δὲ αὐτοῦ λέγουσιν Ὄχναν, μίαν τῶν Κολωνοῦ θυγατέρων ἀνεψιὰν οὖσαν· ἐπεὶ δὲ πειρῶσαν ὁ Εὔνοστος ἀπετρέψατο καὶ λοιδορήσας ἀπῆλθεν E
εἰς τοὺς ἀδελφοὺς κατηγορήσων, ἔφθασεν ἡ παρθένος τοῦτο

vere. Aut quod ſol umbram gignit, lex autem ſolem adimit intranti? atque hoc involucro tectum proponunt. Cervus enim vocatur qui intravit. Et hac de cauſa Cantharionem Arcadem, qui ad Eleos bellum Arcadibus facientes perfugerat, et cum præda per Lycæum tranſiverat, bello ſoluto Spartani, ad quos ab Eleis ſe contulerat, Arcadibus tradiderunt, jubente deo cervum reddere.

XL.

Quis eſt Eunoſtus heros Tanagræ, et cur lucum ejus intrare mulieribus nefas eſt? Elieus Cephiſi et Sciadis filius pater Eunoſti fuit, cui nomen impoſitum ab Eunoſta nympha quæ eum enutriverat aiunt. Hic Eunoſtus, ut honeſtus et juſtus, ita pudicus etiam fuit atque auſterus. Ejus amore captam ferunt Ochnam unam de Coloni filiabus, conſobrinam ſuam: a qua ſollicitatus ad concubitum, averſatus mulierem et convicio inſectatus, ad fratres ejus abiit querelam de ipſa propoſiturus:

;ασα κατ' ἐκείνου, καὶ παρώξυνε τοὺς ἀδελφοὺς ον καὶ Λέοντα καὶ Βουκόλον, ἀποκτεῖναι Εὔνοστον, ρὸς βίαν αὐτῇ συγγεγενημένον. Ἐκεῖνοι μὲν οὖν ύσαντες ἀπέκτειναν τὸν νεανίσκον. Ὁ δ' Ἐλιεὺς ς ἔδησεν· ἡ δὲ Ὄχνη μεταμελομένη καὶ γέμουσα ῆς, ἅμα μὲν αὐτὴν ἀπαλλάξαι θέλουσα τῆς διὰ ντα λύπης, ἅμα δ' οἰκτείρουσα τοὺς ἀδελφούς, λε πρὸς τὸν Ἐλιέα πᾶσαν τὴν ἀλήθειαν, ἐκεῖνος λωνῷ. Κολωνοῦ δὲ δικάσαντος, οἱ μὲν ἀδελφοὶ Ὄχνης ἔφυγον· αὐτὴ δὲ κατεκρήμνισεν ἑαυτὴν, ὡς ; ἡ Ἀνθηδονία ποιήτρια μελῶν ἱστόρηκε. Τοῦ δὲ ι τὸ ἡρῷον καὶ τὸ ἄλσος οὕτως ἀνέμβατον ἐτήρει ροσαπήλαστον γυναιξὶν, ὥστε πολλάκις σεισμῶν ἢ ῶν ἢ διοσημειῶν ἄλλων γενομένων, ἀναζητεῖν καὶ ραγμονεῖν ἐπιμελῶς τοὺς Ταναγραίους μὴ λέληθε ῷ τόπῳ πλησιάσασα· καὶ λέγειν ἐνίους, ὧν ὁ Κλει-

ημαι] Ἔχεμον Voſſ. P.
ει] Forte ἐτηρεῖτο.

ına Eunoſtum occupa- d fratres accuſare, vi b eo compreſſam men- ›tinuitque ut Ochemus (hi enim erant fratres lolefcentem per inſidias m interficerent. Per- filii Elieus in vincula :. Ochna autem pœ- facti animique per- ınibus compulſa, ſimul oleſtia ob amorem con- xoneraret, ſimul fra- iiſeratione ducta, rem Elieo vera narratione, orro Colono expoſuit. Colono judice ſententiam fe- rente, fratres Ochnæ ſolum vertere: Ochna præcipitem ſeſe dedit: ſic refert Myrtis Anthedonia poetria. Eunoſti autem ſacrarii et lucus ingreſſu atque etiam acceſſu ita dili- genter arcebantur mulieres, ut ſiquando terræ motus, ſic- citates, aliave oſtenta accidiſ- ſent (quod factum eſt ſæpe) Tanagræi ſtudioſe atque adeo curioſe inquiſiverint, numnam mulier aliqua fefelliſſet loco iſti propinquans: et fuerint qui dicerent, e quibus eſt Clei-

δαμος ἰὼν, ἀνὴρ ἐπιφανὴς, ἀπηντηκέναι αὐτοῖς τὸν Εὔνοστον ἐπὶ θάλατταν βαδίζοντα λουσόμενον, ὡς γυναικὸς ἐμβεβηκυίας εἰς τὸ τέμενος. Ἀναφέρει δὲ καὶ Διοκλῆς ἐν τῷ Περὶ Ἡρώων συντάγματι δόγμα Ταναγραίων, περὶ ὧν ὁ Κλείδαμος ἀπήγγειλεν.

μα΄.

“ Πόθεν ἐν τῇ Βοιωτίᾳ περὶ τὸν Ἐλέωνα ποταμὸς
“ Σκάμανδρος ὠνομάσθη;” Δηίμαχος ὁ Ἐλέωνος υἱὸς, ἑταῖρος ὢν Ἡρακλέους, μετέσχε τῆς ἐπὶ Τροίαν στρατείας· τοῦ δὲ πολέμου μῆκος, ὡς ἔοικε, λαμβάνοντος, ἐρασθεῖσαν αὐτοῦ Γλαυκίαν τὴν Σκαμάνδρου θυγατέρα προσδεξάμενος, ἔγκυον ἐποίησεν· εἶτ' αὐτὸς μὲν ἔπεσε μαχόμενος τοῖς Τρωσίν· ἡ δὲ Γλαυκία φοβουμένη B
καταφωρος γενέσθαι, τῷ Ἡρακλεῖ κατέφυγε, καὶ κατεῖπεν αὐτῆς τὸν ἔρωτα, καὶ τὴν γενομένην πρὸς τὸν Δηίμαχον ὁμιλίαν. Ὁ δὲ ἅμα μὲν οἴκτῳ τῆς γυναικὸς, ἅμα δὲ

A. 9. ἐπὶ Τροίαν] Sic E. H. Voſſ. P. Vulgo ἐπὶ Τροίας.
B. 2. κατέφυγε] Forte προσέφυγε. Mox ἀγαγὼν forte mutandum in ἀνάγων.

damus vir illuſtris, obviam ſibi factum eſſe Eunoſtum, lavandi gratia ad mare accedentem, quod lucum ipſius mulier quædam intraviſſet. Sane Diocles in commentario de ſacellis edictum refert Tanagræorum de iis quæ Cleidamus renunciaſſet.

XLI.

Unde in Bœotia apud Eleonem fluvius, Scamander dictus eſt? Deimachus Eleonis filius cum Hercule, cujus erat ſocius, ad Trojam oppugnandam fuit profectus: quod bellum cum, ut fit, traheretur, Glauciam Scamandri filiam, quæ ipſum deperibat, admiſit, gravidamque fecit: poſt ipſe in pugna adverſum Trojanos occubuit: Glaucia metuens ne admiſſi comperiretur, ad Herculem confugit, eique amorem ſuum, et habitam cum Deimacho conſuetudinem narravit. Hercules, quod et mulierem miſeraretur, et genus

χαίρων τῷ ὑπολείπεσθαι γένος ἀνδρὸς ἀγαθοῦ καὶ συνή-
θους, ἀνέλαβε τὴν Γλαυκίαν εἰς τὰς ναῦς, καὶ τεκοῦσαν
υἱὸν ἀγαγὼν ἐν τῇ Βοιωτίᾳ, ἀπέδωκε τῷ Ἐλέωνι καὶ τὸ
παιδίον καὶ αὐτήν. Ὠνομάσθη δ' ὁ παῖς Σκάμανδρος,
καὶ τῆς χώρας ἐβασίλευσε· καὶ τὸν μὲν Ἴναχον ποτα-
μὸν ἀπ' αὐτοῦ Σκάμανδρον, τὸ δὲ πλησίον ῥεῦμα Γλαυ-
κίαν ἀπὸ τῆς μητρὸς ὠνόμασεν· Ἀκίδουσαν δὲ τὴν
c κρήνην ἀπὸ τῆς ἑαυτοῦ γυναικὸς, ἐξ ἧς ἔσχε τρεῖς θυγατέ-
ρας, ἃς τιμῶσιν ἄχρι νῦν, παρθένους προσαγορεύοντες.

μβ'.

" Ἀπὸ τίνος ἐῤῥέθη τὸ παροιμιῶδες, Αὕτα κυρία;"
Δίνων ὁ Ταραντῖνος, στρατηγῶν, ἀνὴρ δὲ ὢν ἀγαθὸς ἐν
τοῖς πολεμικοῖς, ἀποχειροτονησάντων αὐτοῦ τινὰ γνώμην
τῶν πολιτῶν, ὡς ὁ κήρυξ ἀνεῖπε τὴν νικῶσαν, αὐτὸς
ἀνατείνας τὴν δεξιὰν, Ἅδε, εἶπε, κρείσσων· οὕτω γὰρ ὁ
Θεόφραστος ἱστόρηκε. Προσιστόρηκε δὲ καὶ ὁ Ἀπολλόδωρος
ἐν Ῥυτίνῳ, Τοῦ κήρυκος, Αὗται πλείους, εἰπόντος, Ἀλλ'

viri probi ſibique familiaris ſupereſſe cuperet, in naves Glauciam recepit: cumque filium partu enixa eſſet, cum eo adductam in Bœotiam Eleoni tradidit. Ei filio Scamandri impoſitum eſt nomen, regnavitque iis locis: et Inachum fluvium a ſe Scamandrum, proximum amnem de matris nomine Glauciam appellavit, fontem uxori cognominem eſſe juſſit Aciduſæ, ex qua tres habuit filias, quas Virginum nomine etiamnum colunt.

XLII.

Unde tractum eſt proverbium, Iſthæc rata eſto? Dinon Tarentinorum dux, vir bello præclarus, cum cives quandam ipſius ſententiam manuum, ut fit, elatione improbaſſent, ac præco ſententiam quæ viciſſet proclamaret: ipſe manum ſurſum intendens, *Hæc vero* (aiebat, ſuam ſententiam ſignificans) *melior eſt.* Sic narravit Theophraſtus. Apollodorus in Rhytino addit, Cum præco dixiſſet: *Hæc ſuffragia habet plura*, ſubje-

αὗται, φᾶναι, βελτίους· καὶ ἐπικυρῶσαι τὴν τῶν ἐλαττόνων χειροτονίαν.

μγʹ.

“Πόθεν ἡ τῶν Ἰθακησίων πόλις Ἀλαλκομεναὶ D
“προσηγορεύθη;” Διὰ τὸ τὴν Ἀντίκλειαν ὑπὸ Σισύφου βιασθεῖσαν ἐν τῇ παρθενείᾳ τὸν Ὀδυσσέα συλλαβεῖν, ὑπὸ πλειόνων δ' ἐστὶν εἰρημένον. Ἴστρος δὲ ὁ Ἀλεξανδρεὺς ἐν ὑπομνήμασι προσιστόρηκεν, Ὅτι τῷ Λαέρτῃ δοθεῖσα πρὸς γάμον καὶ ἀναγομένη, περὶ τὸ Ἀλαλκομένιον, ἐν τῇ Βοιωτίᾳ τὸν Ὀδυσσέα τέκοι, καὶ διὰ τοῦτο ἐκεῖνος ὥσπερ μητροπόλεως ἀναφέρων τοὔνομα, τὴν ἐν Ἰθάκῃ πόλιν οὕτω φησὶ προσαγορεῦσαι.

μδʹ.

“Τίνες ἐν Αἰγίνῃ οἱ Μονοφάγοι;” Τῶν ἐπὶ τὴν Τροίαν στρατευσάντων Αἰγινητῶν, πολλοὶ μὲν ἐν ταῖς E
μάχαις ἀπώλοντο, πλείονες δὲ κατὰ πλοῦν ἀπὸ τοῦ

D. 3. παρθενείᾳ] Ita omnes libri, et ipſa Steph. editio. Tres tamen Græco-Latinæ παρθενίᾳ.

D. 9. φησὶ προσαγορεῦσαι] Vitii quid ſubeſſe videtur. Forte, deleto φησὶ, legendum προσηγόρευσε. Certe, loco μητροπόλεως, quod Stephano debetur, omnes libri, Ald. Baſ. Xyl. H. Voſſ. Venet. habent μεσοπόλεως. E. ejus loco habet lacunam.

E. 2. ἀπὸ τοῦ χειμῶνος] Forte ἀπὸ mutandum in ὑπό.

ciſſe: *Hæc autem meliora:* et pauciorum ſententiam juſſiſſe ratam eſſe.

XLIII.

Unde urbs Ithacenſium Alalcomenæ appellatur? Quod Anticlea virginitate per vim a Siſypho erepta Ulyſſem concepit: hoc plures afferunt. Iſter Alexandrinus in ſuis commentariis retulit, Nuptam Anticleiam Laertæ, et adductam ad Alalcomeneium quod eſt in Bœotia, Ulyſſem peperiſſe: indeque eum quaſi urbis nomen commendantem poſteris, in qua eſſet natus, Ithacæ urbem eodem nomine donaſſe.

XLIV.

Qui ſunt qui in Ægina Monophagi dicuntur? Æginetarum qui ad bellum Trojanum ſunt profecti, magna pars in prœliis, major in mari vi tem-

χειμῶνος. Ὀλίγους οὖν τοὺς περιλειπομένους οἱ προσήκοντες ὑποδεξάμενοι, τοὺς δὲ ἄλλους πολίτας ὁρῶντες ἐν πένθεσι καὶ λύπαις ὄντας, οὔτε χαίρειν ᾤοντο δεῖν φανερῶς, οὔτε θύειν τοῖς θεοῖς· ἀλλὰ κρύφα καὶ κατ' οἰκίαν ἕκαστοι τοὺς σεσωσμένους ἀνελάμβανον ἑστιάσεσι καὶ φιλοφρονύναις, αὐτοὶ διακονούμενοι πατράσι καὶ συγγενέσι καὶ ἀδελφοῖς καὶ οἰκείοις, ἀλλοτρίου μηδενὸς παρεισιόντος. Ταῦτ' οὖν ἀπομιμούμενοι, τῷ Ποσειδῶνι θυσίαν ἄγουσι τοὺς καλουμένους Θιάσους, ἐν ᾗ καθ' αὑτοὺς ἐφ' ἡμέρας
F ἑκκαίδεκα μετὰ σιωπῆς ἑστιῶνται, δοῦλος δὲ οὐ πάρεστιν· εἶτα ποιήσαντες Ἀφροδίσια, διαλύουσι τὴν ἑορτήν· ἐκ δὲ τούτου Μονοφάγοι καλοῦνται.

με΄.

"Διὰ τί τοῦ Λαβραδέως Διὸς ἐν Καρίᾳ τὸ ἄγαλμα πέλεκυν ἠρμένον, οὐχὶ δὲ σκῆπτρον ἢ κεραυνόν, πεποίηται;" Ὅτι Ἡρακλῆς Ἱππολύτην ἀποκτείνας, καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν τὸν πέλεκυν, Ὀμφάλῃ δῶρον δέδωκεν· οἱ δὲ μετ' Ὀμφάλην Λυδῶν

peſtatum periit. Cum itaque paucos ſuperſtites neceſſarii recepiſſent, viderentque reliquos cives in luctibus ac mœrore eſſe, rati ſunt neque gratulandum publice, neque palam diis ſacrificandum : ſed domi ſuæ ſinguli eos qui ſervati erant conviviis comiter excipientes, patres, cognatos, fratres, aut familiares, ipſi menſis miniſtraverunt, alieno nemine in domum admiſſo. Eam rem repræſentantes, ſacrificium Neptuno celebrant, quod *Thiaſi* dicitur, ubi ſeorſim per ſedecim dies convivia agitant nullo adhibito ſervo : deinde Veneralia agentes, finem feriis imponunt : hinc monophagi, id eſt *ſeorſim edentes* vocitantur.

XLV.

Cur Jovis Labradenſis in Caria ſimulachrum non ſceptrum aut fulmen, ſed ſecurim elatam tenet? Hercules Hippolytam cum necaſſet, inter alia arma ſecurim quoque ejus captam, Omphalæ dono dedit. Lydorum poſt Omphalen reges eam geſtaverunt, ut unam

βασιλεῖς ἐφόρεσαν αὐτὸν, ὥς τι τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες· ἄχρι Κανδαύλης ἀπαξιώσας, 302 ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν. Ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτὸν, ἦλθεν Ἄρσηλις ἐκ Μυλέων ἐπίκουρος τῷ Γύγῃ μετὰ δυνάμεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον αὐτοῦ διαφθείρει· καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκόμισε μετὰ τῶν ἄλλων λαφύρων· καὶ Διὸς ἄγαλμα κατασκευάσας, τὸν πέλεκυν ἐνεχείρισε, καὶ Λαβραδέα τὸν θεὸν προσηγόρευσε· Λυδοὶ γὰρ Λάβρυν τὸν πέλεκυν ὀνομάζουσι.

μς´.

« Διὰ τί Τραλλιανοὶ Καθαρτῆρα καλοῦσι τὸν Ὄ-
« ροβον, καὶ χρῶνται μάλιστα πρὸς τὰς ἀφοσιώσεις καὶ B
« τοὺς καθαρμούς;» Ἢ ὅτι Λέλεγες καὶ Μινύαι τοπαλαιὸν ἐξελάσαντες αὐτοὺς, τὴν πόλιν καὶ τὴν χώραν κατεῖχον, ὕστερον δὲ οἱ Τραλλιανοὶ κατελθόντες καὶ κρα-

A. 3. Μυλέων] Μυλασσίων Xyl.
A. 7. ἐνεχείρισε] Sic E. Voſſ. partim P. ex quo notatum fertur ἐνεχείρησε. Vulgo ἐγχείρισε.

de aliis rebus ſacris, ſucceſſorique itidem tradita fuit: donec Candaules dedignatus, cuidam ſociorum ferendam eam dedit. Poſtquam vero Gyges defectione inita Candaulæ bellum intulit, venit a Mylaſſenſibus Arſelis auxiliares Gygi copias adducens: interfecitque et Candaulen et ſocium, bipennemque in Cariam inter alia ſpolia pertulit, Joviſque adornato ſimulachro, eam iſti in manum aptavit, Labradeumque nominavit Jovem. *Labram* enim Lydi vocant, quod Latini *ſecurim*.

XLVI.

Cur Tralliani ervum Kathartera, id eſt luſtrale, vocant, utunturque eo maxime ad expiationes et piacularia? Leleges et Minyæ quondam Tralles, regionemque ad urbem pertinentem pulſis vi Trallianis occupaverunt. Reverſi poſtliminio Tralliani, rerumque potiti, quotquot Le-

ητες, ὅσοι τῶν Λελέγων ἐ διεφθάρησαν ἐδ' ἔφυγον, διὰ ἀμηχανίαν βίε καὶ ἀσθένειαν ὑπελείφθησαν η, τέτων ἐδένα λόγον ἔχοντες ὅτι ζώντων οὔτε λυμβύων, νόμον ἔθεντο, τὸν κτείναντα Μινύlu ἢ γlu Τραλλιανὸν, καθαρὸν εἶ), μέδιμνον ὀρόβων ετρήσαντα τοῖς οἰκείοις τῦ φονευθέντος;

μζ′.

Διὰ τί παρὰ τοῖς Ἠλείοις παροιμιῶδές ἐστι τὸ, κιότερα Σαμβίκου παθεῖν;" Λέγεταί τινα Σάμ- Ἠλεῖον ἔχοντα πολλὲς ὑφ' ἑαυτῷ συνεργὸς, ὰ περικόψαι τῶν ἐν Ὀλυμπίᾳ χαλκῶν ἀναθη- ν καὶ ἀποδόσθαι, τέλος δὲ συλῆσαι τὸ τῆς Ἐπισκό- Ἀρτέμιδος ἱερόν· τοῦτο δ' ἐστὶ μὲν ἐν Ἤλιδι, ιται δὲ Ἀριστάρχειον· εὐθὺς οὖν μετὰ ταύτlu τlu ιλίαν ἀλόντα βασανίζεσθαι δι' ἐνιαυτῦ, περὶ ἑκάσ- τῶν κεκοινωνηκότων ἀνακρινόμενον, καὶ ὅτως ἀποθανεῖν, lu παροιμίαν ἐπὶ τοῖς ἐκείνε πάθεσι γενέσθαι.

ι non perierant, neque rerant, ſed ob inopiam becillitatem remanſerant bus, eorum neque vi- m neque morientium reuntium ullam haben- ionem, legem tulerunt, uis Trallianus Minyam emve occideret, is me- m ervi ſi neceſſariis in- i demetiretur, caſtus pu- cædis haberetur. Hæc- ſt cauſa?

XLVII.

causa eſt proverbii a- leos uſitati, Atrociora quam Sambicus pateris? Sambicus quidam Eleus cum haberet multos ſub ſe miniſtros, multa, ut fertur, donaria ænea Olympiæ poſita accidit atque vendidit: tandemque Dianæ etiam Epiſcopi (hoc eſt inſpectricis) cognominatæ fanum, quod Elide eſt, et Ariſtarcheum dicitur, compilavit. A quo ſacrilegio ſtatim captus, per integrum annum tormenta perpeſſus eſt, quæſtione ex ipſo de ſceleris ſociis habenda: itaque mortuus, adagio locum ſuis miſeriis fecit

μη'.

" Διὰ τί ἐν Λακεδαίμονι παρὰ τὸ τῶν Λευκιπ-
" πίδων ἱερὸν ἵδρυται τοῦ Ὀδυσσέως ἡρῷον;" Ἐργίαιος εἷς τῶν Διομήδους ἀπογόνων ὑπὸ Τημένου πεισθεὶς ἐξέκλεψε τὸ παλλάδιον ἐξ Ἄργους, συνειδότος Λεάγρου, D καὶ συνεκκλέπτοντος· ἦν δ' οὗτος εἷς τῶν Τημένου συνήθων. Ὕστερον δὲ τῷ Τημένῳ γενόμενος δι' ὀργῆς ὁ Λέαγρος εἰς Λακεδαίμονα μετέστη τὸ παλλάδιον κομίζων. Οἱ δὲ βασιλεῖς δεξάμενοι προθύμως, ἱδρύσαντο πλησίον τοῦ τῶν Λευκιππίδων ἱεροῦ, καὶ πέμψαντες εἰς Δελφοὺς διεμαντεύοντο περὶ σωτηρίας αὐτοῦ καὶ φυλακῆς. Ἀνελόντος δὲ τοῦ θεοῦ, ἕνα τῶν ὑφελομένων τὸ παλλάδιον φύλακα ποιεῖσθαι, κατεσκεύασαν αὐτόθι τοῦ Ὀδυσσέως τὸ ἡρῷον, ἄλλως τε καὶ προσήκειν τῇ πόλει τὸν ἥρωα διὰ τὸν τῆς Πηνελόπης γάμον ὑπολαβόντες.

μθ'.

" Διὰ τί ταῖς Χαλκηδονίαις ἔθος ἐστὶν, ὅταν ἀνδράσιν E
" ἀλλοτρίοις ἐντύχωσι, μάλιστα δ' ἄρχουσι, τὴν ἑτέραν

XLVIII.

Cur Lacedæmone juxta Leucippidum templum Ulyſſis ſacellum eſt dedicatum? Ergiæus quidam, unus de poſteris Diomedis, paſſus ſibi eſt a Temeno perſuaderi ut Palladium Argis ſuffuraretur, conſcio ac ſocio facinoris Leagro: hic Leager cum eſſet Temeni familiaris, poſtmodo cum eum ſibi iratum haberet, una cum Palladio Lacedæmonem migravit. Reges eum prompte exceperunt: Palladiumque prope Leucippidum templum æde dedicata locaverunt, Delphoſque miſerunt, qui oraculum de eo adſervando ac retinendo conſulerent. His reſponſum eſt, uni eorum qui id ſuſtuliſſent cuſtodiam ejus demandandam; ergo ibidem ſacellum Ulyſſi poſuerunt, quem alias quoque ob conjugium Penelopæ cum ſua civitate conjunctum cenſebant.

XLIX.

Cur Chalcedoniæ fœminæ hanc ſervant conſuetudinem, ut alienos viros, magiſtratum maxime, compellantes, alteram ge-

ικαλύπτεσθαι παρειάν;" Πόλεμος ἦν αὐτοῖς Βιθυνοὺς ἐκ πάσης παρεξευγμένοις προφάσεως· ου δὲ βασιλεύσαντος αὐτῶν, παγκρατιᾷ καὶ Θρα- ικουρίας προσγενομένης, ἐπυρπόλουν καὶ κατέ- την χώραν. Ἐπιθεμένου δὲ τοῦ Ζειποίτου περὶ τὸ ῖνον Φάλιον αὐτοῖς, κακῶς ἀγωνισάμενοι διὰ καὶ ἀταξίαν, ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον ας· καὶ παντελῶς μὲν οὐκ ἀνῃρέθησαν τότε, ου Βυζαντίοις χαρισαμένου τὰς διαλύσεις. Πολ- την πόλιν ἐρημίας ἀνδρῶν κατεχούσης, αἱ μὲν ι γυναῖκες ὑπ᾽ ἀνάγκης ἀπελευθέροις καὶ μετ- πεφώκησαν· αἱ δὲ ἀνανδρίαν ἀντὶ τούτων ἑλό- άμων, αὗται δι᾽ αὑτῶν ἐπέραττον ὅτου δεηθείεν δικασταῖς καὶ ἄρχουσιν, ἀπάγουσαι θάτερον μέρος ροσώπου τῆς καλύπτρας· αἱ δὲ γεγαμημέναι δι᾽

αἰτου—χώραν] Forte ita ordinanda verba: Ζειποίτου δὲ βασιλεύσαντος, καὶ Θρακῶν αὐτοῖς ἐπικουρίας προσγενομένης, παγκρατιᾷ ἐπυρπόλουν καὶ κατέτρεχον τὴν χώραν.

egant? Erat Chalce- ous bellum adverſus s, omnis generis in- ι præſcriptionem ejus Zeipœtus rex Bi- m omnes ſuos in bel- ucit. Chalcedonenſes Thracum aucti, Bi- m agrum incendiis po- ibuſque vaſtant: ad ı autem a Zeipœto per impetiti, re ob feroci- rdinum neglectam ra- male geſta, amplius illibus militum amit- tunt: internecionem Byzantii averterunt, quorum in grati- am Zeipœtus pacificationem admiſit. Cum autem Chalce- done magna eſſet virorum pe- nuria, pleræque mulieres ne- ceſſitate adactæ ſunt ut liber- tis et inquilinis conſueſcerent: aliæ quæ viris carere, quam ſic matrimonio frui, mallent, ipſæ per ſeſe expediverunt ſi quid erat apud judices et ma- giſtratus negotii, alteram veli partem a facie diducentes: quæ vero nupſerant, pudore ductæ

αἰχμὴν ἀναμιμνούμεναι ταύτας ὡς ἑαυτῶν βελτίονας, εἰς ἔθος ὅμοιον κατέστησαν.

ν'.

« Διὰ τί πρὸς τὸ τοῦ Ἀγήνορος τέμενος τὰς ὄϊς « προσελαύνοντες οἱ Ἀργεῖοι βιβάζουσιν;" Ἦ ὅτι κάλλιστα προβάτων ὁ Ἀγήνωρ ἐπεμελήθη, καὶ πλεῖστα ποίμνια τῶν βασιλέων ἐκτήσατο;

να'.

« Διὰ τί Βαλλαχράδας ἑαυτοὺς Ἀργείων παῖδες « ἐν ἑορτῇ τινι παίζοντες ἀποκαλοῦσιν;" Ἦ ὅτι τοὺς πρώτους ὑπὸ Ἰνάχου καταχθέντας ἐκ τῶν ἀγρῶν εἰς τὰ πεδία ἀχράσι διατραφῆναι λέγουσιν; ἀχράδας δὲ πρῶτον ἐν Πελοποννήσῳ φανῆναι τοῖς Ἕλλησιν, ἔτι τῆς χώρας ἐκείνης Ἀπίας προσαγορευομένης· ὅθεν B ἄπιοι οἱ ἀχράδες μετωνομάσθησαν.

A. 10. ἀγρῶν] Forte ὀρῶν *ex montibus.*

B. 2. ἄπιοι οἱ ἀχράδες] οἱ addidimus ex E. et P. Forte item cum E. legendum ἐπωνομάσθησαν.

quod iſtas ſibi virtute præſtare ſentirent, eundem morem ſunt ſecutæ.

L.

Cur Argivi oves, quas iniri volunt, ad Agenoris lucum fœturæ cauſa abigunt? An quia optime greges curavit Agenor, pecudumque copia omnes reges ſuperavit?

LI.

Cur Argivorum pueri quibuſdam feriis per jocum luſumque Ballachradas ſeipſos appellant? An quod primos qui ex agris in planitiem ab Inacho ſunt deducti, piris ſylveſtribus victitaſſe aiunt? ſcilicet quod tum primum Græcis in Peloponneſo conſpectæ eſſent achrades (id eſt pira ſylveſtria) cum regio illa etiamnum a piris Apia diceretur: poſtmodo apios (id eſt pirum ſylveſtre) achras nominari cœpit.

νβ'.

“ Τίς αἰτία δι' ἣν Ἠλεῖοι τὰς ἐνόδας ἵππους “ ἐκτὸς ὅρων ἀπάγοντες βιβάζουσιν;” Ἢ ὅτι πάντων τῶν βασιλέων φιλιππότατος ὁ Οἰνόμαος, καὶ μάλιστα τὸ ζῶον ἀγαπήσας τοῦτ', ἐπηράσατο πολλὰ καὶ δεινὰ τοῖς τῶν ἵππων ὀχευόντων ἐν Ἤλιδι, καὶ φοβούμενοι τὴν κατάραν ἐκείνην ἀφοσιοῦνται;

νγ'.

“ Διὰ τί παρὰ Κνωσίοις ἔθος ἦν ἁρπάζειν τοῖς “ δανειζομένοις τὸ ἀργύριον;” Ἢ ὅπως ἀποστεροῦντες, ἔνοχοι τοῖς βιαίοις ὦσι, καὶ μᾶλλον κολάζωνται;

νδ'.

“ Τίς αἰτία δι' ἣν ἐν Σάμῳ τὴν Δεξικρέοντος “ Ἀφροδίτην καλοῦσι;” Πότερον ὅτι τὰς γυναῖκας αὐτῶν ὑπὸ τρυφῆς καὶ ὕβρεως ἀκολάστας ποιήσας, Δεξι-

B. 3. ἐνόδας] Sic omnes libri. Forte ἐνώδεις quis ſuſpicetur ex re et argumento ap. Herodot. iv. 30. ubi P. Weſſeling. hic tentat corrigere ἐνθό-ρους. Mox ἵππων ὀχευόντων mutandum videatur in ἵππους ἐνίας ὀχευ-όντων.

LII.

Quid ſubeſt cauſæ, quod Elei equas extra fines ſuos educunt, cum ab equis eas conſcendi volunt? An imprecationem Œnomai ſic abominantur? is enim cum ſtudio alendorum equorum omnibus regibus anteiret, equoſque amaret maxime, multa et dira imprecatus eſt iis qui equos in Elide admitterent.

LIII.

Cur apud Cnoſſios moris erat, ut mutuam fœnore pecuniam accipientes, eam raperent? An ut creditorem fruſtrantes, rei violentæ actionis eo gravius punirentur?

LIV.

Cur in Samo Dexicreontis Venerem invocant? An quod Samias mulieres cum præ luxu et luxuria libidini indulgerent, Dexicreo circulator piaculari-

χρέων ἀνὴρ ἀγύρτης καθαρμῷ χρησάμενος, ἀπήλλαξεν; Ἢ ὅτι ναύκληρος ὢν ὁ Δεξικρέων ἔπλευσεν εἰς Κύπρον ἐπ' ἐμπορίᾳ, καὶ μέλλοντα γεμίζειν, τὴν Ἀφροδίτην κελεύειν ὕδωρ ἐμβαλλόμενον, καὶ μηδὲν ἄλλο, πλεῖν τὴν ταχίστην· πεισθεὶς δὲ καὶ πολὺ ὕδωρ ἐνθέμενος ἐξέπλευσεν· εἶτα νηνεμίας καὶ γαλήνης ἐν τῷ πελάγει καταλαβούσης, διψῶσι τοῖς ἄλλοις ἐμπόροις καὶ ναυκλήροις ὕδωρ πιπράσκων, ἀργύριον πολὺ συνήθροισεν· ἐκ δὲ τούτου κατασκευάσας τὴν θεὸν, ἀφ' ἑαυτοῦ προσηγόρευσεν; D
Εἰ δὴ τοῦτο ἀληθές ἐστι, φαίνεται οὐχ ἕνα πλουτίσαι, πολλοὺς δὲ σῶσαι δι' ἑνὸς ἡ θεὸς θελήσασα.

νέ.

"Διὰ τί τοῖς Σαμίοις, ὅταν τῷ Ἑρμῇ τῷ χαριδότῃ "θύωσι, κλέπτειν ἐφεῖται τῷ βουλομένῳ καὶ λωποδυτεῖν;" Ὅτι κατὰ χρησμὸν ἐκ τῆς νήσου μεταστάντες εἰς Μυκάλην ἀπὸ λῃστείας δέκα ἔτη διεγένοντο· καὶ μετὰ ταῦτα

C. 6. γεμίζειν—κελεύειν] Locus ita ſupplendus:—γεμίζειν τὴν ναῦν, Ἀφροδίτη ἐκέλευσεν.

bus quibuſdam ritibus adhibitis veſania iſta ſolvit? Aut verius eſt quod dicitur? Dexicreo cum eſſet nauclerus Samius, mercaturæ faciundæ gratia in Cyprum navigavit: eum jam navim oneraturum Venus nihil aliud importare quam aquam juſſit, et illico avehi. Paruit conſilio, multaque impoſita aqua ſolvit: mox cum altum ventorum ſilentium et tranquillitas in mari obtinuiſſet, reliquis mercatoribus et naucleris ſiti laborantibus aquam divendens, multum corraſit argenti. Itaque deæ ſimulachrum a ſe nominatum dedicavit. Hæc narratio ſi vera eſt, videtur dea non unum ditare, ſed multos unius miniſterio ſervare voluiſſe.

LV.

Quare Samiis, quando Mercurio Charidotæ (id eſt munifico) ſacrificant, permiſſum eſt furari et veſtes aliorum clepſere, ſi quis hoc velit agere? Quia oraculum ſecuti facta ex inſula migratione in Mycalen, decem annos e latrociniis vixerunt: quibus finitis cum rur-

λεύσαντες αὖθις εἰς τὴν νῆσον, ἐκράτησαν τῶν πολεμίων οἱ Σάμιοι.

νϛ΄.

« Ἀπὸ τίνος Πάναιμα τόπος ἐν τῇ Σάμῳ νήσῳ καλεῖται; » Ἢ ὅτι φεύγουσαι Διονύσιον αἱ Ἀμαζόνες . τῆς Ἐφεσίων χώρας εἰς Σάμον διέπεσαν, ὁ δὲ ποιησάμενος πλοῖα, καὶ διαβὰς, μάχην συνῆψε καὶ πολλὰς αὐτῶν ἀπέκτεινε περὶ τὸν τόπον τοῦτον, ὃν διὰ τὸ ·λῆθος τοῦ ῥυέντος αἵματος, οἱ θεώμενοι Πάναιμα θαυμάζοντες ἐκάλεσαν; Τῶν δὲ φονευθέντων ἀποθανεῖν τινὲς λέγονται περὶ τὸ Φλοιὸν; καὶ τὰ ὀστᾶ δείκνυται αὐτῶν· τινὲς δὲ λέγουσι καὶ τὸ Φλοιὸν ἐπ᾽ ἐκείνων ῥαγῆναι, φθεγξαμένων μέγα τι καὶ διάτορον.

νζ΄.

« Ἀπὸ ποίας αἰτίας ὁ Ἀνδρῶν ἐν Σάμῳ πεδήτης καλεῖται; Τῶν Γεωμόρων ἐχόντων τὴν πολιτείαν

. 11. Διονύσιον] Immo Διόνυσον.

4 φονευθέντων] Hoc Stephanus, neſcio unde, invexit. Libri omnes φάντων; in E. eſt φ . . . ſequente lacuna. Cæterum codices variant et narrationis nexus impeditus.

…m ad inſulam navigaſſent, …ſtes ſuos devicerunt.

LVI.

Quæ origo eſt vocis Panæ…a in Samo inſula loci nomen …primentis? Amazones Bac…um fugientes e ditione E…eſia in Samum evaſerunt: …e navibus conſtructis tranſ…etavit, conſertoque prœlio …ultas eo in loco concidit: …em ſpectantes a copia fluen…s ſanguinis panæma appellaverunt ex admiratione. Qui occiſas has aiunt, ex his nonnulli rem ad Phlœum geſtam aſſerunt, et oſſa earum monſtrantur: alii Phlœum quoque illis morientibus ruptum perhibent, magnam et penetrantem vocem edentibus.

LVII.

Andron qui vocatur Sami, (eſt autem ædes) cur Pedetes (nomine a compedibus ducto) appellatur? Cum Geomori

μετὰ τὴν Δημοτέλους σφαγὴν καὶ τὴν κατάλυσιν τῆς ἐκείνου μοναρχίας, οἱ Μεγαρεῖς Περινθίοις ἐπεστράτευσαν ἀποίκοις οὖσι Σαμίων, πέδας κομίζοντες, ὡς λέγεται, 1 ἐπὶ τοὺς αἰχμαλώτους. Ταῦτα δὲ οἱ Γεωμόροι πυνθανόμενοι, βοήθειαν ἔπεμπον κατὰ τάχος, στρατηγοὺς μὲν ἀποδείξαντες ἐννέα, ναῦς δὲ πληρώσαντες τριάκοντα. Τούτων ἐκπλεύσασαι δύο, πρὸ τοῦ λιμένος ὑπὸ κεραυνοῦ 304
διεφθάρησαν· οἱ δὲ στρατηγοὶ ταῖς ἄλλαις πλεύσαντες ἐνίκων τοὺς Μεγαρέας, καὶ ζῶντας αὐτῶν ἔλαβον ἑξακοσίους. Ἐπαρθέντες δὲ τῇ νίκῃ, διενοοῦντο καταλύειν τὴν οἴκοι Γεωμόρων ὀλιγαρχίαν. Ἀφορμὴν δὲ παρέσχον οἱ προεστῶτες τῆς πολιτείας, γράψαντες αὐτοῖς ὅπως τοὺς αἰχμαλώτους τῶν Μεγαρέων κομίσωσι ταῖς αὐτῶν ἐκείνων πέδαις δεδεμένους. Λαβόντες οὖν τὰ γράμματα ταῦτα, καὶ δείξαντες κρύφα τοῖς τῶν Μεγαρέων, ἔπεισαν αὐτοὺς συστῆναι μεθ' αὐτῶν, καὶ τὴν πόλιν ἐλευ-

A. 9. τοῖς τῶν Μεγαρέων] Legendumne τισὶ pro τοῖς, an ex antecedentibus ſubaudiendum πρέσβεσι.

(agrarii) poſt necatum Damotelem, ſublatamque ejus tyrannidem, Samiam rempublicam in ſua haberent poteſtate, Megarenſes bellum Perinthiis intulerunt, coloniæ Samiorum, compedes ſecum ferentes, ut aiunt, quibus captivos induerent. Geomori re cognita, raptim Perinthiis auxilio miſerunt ſub novem ducibus naves inſtructas triginta: quarum duæ extra portum provectæ, fulmine ictæ perierunt, duces reliquis uſi vicerunt Megarenſes, vivoſque ex ipſis ceperunt ſexcentos. Ea victoria ita aucti ſunt ducibus animi, ut de evertenda paucorum in patria cogitarent, quæ penes Geomoros erat, dominatione. Occaſionem ipſis præbuerunt reipublicæ principes, qui per litteras mandabant ut Megarenſes captivos ſuis ipſorum impeditos compedibus adducerent. Has illi litteras acceptas Megarenſibus clanculum oſtendunt: utque ſe ipſis in Samia liberanda repub-

θεράπουσι. Βουλευομένοις δὲ κοινῇ περὶ τῆς πράξεως, ἔδοξε τῶν πεδῶν τοὺς κρίκους διακεστῆσαι, καὶ περιθεῖναι οὕτως τοῖς σκέλεσι τῶν Μεγαρέων, ἀναλαβεῖν πρὸς τὰς ζώνας ἱμᾶσιν, ὅπως μὴ περιρρέωσι, μηδὲ ἐκβαίνωσιν, αὐτῶν ἐν τῷ βαδίζειν χαλαρῶν γενομένων. Οὕτω δὲ τοὺς ἄνδρας ἐνσκευάσαντες, καὶ ξίφος ἑκάστῳ δόντες, ἐπεὶ κατέπλευσαν εἰς Σάμον καὶ ἀπέβησαν, ἦγον αὐτοὺς δι' ἀγορᾶς εἰς τὸ βουλευτήριον, ὁμοῦ τι πάντων τῶν Γεωμόρων συγκαθεζομένων· εἶτα σημεῖον δόντος, οἱ Μεγαρεῖς προσπεσόντες, ἔκτεινον τοὺς ἄνδρας. Οὕτω δὲ τῆς πόλεως ἐλευθερωθείσης, τούς τε βουλομένους τῶν Μεγαρέων πολίτας ἐποιήσαντο, καὶ κατασκευάσαντες οἶκον εὐμεγέθη, τὰς πέδας ἀνέθηκαν, καὶ ἀπὸ τούτου πεδήτης ὁ οἶκος ὠνομάσθη.

νη'.

" Διὰ τί παρὰ Κώοις ὁ τοῦ Ἡρακλέους ἱερεὺς ἐν
" Ἀντιμαχίᾳ γυναικείαν ἐνδεδυμένος ἐσθῆτα, καὶ τὴν
" κεφαλὴν ἀναδούμενος μίτρᾳ κατάρχεται τῆς θυσίας;"

lica ſocios adjungerent, perſuadent. Re conſiliis communicatis tractata, placuit compedum annulos excutere, ſicque demum cruribus Megarenſium aptare compedes, ac ne ob laxitatem de pedibus defluerent inter eundum, loris ad cingula alligare. Sic inſtructos Megarenſes, et gladiis ſingulis armatos, poſtquam ad Samum applicuerunt naves, per forum in curiam duxerunt, omnibus fere ibi Geomoris conſidentibus: ſigno deinde dato, Megarenſes impetu facto eos trucidarunt. Liberata ad hunc modum urbe, Megarenſes, quotquot vellent, in civitatem ſuam admiſerunt, ædeque ampla exſtructa compedes pro monimento ſuſpenderunt: quæ ſuum illud inde ſortita eſt nomen.

LVIII.

Cur apud Coos Herculis ſacerdos in Antimachia muliebri indutus veſte, capite vittato, ſacrificium auſpicatur? Her-

Ἡρακλῆς ταῖς ἓξ ναυσὶν ἀπὸ Τροίας ἀναχθεὶς ἐχειμάσθη, καὶ τῶν νεῶν διαφθαρεισῶν, μιᾷ μόνῃ πρὸς τὴν Κῶν ὑπὸ τοῦ πνεύματος ἐλαυνόμενος, ἐξέπεσε κατὰ τὸν Λακητῆρα καλούμενον, οὐδὲν ἄλλο περισώσας ἢ τὰ ὅπλα καὶ τοὺς ἄνδρας· ἐντυχὼν δὲ προβάτοις, ᾔτει κριὸν D ἕνα παρὰ τοῦ νέμοντος· ὁ δ' ἄνθρωπος ἐκαλεῖτο μὲν Ἀνταγόρας· ἀκμάζων δὲ τῇ ῥώμῃ τοῦ σώματος, ἐκέλευσεν αὐτὸν διαπαλαῖσαι τὸν Ἡρακλέα· κἂν καταβάλῃ, τὸν κριὸν φέρεσθαι· καὶ συμπεσόντος αὐτοῦ τοῦ Ἡρακλέους εἰς χεῖρας, οἱ Μέροπες τῷ Ἀνταγόρᾳ προσβοηθοῦντες, οἱ δὲ Ἕλληνες τῷ Ἡρακλεῖ, μάχην καρτερὰν συνῆψαν. Ἐν ᾗ λέγεται τῷ πλήθει καταπονούμενος ὁ Ἡρακλῆς καταφυγεῖν πρὸς γυναῖκα Θρᾷτταν, καὶ διαλαθεῖν ἐσθῆτι γυναικείᾳ κατακρύψας ἑαυτόν. Ἐπεὶ δὲ τῶν Μερόπων αὖθις κρατήσας καὶ καθαρθεὶς ἐγάμει τὴν Ἀλκιόπου, ἀνέλαβε στολὴν ἀνθινήν. Διὸ θύει μὲν ὁ E ἱερεὺς ὅπου τὴν μάχην συνέβη γενέσθαι, τὰς δὲ νύμφας οἱ γαμοῦντες δεξιοῦνται γυναικείαν στολὴν περιθέμενοι.

cules ſex navibus a Troja avectus, tempeſtate adverſa uſus quæ naves ejus perderet, unica ad Con vento compulſa ad Laceterem (loci hoc nomen) excidit, armis viriſque reliquis, cæteris omnibus rebus amiſſis. Ibi cum in oves incidiſſet, a paſtore unum petiit arietem: Paſtori nomen fuit Antagoras: qui cum robore corporis vigeret, luctæ hanc conditionem Herculi obtulit, ut arietem, ſi Antagoram viciſſet, auferret. Poſtquam conſeruerunt manus, Meropes Antagoræ, Græci Herculi opem tulerunt, acriſque exorta eſt pugna. In hac tradunt Herculem adverſariorum multitudine defatigatum, ad Threſſam confugiſſe mulierem, et feſelliſſe, cum ſe texiſſet muliebri veſte. Deinde autem cum debellaſſet Meropes, et expiatus eſſet, ducta Alciopi filia, veſtem ſumpſit floridam. Itaque eo in loco, ubi pugnatum fuit, rem ſacram facit pontifex: ſponſi autem ſponſas amplectuntur muliebrem induti amictum.

νθʹ.

“ Πόθεν ἐν Μεγάροις γένος Ἁμαξοκυλιστῶν;” Ἐπὶ τῆς ἀκολάστου δημοκρατίας, ἣ καὶ τὴν παλιντοκίαν ἐποίησε καὶ τὴν ἱεροσυλίαν, ἐπορεύετο θεωρία. Πελοποννησίων εἰς Δελφοὺς διὰ τῆς Μεγαρικῆς, καὶ κατεκυλίσθησαν ἐν Αἰγείροις παρὰ τὴν λίμνην μετὰ παίδων καὶ γυναικῶν, ὡς ἔτυχεν, ἐν ταῖς ἁμάξαις. Τῶν δὲ Μεγαρέων οἱ θρασύτατοι μεθυσθέντες, ὕβρει καὶ ὠμότητι τὰς ἁμάξας ἀνακυλίσαντες, εἰς τὴν λίμνην ἐνεώσαντο, ὥστε πολλοὺς ἀποπνιγῆναι τῶν θεωρῶν. Οἱ μὲν οὖν Μεγαρεῖς δι' ἀταξίαν τῆς πολιτείας, ἠμέλησαν τοῦ ἀδικήματος· οἱ δὲ Ἀμφικτύονες, ἱερᾶς τῆς θεωρίας οὔσης, ἐπιστραφέντες, τοὺς μὲν φυγῇ, τοὺς δὲ θανάτῳ τῶν ἐναγῶν ἐζημίωσαν. Οἱ δ' ἀπὸ τοῦ γένους, Ἁμαξοκυλισταὶ προσηγορεύθησαν.

E. 7. κατεκυλίσθησαν] Immo κατηυλίσθησαν.

LIX.

Unde Megaræ genus eſt Hamaxokyliſton? In effræni illa opularis in republica potentiæ licentia, quæ palintociam tiam et ſacrilegium protulit, ccidit ut miſſi Delphos conultum oraculum atque ad ſonnem feſtivitatem Peloponeſii legati, cum per Megariam irent, apud Ægira cum xoribus et liberis, ut res turat, in quadrigis ad paludem ernoctarent. Megarenſium utem ferociſſimi, ebrietate, etulantia, immanitateque incitati, quadrigas in paludem devolverunt, ita ut multi legatorum fuerint ſuffocati. Ac Megarenſes quidem in iſta reipublicæ confuſione flagitium iſtud impune eſſe paſſi ſunt. Amphictyones autem, habita ratione ſacroſanctæ ad Delphos miſſionis, ſceleratos iſtos partim morte, partim exilio pœnas pendere coegerunt. Horum flagitioſorum poſteri Hamaxokyliſtæ (quaſi vehiculorum devolutores nominares) appellati ſunt.

[illegible]

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΠΑΡΑΛΛΗΛΩΝ

ΑΛΗΝΙΚΩΝ ΚΑΙ ΡΩΜΑΙΚΩΝ.

105 # ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΠΑΡΑΛΛΗΛΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΚΑΙ ΡΩΜΑΙΚΩΝ.

PLUTARCHI

PARALLELA

GRÆCA ET ROMANA.

ΤΑΣ ἀρχαίας ἱστορίας, διὰ τὰ παράδοξα τῆς
πράξεως, οἱ πλεῖστοι νομίζουσι πλάσματα καὶ
B μύθους τυγχάνειν· εὑρὼν δὲ ἐγὼ καὶ ἐν τοῖς νῦν χρόνοις
γεγονότα ὅμοια τὰ ἐν τοῖς Ῥωμαϊκοῖς καιροῖς συμβε-
βηκότα, ἐξελεξάμην, καὶ ἑκάστῳ πράγματι ἀρχαίῳ

A. 1. ΠΛΟΥΤΑΡΧΟΥ] Hic, ut in aliis nonnullis ſpuriis libellis, nomen Plutarchi reliqui, utpote in codicibus ſcriptis propagatum: quamquam eſt hic fœtus falſarii et vaniſſimi et ineptiſſimi et unius omnium mendaciſſimi; quippe et hiſtoriolas finxit et Auctorum nomina ementitus eſt.

PLERIQUE exiſtimant veteres rerum geſtarum narrationes figmenta eſſe et fabulas, propterea quod alienæ ſunt a communi opinione. Ego qui obſervaſſem poſterioribus temporibus eveniſſe germana eorum quæ priſcis temporibus perhiberentur contigiſſe, collegi cuivis antiquæ

νεωτέραν ὁμοίαν διήγησιν ὑπέταξα, ἀναγράψας καὶ τοὺς ἱστορήσαντας ἄνδρας.

α′.

Δατις ὁ Περσῶν σατράπης, μετὰ τριάκοντα μυριάδων εἰς Μαραθῶνα παραγενόμενος πεδίον τῆς Ἀττικῆς, καὶ στρατοπεδευσάμενος, πόλεμον τοῖς ἐγχωρίοις κατήγγελεν· Ἀθηναῖοι δὲ τοῦ βαρβαρικοῦ πλήθους καταφρονήσαντες, ἐνακισχιλίους ἔπεμψαν, στρατηγοὺς ποιήσαντες, Κυναίγειρον, Πολύζηλον, Καλλίμαχον, Μιλτιάδην. Συμβληθείσης δὲ τῆς παρατάξεως, Πολύζηλος c μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπέβαλε, καὶ τυφλὸς ἐγένετο· Καλλίμαχος δὲ, πολλοῖς περιπεπαρμένος δόρασι, καὶ νεκρὸς ἐστάθη· Κυναίγειρος δὲ, Περσικὴν ἀναγομένην ναῦν κατασχὼν, ἐχειροκοπήθη.

Ασδρουβας βασιλεὺς, Σικελίαν καταλαβόμενος, πόλεμον Ῥωμαίοις κατήγγειλε· Μέτελλος δὲ ὑπὸ τῆς συγκλήτου στρατηγὸς χειροτονηθεὶς, ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων, εὐγενὴς ἀνὴρ, τὴν

rei geſtæ reſpondentem recentiorem hiſtoriam, ſimulque auctoribus nominatis expoſui.

I.

Datis Perſarum ſatrapes, exercitu trecentorum millium ad Marathonem Atticæ planitiem adducto, poſitiſque caſtris, incolis bellum denunciavit. Athenienſes, ſpreta barbarorum multitudine, novem millia hominum miſerunt, ducibus Cynægiro, Polyzelo, Callimacho, Miltiade. Collatis ſignis cum pugnaretur, Polyzelus aliquid humana conditione auguſtius conſpicatus, eſt luminibus captus. Callimachus multis transfixus haſtis, etiam mortuus ſtetit. Cynægiro, dum Perſicam navim receptui ſe dantem retinet, manus ſunt amputatæ.

Asdrubal rex Sicilia occupata, bellum Romanis indixit. Metellus a ſenatu bello gerendo præfectus, vicit: in prœlio Lucius Glauco patricius, dum navim Aſdrubalis detinet, utramque amiſit ma-

ύβα κατέχων ναῦν, ἀμφοτέρας ἀπέβαλε τὰς
: καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ
ῶν, παρ' οὗ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος ὁ
ώτης.

β'.

ΡΞΗΣ μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ
ρμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. Ἀ-
δὲ συγκεχυμένοι, κατάσκοπον ἔπεμψαν Ἀγησί-
ὸν Θεμιστοκλέους ἀδελφὸν, καίπερ Νεοκλέους τοῦ
; αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβε-
τα τὰς χεῖρας. Παραγενόμενος δὲ εἰς τοὺς βαρ-
: ἐν σχήματι Περσικῷ, Μαρδόνιον ἕνα τῶν σωμα-
ίκων ἀνεῖλεν, ὑπολαμβάνων Ξέρξην εἶναι. Συλ-
ς δὲ πρὸς τῶν πέριξ, δέσμιος ἤχθη πρὸς τὸν
έα· βουθυτεῖν δὲ τοῦ προειρημένου μέλλοντος ἐπὶ
' ἡλίου βωμῷ, τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ
πως ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων,
ώθη τῶν δεσμῶν, εἰπών, Πάντες μὲν τοιοῦτοι

Narrat hoc Ariſtides
ıs, primo libro rerum
um, a quo deſumptum
gumentum Diodorus
tractavit.

II.

XES quingentarum my-
hominum exercitu in-
s ad Artemiſium appu-
ıſque regionis incolas
ſtilia abs ſe exſpectare
Athenienſes conturba-
mis, Ageſilaum The-
is fratrem miſere explo-
quanquam pater ejus
s in ſomnis vidiſſet il-
lum ambabus truncatum manibus. Is Ageſilaus ubi pervenit habitu Perſico ad barbaros, Mardonium quendam de regis ſtipatoribus, Xerxem ratus eſſe, interfecit: compreherſuſque a circumſtantibus, vinctus ad regem eſt adductus. Bove tum litaturus erat rex ad aram Solis. Ibi Ageſilaus igni in ara excitato dextram impoſuit manum, cruciatumque abſque ullo pertulit gemitu: vinculis proinde ſolutus, dixit: *Tales ſunt omnes Athenienſes: quod ſi non cre-*

Ἀθηναῖοι· εἰ δὲ ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω.
Φοβηθεὶς δὲ ὁ Ξέρξης, φρουρεῖσθαι αὐτὸν προσέταξε·
καθάπερ ἱστορεῖ Ἀγαθαρχίδης Σάμιος ἐν δευτέρᾳ τῶν
Περσικῶν.

Πορσίνας Τούσκων βασιλεὺς, πέραν ποταμοῦ
Θύμβρεως στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ
σιτίων φερομένην εὐθηνίαν Ῥωμαίοις μέσην λαβὼν, λιμῷ F
τοὺς προειρημένους ἔτρυχε. Τῆς δὲ συγκλήτου συγκε-
χυμένης, Μούκιος τῶν ἐπισήμων ἀνὴρ λαβὼν τετρακοσίους
ἀπὸ τῶν ὑπάτων ὁμήλικας, ἐν ἰδιωτικῷ σχήματι τὸν
ποταμὸν διῆλθεν. Ἰδὼν δὲ τὸν σωματοφύλακα τοῦ τυ-
ράννου τὰ ἐπιτήδεια διδόντα τοῖς στρατηγοῖς, ὑπολαβὼν
αὐτὸν τὸν Πορσίναν εἶναι, ἀνεῖλεν. Ἀχθεὶς δὲ ἐπὶ τὸν
βασιλέα, τοῖς ἐμπύροις ἐπέθηκε τὴν δεξιὰν χεῖρα, καὶ
στέξας τὰς ἀλγηδόνας εὐψύχως, ἐμειδίασεν, εἰπὼν, Βάρ- 306
βαρε, λέλυμαι κἂν μὴ θέλῃς· καὶ ἴσθι ἡμᾶς κατὰ σοῦ
τετρακοσίους ὄντας ἐν τῷ στρατοπέδῳ, οἵ σε ἀνελεῖν ζη-
τοῦμεν. Ὁ δὲ φοβηθεὶς, σπονδὰς πρὸς Ῥωμαίους

dis, etiam ſiniſtram impoſuero. Xerxes metu concepto, in cuſtodia eum juſſit adſervari. Narratio eſt Agatharchidæ Samii, libro Perſicarum rerum ſecundo.

Ῥωμύλου πάθος καὶ τὴν ὁμοιότητα τιμῶντες. Καὶ μήν, τό, τε λαθεῖν αὐτοὺς τρεφομένους καὶ παιδευομένους ἐν Γαβίοις, ἀγνοηθῆναί τε Σιλβίας ὄντας υἱοὺς καὶ θυγατριδοῦς Νομίτωρος τοῦ βασιλέως, παρὰ πάντα τύχης κλέμμα καὶ σόφισμα φαίνεται γεγενημένον, ὅπως μὴ ἀπόλωνται πρὸ τῶν ἔργων διὰ τὸ γένος, ἀλλ' ἐν αὐτοῖς φανῶσι τοῖς κατορθώμασι, γνωρίσματα τῆς εὐγενείας τὴν ἀρετὴν παρέχοντες. Ἐνταῦθά μοι μεγάλου καὶ φρονίμου στρατηγοῦ λόγος ἔπεισι Θεμιστοκλέους ῥηθεὶς πρός τινας τῶν ὕστερον εὐημερούντων Ἀθήνησι στρατηγῶν, καὶ προτιμᾶσθαι τοῦ Θεμιστοκλέους ἀξιούντων· ἔφη γὰρ τὴν ὑστέραν ἐρίσαι πρὸς τὴν ἑορτήν, λέγουσαν ὡς ἐκείνη μὲν ἐστι κομπώδης καὶ ἄσχολος, ἐν αὐτῇ δὲ τῶν παρεσκευασμένων ἀπολαύουσι μεθ' ἡσυχίας· τὴν οὖν ἑορτὴν εἰπεῖν, Ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γινομένης, ποῦ ἂν σὺ ἦσθα; κἀμοῦ τοίνυν, ἔφη, μὴ γενομένου ποῦ τὰ

E. 7. Νομίτωρος τοῦ βασιλέως;] Sic B. Vulgo, Νομίτορος καὶ τοῦ βασιλέως.

F. 9. κομπώδης] Legendum κοπώδης ex Vita Themiſtoclis p. 121. B. quod jam monuit Bryan. eo loco, t. i. p. 95. et ante eum Mez.

muli caſum et ſimilitudinem venerantes. Enimvero quod tum fefellerunt occulte Gabiis educati, ignoratumque eſt eos Sylviæ filios, Numitoris regiſque nepotes eſſe, aſtu et furto Fortunæ videtur eveniſſe; ne ante rem gerendam generis cauſa perirent, ſed in ipſis præclaris agnoſcerentur facinoribus, Virtute indicium nobilitatis præbente. Hoc loco mihi occurrit dictum magni et prudentis imperatoris Themiſtoclis in quoſdam Athenienſium duces, qui ipſum ſecuti et rebus uſi ſecundis præferri ei cupiebant: aiebat enim, *diem, qui feſtum ſubſequitur, feſto diei dixiſſe in quadam contentione*, "*Tu tumultus multos habes et occupationes: ego quæ parata ſunt fruendi quietem exhibeo*;" *ac feſtum diem reſpondiſſe*: "*Vera dicis, ſed ego niſi fuiſſem, ubi tu eſſes?*" "*Et ego*," dicebat Themiſtocles,

Μηδικῷ, τίς ἂν ὑμῶν ἦν νῦν ὄνησις; Τοῦτό μοι δοκεῖ πρὸς τὴν Ῥωμύλου Ἀρετὴν ἡ Τύχη λέγειν, Λαμπρὰ μὲν τὰ σὰ ἔργα καὶ μεγάλα, καὶ θεῖον ὡς ἀληθῶς ἐξ-
321 έφηνας αἷμα καὶ γένος οὖσαν σεαυτήν· ἀλλ' ὁρᾷς πόσον ὑστερεῖς μου; εἰ γὰρ ἐγὼ τότε μὴ παρηκολούθησα χρηστὴ καὶ φιλάνθρωπος, ἀλλ' ἀπέλιπον καὶ προηκάμην τὰ νήπια, σὺ πῶς ἂν ἐγένου καὶ πόθεν ἐξέλαμψας; εἰ τότε μὴ θῆλυ θηρίον ἐπῆλθε φλεγμαῖνον ὑπὸ πλήθους καὶ φορᾶς γάλακτος καὶ τραφησομένου δεόμενον μᾶλλον ἢ θρέψοντος, ἀλλ' ἀνήμερόν τι τελέως καὶ λιμῶττον, οὐκ ἂν ἔτι νῦν τὰ καλὰ ταῦτα βασίλεια καὶ ναοὶ, καὶ θέατρα, καὶ περίπατοι, καὶ ἀγοραὶ, καὶ ἀρχεῖα, βοτῆρες καὶ καλύβαι καὶ σταθμοὶ νομέων ἦσαν, Ἀλβανὸν, ἢ Τυῤῥηνὸν, ἢ Λατῖνον ἄνδρα δεσπότην προσκυνούντων.
B Ἀρχὴ μὲν δὴ τὸ μέγιστον ἐν παντὶ, μάλιστα δὲ ἐν ἱδρύσει καὶ κτίσει πόλεως· ταύτην δὲ ἡ Τύχη παρέσχε,

A. 9. βοτῆρες καὶ καλύβαι] Non ineleganter per ſe: at conjuncte cum proximis, minus videtur elegans dictio: quare malim βοτήρων καλύβαι. B. et Reiſk. ante βοτῆρες præponunt ἀλλὰ: quæ eſt, ut credo, temeraria mutatio priorem nexum non attendentis.

« *ſi Medico bello non fuiſſem,* « *quis nunc veſtrum eſſet uſus?*" Eodem mihi modo Fortuna videtur Romuli virtutem compellare: *Illuſtria ſunt ſane et magna tua facta, et re vera docuiſti te ſanguinem et genus deorum eſſe: ſed videſne quanto me ſubſequaris ſpatio? nam niſi ego tum benignitate et humanitate mea adfuiſſem, ſed deſeruiſſem ac prodidiſſem infantes, qui tu exſiſtere et eluceſcere potuiſſes? ſi tum non fœmina beſtia ſuperveniſſet, inflammata lactis copia et impetu, magiſque requirens quod aleret ipſa, quam quo aleretur, ſed fera aliqua plane et eſuriens, non jam pulchræ iſtæ eſſent regiæ, templa, theatra, ambulationes, fora, archiva: paſtores eſſent, caſæ, ſtabula, Albanum, aut Etruſcum, aut Latinum virum dominum agnoſcentia.* Sane principium ut in omnibus rebus maximi eſt momenti, ita præſertim in condenda urbe: atqui id præbuit Fortuna, quæ conditorem

σώσασα καὶ φυλάξασα τὴν κτίσιν. Ἡ μὲν γὰρ Ἀρετὴ μέγαν ἐποίησε Ῥωμύλον, ἡ Τύχη δὲ ἄχρι τοῦ γενέσθαι μέγαν, ἐτήρησε.

θ'. Καὶ μὴν τήν γε Νουμᾶ βασιλείαν πολυχρονιωτάτην γενομένην, ὁμολογουμένως Εὐτυχία διεκυβέρνησε θαυμαστή. Τὸ μὲν γὰρ Ἐγερίαν, τινὰ νυμφῶν μίαν Δρυάδων, δαίμονα σοφὴν, ἔρωτι τ' ἀνδρὸς ἐν συνουσίᾳ γενομένην, παραπαιδαγωγεῖν, καὶ συσχηματίζειν τὴν πολιτείαν, ἴσως μυθωδέστερόν ἐστι· καὶ γὰρ ἄλλοι λεχθέντες ἅψασθαι γάμων θείων, καὶ θεοῖς ἐράσμιοι C
γενέσθαι, Πηλεῖς καὶ Ἀγχίσαι καὶ Ὠρίωνες καὶ Ἠμαθίωνες, οὐ πάντως ἀγαπητῶς οὐδ' ἀλύπως διεβίωσαν. Ἀλλὰ Νουμᾶς ἔοικε τὴν ἀγαθὴν Τύχην ἔχειν ὡς ἀληθῶς σύνοικον καὶ σύνεδρον καὶ συνάρχουσαν· ἣ, καθάπερ ἐν κλύδωνι θολερῷ, καὶ πεταραγμένῳ πελάγει, τῇ τῶν περιοίκων καὶ γειτόνων ἔχθρᾳ καὶ χαλεπότητι, τὴν πόλιν φερομένην καὶ φλεγμαίνουσαν ὑπὸ μυρίων πόνων

B. 11. μυθωδέστερόν ἐστι· καὶ γὰρ] Puto poſt ἐστι excidiſſe : οὐ μὴν λίαν εὐτυχές.

urbis ſalute donavit et conſervavit: nam virtus Romulum magnum fecit: Fortuna eo uſque cuſtodivit, dum magnus fieret.

IX. Enimvero ipſum quoque Numæ regnum, quod duravit diutiſſime, conſtat admirabili gubernatum fuiſſe Fortunæ proſperitate. Quod enim Egeria, una de Dryadibus nymphis, dea docta, ob amorem cum Numa conſueverit, eumque in inſtituenda et conformanda republicâ adjuverit, fabuloſius fortaſſis eſt: nam et alii qui deas habuiſſe uxores, ab iiſve dilecti fuiſſe dicuntur, Peleus, Anchiſes, Orion, Emathion, vitam non admodum ex animi ſententia et citra moleſtiam exegerunt. Sed Numa videtur revera bonam fortunam habuiſſe contubernalem, et collegam, quæ tanquam in turbulento æſtu, conturbatoque mari, in vicinorum ac finitimorum odiis atque inimicitiis urbem exagitatam et inflammatam in-

καὶ διχοστασιῶν περιλαβοῦσα, τοὺς μὲν ἀντιπεπταγμένους θυμοὺς καὶ φθόνους, ὥσπερ πνεύματα, κατέσβεσεν· οἵαν
D δέ φασι τὰς ἀλκυόνων λοχείας περιδεξαμένην τὴν θάλατταν ἐν χειμῶνι σώζειν καὶ συνεκτιθηνεῖσθαι, τοιαύτην ἀναχεαμένη καὶ περιστήσασα πραγμάτων γαλήνην, καὶ ἀπόλεμον καὶ ἄνοσον καὶ ἀκίνδυνον καὶ ἄφοβον νεοσταθεῖ δήμῳ καὶ κραδαινομένῳ, παρέσχε ῥιζῶσαι καὶ καταστῆσαι τὴν πόλιν, αὐξανομένην ἐν ἡσυχίᾳ βεβαίως καὶ ἀνεμποδίστως. Ὥσπερ γὰρ ὁλκὰς ἢ τριήρης ναυπηγεῖται μὲν ὑπὸ πληγῶν καὶ βίας πολλῆς, σφύραις καὶ ἥλοις ἀρασσομένη καὶ γομφώμασι καὶ πρίοσι καὶ πελέκεσι, γενομένην δέ, στῆναι δεῖ καὶ παγῆναι σύμμετρον χρόνον,
E ἕως οἵ τε δεσμοὶ κάτοχοι γένωνται, καὶ συνήκωσιν οἱ γόμφοι λάβωσιν· ἐὰν δὲ ὑγροῖς ἔτι καὶ περιολισθαίνουσι τοῖς ἁρμοῖς κατασπασθῇ, πάντα χαλᾶσαι διατιναχθέντα καὶ δέξεται τὴν θάλατταν· οὕτω τὴν Ῥώμην ὁ μὲν πρῶτος ἄρχων καὶ δημιουργὸς ἐξ ἀγρίων καὶ βοτήρων, ὥσπερ ἐκ δρυάδων

E. 5. δρυάδων] Non dubium quin corrigi debeat δρυόχων.

numeris laboribus ac diſſidiis amplexa, iras et invidias adverſariorum tanquam ventos ſedavit, et ſicut mare dicitur alcyonum partus in tempeſtate excipere, conſervare, ac fovere: ita rerum tranquillitatem Romæ circumdans, ſtatumque bellorum, morborum, periculorum, et terrorum expertem, recens collecto populo et varie concuſſo occaſionem præbuit radices agendi, civitatemque conſtituendi per otium tuto atque citra impedimentum. Quemadmodum enim navis oneraria aut triremis ictibus et vi multa compingitur, malleis, clavis, cuneis, ſerra, ſecuribus adhibitis: compactam autem ſtare ad certum tempus neceſſe eſt, et coaleſcere, dum vincula roborentur, et clavi firmentur: quod ſi recenti adhuc et lubrica compage in mare deduceres, omnia concuſſu fatiſcerent, et aquam admiſſura eſſent: ita Romam primus conditor et opifex ex agreſtibus hominibus et paſ-

κραταιῶν συνιστάμενος, οὐκ ὀλίγους πόνους ἔσχεν, οὐδὲ μικροῖς ἀντήρειστε πολέμοις καὶ κινδύνοις, ἐξ ἀνάγκης ἀμυνόμενος τοὺς ἀνθισταμένους πρὸς τὴν γένεσιν καὶ ἵδρυσιν αὐτῆς· ὁ δὲ δεύτερος παραλαβὼν, χρόνον ἐπέσχε πῆξαι καὶ βεβαιῶσαι τὴν αὔξησιν τῇ εὐτυχίᾳ, ἐπιλαβόμενος πολλῆς μὲν εἰρήνης, πολλῆς δὲ ἡσυχίας. Εἰ F δὲ τότε Πορσίνας τις ἐπέβρισε Τυῤῥηνικὸν χάρακα καὶ στρατόπεδον παραστήσας τείχεσιν ὑγροῖς ἔτι καὶ κραδαινομένοις, ἢ τις ἐκ Μαρσῶν ἀποστὰς ἀρειμάνιος δυνάστης, ἢ Λουκανὸς ὑπὸ φθόνου καὶ φιλονεικίας, ἀνὴρ δύσερις καὶ πολεμοποιὸς, οἷος ὕστερον Μούλιος, ἢ Σίλων ὁ θρασὺς, ἢ τὸ ἔσχατον Σύλλα πάλαισμα Τελεσῖνος, ὡς ἀφ' ἑνὸς συνθήματος ὅλην ἐξοπλίζων τὴν Ἰταλίαν, τὸν φιλόσοφον Νουμᾶν περιεσάλπιζε θύοντα καὶ προσευχόμενον,

E. 7. ἀντήρειστε] Sic B. Vulgo ἀντήριστε.
E. 9. ἐπέσχε] Legendum ἔσχε ut vidit etiam Mez. Cæterum interpungendo expedivimus difficultatem.
F. 6. Μούλιος] Μουτίλος. Xylander conjecit Μουτίλος ex hiſtoria. Mez. indidem, auctore Appiano Μοτίλιος. B. E. Voſſ. P. Μυίλος.
F. 7. πάλαισμα Τελεσῖνος] Inter has voces mediam, quæ vulgo eſt, ἢ, omiſimus cum Baſ. et Xyl.
F. 7. ὡς ἀφ' ἑνὸς] ὡς ſumpſi a Baſ. Xyl. ἀφ' a Steph. quocum cæteri conſentiunt libri exceptis Ald. Baſ. Xyl. qui habent ὅς, pro eodem Voſſ. in margine habet ὁ.

toribus componens tanquam ex validis roboribus, haud exiguos toleravit labores, neque levia bella et pericula ſuſtinuit, neceſſitate compulſus obſiſtentes origini et inſtitutioni ejus propulſare. Secundus autem ejus imperium ſuſcipiens tempus nactus eſt benignitate Fortunæ, Urbis figendæ et confirmandæ, multum pacis adeptus, multum otii. Si vero tum temporis Porſena aliquis Etruſca caſtra exercitumque muris admoviſſet, aut bellicoſus aliquis defectione facta Marſus, invidusve et contentioſus Lucanus, quales poſterioribus temporibus exſtiterunt Mulius, aut ferox ille Silo, aut ultima Syllæ ærumna Teleſinus, qui quaſi una data teſſera totam armans Italiam, philoſophum Numam tubis circumſonaſſet immolantem et deos comprecantem; nullo

οὐκ ἂν ἀντέσχον αἱ πρῶται τῆς πόλεως ἀρχαὶ πρὸς
2 σάλον καὶ κλύδωνα τοσοῦτον, οὐδὲ εἰς εὐανδρίαν καὶ
πλῆθος ἐπέδωκαν. Νῦν δέ, ὡς ἔοικε, τῆς πρὸς τοὺς
ὕστερον πολέμους παρασκευῆς ἐφόδιον Ῥωμαίοις ἡ τότε
εἰρήνη γενέσθαι, καὶ καθάπερ ἀθλητής, ὁ δῆμος ἐκ
τῶν κατὰ Ῥωμύλον ἀγώνων ἐν ἡσυχίᾳ χρόνον ἐτῶν
τριῶν καὶ τετταράκοντα σωμασκήσας, τὴν δύναμιν
ἀξιόμαχον καταστῆσαι τοῖς ὕστερον ἀντιπαττομένοις. Οὐδὲ
γὰρ λιμόν, οὐδὲ λοιμόν, οὐδὲ ἀφορίαν γῆς, οὐδ' ἀωρίαν
τινὰ θέρους ἢ χειμῶνος ἐν τῷ τότε χρόνῳ παραλυπῆσαι
τὴν Ῥώμην λέγουσιν· ὡς οὐκ ἀνθρωπίνης εὐβουλίας,
ἀλλὰ θείας Τύχης ἐπιτροπευούσης τῶν καιρῶν ἐκείνων.
B Ἐκλείσθη δ' οὖν τότε καὶ τὸ τοῦ Ἰανοῦ δίπυλον, ὃ πο-
λέμου τύχην καλοῦσιν· ἀνέῳγε μὲν γὰρ ὅταν ᾖ πόλεμος,
κλείεται δὲ εἰρήνης γενομένης· Νουμᾶ δ' ἀποθανόντος
ἀνεῴχθη, τοῦ πρὸς Ἀλβανοὺς πολέμου συρραγέντος·

A. 2. ὡς ἔοικε] Tuetur, ut ſolet, corrupta Abreſchius Dilucid. Thucyd. p. 6. Verius Reiſkius, Νῦν δέ πως.

B. 1. πολέμου τύχην] Legendum πολέμου πύλην ut certatim corrigunt viri docti Xyl. Junius ex Plut. Numa. Scaliger Conject. Varron. p. 65. Mez.

modo principia urbis reſiſtere tanto potuiſſent æſtui atque motui, neque ad tantam hominum multitudinem ac virtutem incrementa facere. Nunc iſtius temporis pax videtur Romanis quaſi commeatus fuiſſe ad bella quæ poſtmodo inciderunt ſuſtinenda: et athletæ inſtar populus e certaminibus ſub Romulo obitis in pace quadraginta et tres annorum corpore exercitato vires ſufficientes adverſus hoſtes futuros paraviſſe. Nam neque famem, neque peſtem, neque ſterilitatem terræ, neque alienam æſtate hyemeve tempeſtatem illis annis Romæ ferunt incubuiſſe: nimirum non humana prudentia, ſed divina fortuna illud tempus gubernante. Ergo tunc Jani quoque bifores portæ, quam *Belli portam* vocant, clauſæ ſunt: aperiebantur enim cum eſſet bellum, pace facta claudebantur. Numa mortuo apertæ ſunt,

εἶτα μυρίων ἄλλων συνεχῶς ὑπολαμβανόντων, πάλιν δι' ἐτῶν ὀγδοήκοντα καὶ τετρακοσίων ἐκλείσθη, μετὰ τὸν πρὸς Καρχηδονίους πόλεμον, εἰρήνης γενομένης, Γαΐου Ἀτιλίου καὶ Τίτου ὑπάτων· μετὰ δὲ τοῦτον τὸν ἐνιαυτὸν, αὖθις ἀνεῴχθη, καὶ διέμειναν οἱ πόλεμοι ἄχρι τῆς ἐν Ἀκτίῳ νίκης Καίσαρος· τότε δὲ ἤργησε τὰ Ῥωμαίων ὅπλα χρόνον οὐ πολύν· αἱ γὰρ ἀπὸ Καντάβρων τα- C
ραχαὶ καὶ Γαλατίας συῤῥαγεῖσαι Γερμανοῖς, συνετάραξαν τὴν εἰρήνην. Ἀλλὰ ταῦτα μὲν ἡσυχίας τῆς Νουμᾶ προσιστόρηται μαρτύρια.

ι'. Τὴν δὲ τύχην καὶ οἱ μετ' ἐκεῖνον ἐθαύμασαν βασιλεῖς, ὡς πρωτόπολιν καὶ τιθηνὸν, καὶ φερέπολιν τῆς Ῥώμης ἀληθῶς, κατὰ Πίνδαρον. Ἔξεστι δ' οὕτω θεωρεῖν. Ἱερὸν ἐστὶν ἀρετῆς ἐν Ῥώμῃ τιμώμενον, ὃ ΟΥΙΡΤΟΥΤΙΣ αὐτοὶ καλοῦσιν, ἀλλ' ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱδρυθὲν

B. 6. μετὰ τὸν πρὸς Καρχ.] μετὰ ſumpſi a T. Mez. Omnes cæteri κατά. Mox Καντάβρων E. Voſſ. Vulgo Κανταίρων, quod tres Græco-Latinæ perverterunt in Κενταύρου.

C. 7. ἔξεστι δ' οὕτω] Hæc et ſequentia perperam hic repetita videntur a librario ex p. 318. D. Paulo ante pro ἡσυχίας B. E. εὐτυχίας: forte rectius.

bello cum Albanis commiſſo: ſexcentis deinde aliis bellis continenter ſubſecutis, quadringentis poſt et octoginta annis iterum clauſus eſt Janus, poſt Punicum primum bellum pace parta, Caio Atilio et Tito Manlio Conſulibus. Ab illo anno rurſum apertus fuit, duraveruntque bella uſque ad victoriam Auguſti Actiacam: tuncarma Romanorum exiguo tempore conquieverunt, Cantabricis tumultibus, belliſque Gallicis et Germanicis irruentibus, pacemque conturbantibus. Atque hæc adjecta ſunt fortunati Numæ teſtimonium exponentia.

X. Sed et qui eum ſecuti ſunt reges, Fortunam admirati ſunt, ut principem alumnamque Romæ, et, quod Pindarus dixit, quæ revera urbem ferret. Id ſic conſiderare licet. Templum Virtutis eſt Romæ, ſed ſero conditum multis ab Urbis initio annis, a Marcello

ὑπὸ Μαρκέλλου τοῦ Συρακούσας ἑλόντος. Ἔστι δὲ καὶ Γνώμης, ἢ νὴ Δία Εὐβουλίας νεώς, ἣν MENTEM καλοῦσιν· ἀλλὰ καὶ τοῦτο Σκαῦρος Αἰμύλιος περὶ τὰ Κιμβρικὰ τοῖς χρόνοις γεγονὼς καθιέρωσεν, ἤδη τότε D λόγων καὶ σοφισμάτων καὶ στωμυλίας Ἑλληνικῆς εἰς τὴν πόλιν παρεισρυείσης. Σοφίας δὲ ἔτι μέχρι καὶ νῦν ἱερὸν οὐκ ἔχουσιν, οὐδὲ σωφροσύνης, οὐδὲ καρτερίας, οὐδὲ μεγαλοψυχίας· Ἀλλὰ τά γε τῆς Τύχης ἱερὰ πάμπολλα, καὶ παλαιὰ καὶ λαμπρὰ τιμαῖς πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐνίδρυται καὶ καταμέμικται τοῖς ἐπιφανεστάτοις μέρεσι καὶ τόποις τῆς πόλεως. Καὶ τὸ μὲν τῆς Ἀνδρείας Τύχης ἱερὸν ἀπὸ Μαρκίου Ἄγκου τοῦ τετάρτου βασιλέως ἱδρυθὲν καὶ ὀνομασθὲν οὕτως ὅτι πλεῖστον ἀνδρείας ἢ τύχης εἰς τὸ νικᾶν μετέσχηκε· ὃ δὲ τῆς Γυναικείας αὖθις ἀπὸ τῶν γυναικῶν αἳ Μάρκιον Κοριολανὸν ἀπέστρεψαν ἐπά-
E γοντα τῇ Ῥώμῃ πολεμίους καθοσιωθὲν, οὐδεὶς ἀγνοεῖ. Σέρβιος δὲ Τύλλιος, ἀνὴρ τῶν βασιλέων μάλιστα καὶ τὴν

D. 9. πλεῖστον ἀνδρείας ἢ τύχης] Legendum πλεῖστον ἡ ἀνδρείᾳ τύχης, ex 318, E.

qui Syracuſas cepit. Eſt etiam Mentis: ſed id dedicavit Scaurus Æmilii qui bello Cimbrico vixit: cum jam oratoria ars, et argutiæ ſophiſtarum in urbem ſe inſinuaſſent. Sapientiæ in hunc uſque diem templum non habent, neque Temperantiæ, neque Tolerantiæ, neque Magnanimitatis. Fortunæ vero templa permulta antiqua et ſplendida omnis generis fere honoribus poſita ſunt, et permixta partibus ac locis Romæ potiſſimis. Virilis Fortunæ templum ab Anco Marcio quarto rege eſt ædificatum: nomenque inde petitum, quod ad victoriam parandam fortitudini fortuna plurimum adfert adjumenti. Muliebris Fortunæ templum dedicaverunt matronæ, cum Marcium Coriolanum hoſtes adverſus Romam ducentem avertiſſent: quod nemo ignorat. Servius porro Tullius, qui omnium regum maxime et po-

δύναμιν αὐξήσας τοῦ δήμου, καὶ τὸ πολίτευμα κοσμήσας, καὶ τάξιν μὲν ἐπιθεὶς ταῖς ψηφοφορίαις, τάξιν δὲ ταῖς στρατιαῖς, τιμητὴς δὲ πρῶτος, καὶ βίων ἐπίσκοπος καὶ σωφροσύνης γενόμενος, καὶ δοκῶν ἀνδρειότατος εἶναι καὶ φρονιμώτατος, αὐτὸς ἑαυτὸν εἰς τὴν Τύχην ἀνῆπτε, καὶ ἀνεδεῖτο τὴν ἡγεμονίαν ἐξ ἐκείνης· ὥστε καὶ συνεῖναι δοκεῖν αὐτῷ τὴν Τύχην, διά τινος θυρίδος καταβαί- E
νουσαν εἰς τὸ δωμάτιον, ἣν νῦν ΦΕΝΕΣΤΕΛΛΑΝ πύλην καλοῦσιν. Ἱδρύσατο δ' οὖν Τύχης ἱερὸν ἐν μὲν Καπιτωλίῳ, τὸ τῆς ΠΡΙΜΙΓΕΝΕΙΑΣ λεγομένης, ὃ πρωτογόνου τις ἂν ἑρμηνεύσειε· καὶ τὸ τῆς ΟΨΕΚΟΥΕΝΤΗΣ, ἣν οἱ μὲν πειθήνιον, οἱ δὲ μειλίχιον εἶναι νομίζουσι. Μᾶλλον δὲ τὰς Ῥωμαϊκὰς ἐάσας ὀνομασίας, Ἑλληνιστὶ τὰς δυνάμεις τῶν ἱδρυμάτων πειράσομαι καταριθμήσασθαι· καὶ γὰρ Ἰδίας Τύχης ἱερόν ἐστιν ἐν Παλατίῳ, καὶ τὸ τῆς Ἰξευτρείας, εἰ καὶ γελοῖον, ἀλλ' ἔχον ἐκ μεταφορᾶς ἀναθεώρησιν, οἷον ἑλκούσης τὰ πόῤῥω καὶ κρατούσης συμπροσισχόμενα· παρὰ δὲ τὴν Μουσκῶσαν καλουμένην κρήνην ἔτι Παρθένου Τύχης ἱερόν ἐστιν ἐν 323

tentiam auxit populi, et rempublicam ornavit, ordinemque cenſus, ordinem militiæ inſtituit, primuſque cenſor et inſpector vitæ ac modeſtiæ civium fuit, credituſque eſt vir fuiſſe fortiſſimus ac prudentiſſimus: ipſe ſeipſum ad fortunam rejecit, eique regnum ſuum acceptum tulit: ita ut etiam cum eo conſueſcere Fortuna putaretur, per feneſtellam in domum ejus deſcendens. Is ergo Fortunæ templa poſuit, Primigeniæ in Capitolio, et Obſequentis. Eſt et Privatæ Fortunæ templum in Capitolio, et Viſcoſæ: quod etſi ridiculum eſt cognomen, tamen tralatione contemplandam Fortunæ naturam exhibet, eminus ad ſe trahentis, et tangentia retinentis. Ad fontem, qui Muſcoſus dicitur, Virginis ad-

Ἀβησκύμαις Ἐπιστρεφομένης· ἐν δὲ τῷ μακρῷ στενωπῷ, Τύχης βωμὸς Εὐελπίδος, ἢ ὡς ἐλπίδος· ἔστι δὲ καὶ παρὰ τὸν τῆς Ἀφροδίτης Ἐπιταλαρίου βωμὸν, Ἄῤῥενος Τύχης ἕδος· ἄλλαι τε μυρίαι τύχης τιμαὶ καὶ ἐπικλήσεις, ὧν τὰς πλείστας Σερούϊος κατέστησεν, εἰδὼς ὅτι μεγάλη ῥοπὴ, μᾶλλον δὲ ὅλον ἡ Τύχη παρὰ πάντα ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα, καὶ μάλιστά γε αὐτὸς, δι' εὐτυχίαν ἐξ αἰχμαλώτου καὶ πολεμίου γένους, εἰς βασιλείαν προαχθέντος. Τοῦ γὰρ Κορνικολάνων
B ἄστεος ἁλόντος ὑπὸ Ῥωμαίων, Ὀκρησία παρθένος αἰχμάλωτος, ἧς οὐδὲ τὴν ὄψιν οὐδὲ τὸν τρόπον ἠμαύρωσεν ἡ τύχη, δοθεῖσα Ταναχυλλίδι τῇ Ταρκυνίου γυναικὶ τοῦ βασιλέως, ἐδούλευσε· καὶ πελάτης τις εἶχεν αὐτὴν, οὓς ΚΛΙΕΝΤΗΣ Ῥωμαῖοι καλοῦσιν· ἐκ τούτων ἐγεγόνει Σερούϊος. Οἱ δὲ οὔ φασιν, ἀλλὰ παρθένον τὴν Ὀκρησίαν ἀπαργ-

A. 2. Ἀβησκύμαις] Ita omnes libri: corrupte, ut videtur. Mez. corrigit Αἰσκυλίαις. Cæterum interpungendo ſenſui nonnihil lucem adferre ſtudui. Fortuna *Redux* ſignificatur.

A. 3. ἢ ὡς ἐλπίδος] Adeſt in omnibus noſtris libris, excepto uno non nominato MS. ad calcem Græco-Latinæ editionis: corruptum ſane aut aliunde invectum.

A. 10. Κορνικολάνων] Sic Baſ. Xyl. Vulgo Κοριολάνων.

huc Fortunæ fanum eſt, in Abeſcymis verſantis. In Longo Angiportu Fortunæ bonæ Spei eſt ara. Eſt et Maſculæ Fortunæ ſacellum apud aram Veneris Epitalariæ: aliæque ſexcentæ appellationes et honores Veneris ſunt, quorum pleraque Servius inſtituit, gnarus magnum momentum, immo ſummam in rebus humanis vim eſſe penes Fortunam: maxime cum ipſe eſſet fortunæ favore de captivo et hoſtili gente nato rex factus. Nam Corniculo a Romanis capto, Ocreſia virgo captiva, cujus neque formam neque mores obſcuravit Fortuna, Tanaquilidi Tarquinii regis uxori data ſervivit, nupta cuidam clientum: ex his natus fuit Servius. Alii rem ſic narrant. Ocreſiam virginem identidem

ματα καὶ λοιβὴν ἑκάστοτε λαμβάνουσαν ἀπὸ τῆς βασιλικῆς τραπέζης, ἐπὶ τὴν Ἑστίαν κομίζειν· καί ποτε τυχεῖν μὲν αὐτὴν, ὥσπερ εἰώθει, τῷ πυρὶ τὰς ἀπαρχὰς ἐπιβάλλουσαν, αἰφνίδιον δὲ τῆς φλογὸς μαρανθείσης, μόριον ἀνδρὸς ἀνατεῖναι γόνιμον ἐκ τῆς Ἑστίας, καὶ τοῦτο τὴν κόρην τῇ Τανακυλλίδι φράσαι μόνῃ περίφοβον γενομένην· C
τὴν δὲ, συνετὴν οὖσαν καὶ φρενήρη, κοσμῆσαί τε τὴν κόρην ὅσα νύμφαις πρέπει, καὶ συγκατεῖρξαι τῷ φάσματι, θεῖον ἡγουμένην· οἱ μὲν ἥρωος οἰκουροῦ λέγουσιν, οἱ δὲ Ἡφαίστου τὸν ἔρωτα τοῦτον γενέσθαι. Τίκτεται δ' οὖν Σερούιος, καὶ βρέφους ὄντος ἡ κεφαλὴ σέλας ἀστραπῇ παραπλήσιον ἀπήστραψεν. Οἱ δὲ περὶ Ἀντίαν οὐχ οὕτω λέγουσιν, ἀλλὰ τυχεῖν μὲν τῷ Σερουίῳ τὴν γυναῖκα Γετανίαν θνήσκουσαν, αὐτὸν δὲ, τῆς μητρὸς παρούσης, εἰς ὕπνον ἐκ δυσθυμίας καὶ λύπης ἀποκλιθῆναι, καὶ καθεύδοντος αὐτοῦ ταῖς γυναιξὶν ὀφθῆναι τὸ πρόσωπον D
αὐτοῦ πυρὶ περιλαμπόμενον· ὅπερ ἦν μαρτύριον αὐτοῦ τῆς ἐκ πυρὸς γενέσεως, σημεῖον δὲ χρηστὸν ἐπὶ τὴν ἀπροσδόκητον ἡγεμονίαν, ἧς ἔτυχε μετὰ τὴν Ταρκυνίου τελευ-

primitias et libationes a regia menſa accipere, et ea ad focum perferre conſueviſſe: quæ, cum aliquando pro more ea in ignem injiceret, ſubito collapſa flamma, genitale viri membrum e foco exſtitiſſe: virginem perterritam eo oſtento, rem Tanaquilidi expoſuiſſe: hanc, ut erat cordata ac ſapiens mulier, divinam eam rem cenſuiſſe, virginemque ſponſæ in morem ornatam cum ſpectro illo concluſiſſe: amorem hunc alii Lari, alii Vulcano adſcribunt: inde ergo natum Servium: et infantis etiamnum caput fulgorem fulguris æmulum edidiſſe. Antias non ita, ſed Servio uxorem Geganiam morte fuiſſe ſublatam, ipſumque præſente matre præ mœrore in ſomnum prolapſum, ac caput dormientis viſum fuiſſe mulieribus igni circum illuſtrari: quod erat teſtimonium, ipſum ex igni natum, bonumque indicium inſperati regni,

τὴν, Τανακυλλίδος σπουδασάσης. Ἐπεὶ πάντων γε τῶν βασιλέων πρὸς μοναρχίαν οὗτος ἀφυέστατος δοκεῖ γενέσθαι καὶ ἀπροθυμότατος, ὅς γε τὴν βασιλείαν ἀποθέσθαι διανοηθεὶς, ἐκωλύθη· τελευτῶσα γὰρ, ὡς ἔοικεν, ἐξώρκωσε τοῦτον ἐμμεῖναι τῇ ἀρχῇ, καὶ προέσθαι τὴν πάτριον Ῥωμαίων πολιτείαν. Οὕτως ἡ Σερουΐου βασιλεία παντάπασι τῆς Τύχης, ἣν ἔλαβέ τε μὴ προσδοκήσας, καὶ μὴ βουλόμενος διεφύλαξεν.

E ια'. Ἀλλ' ἵνα μὴ δοκῶμεν, ὥσπερ εἰς τόπον ἀμαυρὸν, τὸν παλαιὸν χρόνον ἐκ τῶν λαμπρῶν, καὶ ἐναργῶν τεκμηρίων φεύγειν καὶ ὑποχωρεῖν, φέρε, τοὺς βασιλεῖς ἐάσαντες, ἐπὶ τὰς γνωριμωτάτας πράξεις καὶ τοὺς ἐπιφανεστάτους πολέμους τὸν λόγον μεταγάγωμεν· οἷς πολλὴν τόλμαν καὶ ἀνδρείαν, Αἰδῶ τε συνεργὸν ἀρετᾶς δορυμάχου, ὥς φησι Τιμόθεος, τίς οὐκ ἂν ὁμολογήσειεν; Ἡ

D. 9. προέσθαι—Ῥωμαίων πολιτείαν] Poſterius ex Baſ. Xyl. T. Ῥωμαίων quidem etiam ex Ald. et P. Unde conſequens erat ut et prius corrigeremus. Vulgo προσίεσθαι—Ῥωμαῖον πολιτείαν.

quod a morte Tarquinii ſtudio Tanaquilidis obtinuit. Nam omnium alioqui regum hic ad ſingulare imperium fuit ingenio ineptiſſimo, animoque minime alacri: qui etiam deponere volens regnum, prohibitus eſt: moritura enim, ut apparet, Tanaquil jurejurandum ab eo exegit, non dimiſſurum ſe eſſe formam reipublicæ a majoribus acceptam, regemque permanſurum. Ita Servii regnum plane Fortunæ debetur, quod ille et præter exſpectationem ſuam accepit, et præter ſuam voluntatem retinuit.

XI. Sed ne videamur ex illuſtribus et evidentibus argumentis ad priſca tempora, tanquam obſcurum in locum confugere et recedere: agedum omiſſis regibus ad notiſſimas actiones et celebratiſſima bella oratio noſtra ſe convertat. Quis vero non fateatur ad bellum requiri multum audaciæ ac fortitudinis, immo, ut ait Timotheus, *Pudoris qui virtuti haſtiferæ auxilium et opem ferat?* Et tamen qui recte

δὲ εὔροια τῶν πραγμάτων καὶ τὸ ῥόθιον τῆς εἰς τοσαύτην δύναμιν καὶ αὔξησιν ὁρμῆς, οὐ χερσὶν ἀνθρώπων οὐδὲ ὁρμαῖς προχωροῦσαν ἡγεμονίαν, θείᾳ δὲ πομπῇ καὶ πνεύματι Τύχης ἐπιταχυνομένης, ἐπιδείκνυται τοῖς ὀρθῶς λογιζομένοις. Τρόπαια τροπαίοις ἐπανίσταται, καὶ θρίαμβοι θριάμβοις ἀπαντῶσι, καὶ τὸ πρῶτον αἷμα τῶν ὅπλων ἔτι θερμὸν ἀποκλύζεται τῷ δευτέρῳ καταλαμβανόμενον. Τὰς δὲ νίκας ἀριθμοῦσιν οὐ νεκρῶν πλήθει καὶ λαφύρων, ἀλλὰ βασιλείαις αἰχμαλώτοις, καὶ δεδουλωμένοις ἔθνεσι, καὶ νήσοις καὶ ἠπείροις προσορμιζομέναις τῷ μεγέθει τῆς ἡγεμονίας. Μιᾷ μάχῃ Φίλιππον ἀπέβαλε Μακεδονίᾳ· μιᾷ πληγῇ παρεχώρησεν Ἀντίοχος Ἀσίας· ἅπαξ Καρχηδόνιοι σφαλέντες, ἀπώλεσαν Λιβύην· εἷς ἀνὴρ μιᾶς ὁρμῇ στρατιᾶς Ἀρμενίαν προσ- 324
εκτήσατο, Πόντον Εὔξεινον, Συρίαν, Ἀραβίαν, Ἀλβανοὺς, Ἴβηρας, τὰ μέχρι Καυκάσου καὶ Ὑρκανῶν· καὶ τρὶς αὐτὸν

F. 3. οὐδὲ ὁρμαῖς—ἐπιταχυνομένης] Forte οὐδὲ γνώμαις προσχωροῦσα ἡγεμονία—ἐπιταχυνομένη.

ratiocinari volet, is ſecundam rerum proſperarum affluentiam, impetumque ad tantam potentiam et incrementa, non hominum manibus aut conſiliis, ſed divina quadam incitatione et accelerantis Fortunæ vento ad tantam Romani imperii molem perveniſſe intelliget. Etenim tropæa alia ſuper alia eriguntur, triumphi triumphis occurrunt, priorque in armis ſanguis adhuc calidus ſecundo occupatus eluitur: Victorias autem non interfectorum et ſpoliorum multitudine numerant: ſed captis regnis, ſubactis gentibus, inſuliſque et continentibus ad magnitudinem imperii accedentibus. Una pugna Philippus Macedoniam amiſit: una accepta plaga Antiochus Aſia exceſſit: ſemel victi Carthaginienſes Libyam perdiderunt: unus vir, unius expeditionis impetu, in poteſtatem Populi Romani redegit Armeniam, Pontum, Syriam, Arabiam, Albanos, Iberos, et quæ uſque ad Caucaſum ſunt atque Hyrcanos: terque eum orbi ter-

ὁ περιῤῥέων τὴν οἰκουμένην Ὠκεανὸς εἶδε νικῶντα· Νομάδας μὲν ἐν Λιβύῃ μέχρι τῶν μεσημβρινῶν ἀπέκοψεν ἠϊόνων· Ἰβηρίαν δὲ Σερτωρίῳ συννοσήσασαν ἄχρι τῆς Ἀτλαντικῆς κατεστρέψατο θαλάσσης· τοὺς δὲ Ἀλβανῶν βασιλεῖς διωκομένους ἐπὶ τὸ Κάσπιον πέλαγος ἔστησε. Ταῦτα πάντα κατώρθωσε δημοσίᾳ τύχῃ χρώμενος, εἶτα ὑπὸ τῆς ἰδίας ἀνετράπη μοίρας. Ὁ δὲ Ῥω-
B μαίων μέγας δαίμων οὐκ ἐφήμερος πνεύσας, οὐδὲ καιρὸν ἀκμάσας βραχὺν, ὡς ὁ Μακεδόνων· οὐδὲ χερσαῖος μόνον, ὡς ὁ Λακώνων· οὐδὲ ἐνάλιος, ὡς Ἀθηναίων· οὐδὲ ὀψὲ κινηθεὶς, ὡς ὁ Περσῶν· οὐδὲ ταχὺ παυσάμενος, ὡς ὁ Κολοφωνίων· ἀλλ' ἄνωθεν ἐκ πρώτων γενέσεων τῇ πόλει συνηβήσας, καὶ συναυξηθεὶς καὶ συμπολιτευσάμενος, καὶ παραμείνας βέβαιος ἐν γῇ καὶ θαλάττῃ, καὶ πολέμοις καὶ εἰρήνῃ, καὶ πρὸς βαρβάρους καὶ πρὸς Ἕλληνας· οὗτος Ἀννίβαν τὸν Καρχηδόνιον, φθόνῳ καὶ ταῖς

A. 5. ἀπέκοψεν ἠϊόνων] ἐπέκοψεν ἐρήμων Reiſk. Ita mallem ἐρημιῶν. Forte non opus mutatione.

B. 3. ὡς Ἀθηναίων] ὡς ὁ Ἀθηναίων, malim.

rarum circumfuſus Oceanus victorem vidit; nam et Numidas in Africa uſque ad meridionalia littora repreſſit: et Hiſpaniam, quæ Sertorii a partibus ſteterat, uſque ad Atlanticum ſubegit mare: et Albanorum reges inſequens ad Caſpium conſiſtere coegit. Hæc ille omnia confecit, publica adjutus fortuna: deinde a ſuo ſubverſus eſt fato. Nimirum magnus ille Romanorum genius, non ad diem unum ſpirans, aut exiguo tempore vigens, ut Macedonum: neque in terra tantum potens, ut Laconum: aut mari, ut Athenienſium: neque ſero commotus, ut Perſarum: neque ſubito ſopitus, ut Colophoniorum: ſed jam inde a principio cum Urbe adoleſcens, unaque creſcens et augens rempublicam, conſtanter adfuit terra marique, in bellis et pace, adverſus barbaros et Græcos. Is genius Annibalem Carthagi-

πολιτικαῖς δυσμενείαις μηδενὸς οἴκοθεν ἐπιρρέοντος, ὥσπερ χείμαρρον ἐξέχεε καὶ κατηνάλωσε περὶ τὴν Ἰταλίαν· C οὗτος τὸ Κίμβρων καὶ τὸ Τευτόνων στράτευμα μεγάλοις διαστήμασι τόπων καὶ χρόνων ἐχώρισε καὶ διέσπασεν, ἵν᾽ ἀρκέσῃ Μάριος ἑκατέροις ἀνὰ μέρος μαχόμενος, καὶ μὴ συμπεσοῦσαι τριάκοντα μυριάδες ἀνδρῶν ἀηττήτων καὶ ἀμάχων ὅπλων ὁμοῦ κατακλύσωσι τὴν Ἰταλίαν. Διὰ τοῦτο Ἀντίοχος μὲν ἠσχολεῖτο πολεμουμένου Φιλίππου· Φίλιππος δέ, κινδυνεύοντος Ἀντιόχου, προηττημένος ἔπτηξε· Μιθριδάτην δὲ τοῦ Μαρσικοῦ πολέμου τὴν Ῥώμην ἐπιφλέγοντος, οἱ Σαρματικοὶ καὶ Βασταρνικοὶ πόλεμοι D κατεῖχον· Τιγράνην δέ, Μιθριδάτου λαμπροῦ μὲν ὄντος, ὑπόνοια καὶ φθόνος ἐχώριζεν, ἡττωμένῳ δὲ ἀνέμιξεν ἑαυτὸν συναπολέσθαι.

ιβ΄. Τί δ᾽ οὐχὶ καὶ περὶ τὰς μεγίστας συμφορὰς ὤρθωσε τὴν πόλιν ἡ Τύχη; Κελτῶν μὲν περὶ τὸ Κα-

C. 6. Διὰ τοῦτο] Immo διὰ τοῦτον.

nienſem, cum ob invidiam et civiles concertationes populus ei nulla mitteret ſubſidia, torrentis inſtar effudit et conſumpſit circa Italiam. Is Cimbrorum et Teutonum exercitus magnis locorum temporumque intervallis disjunxit, ut ſufficere Marius poſſet cum utriſque ſeorſim confligens: ne inter ſe conjunctæ ter centum millia hominum invictorum et inſuperabilium confertim quaſi proluvie Italiam inundarent. Eadem cauſa fuit, ut et Antiochus, cum Philippus bello peteretur, occupationibus eſſet diſtentus: et Philippus, Antiocho in diſcrimine verſante, jam ante proſtratus jaceret: et Mithridatem, Marſico bello Romam urgente, Sarmatica ac Baſtarnica bella detinerent: Tigranem a Mithridate, cum hic rebus proſperis clareret, ſuſpicio et invidia avellerent: victo ſocius fieret et communi ruina periret.

XII. Quid vero? an non extrema mala paſſam Urbem reſtituit Fortuna? Gallis caſ-

στρατοπεδευόντων καὶ πολιορκούντων τὴν

,

ῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοί·

τεριχὴν ἔφοδον αὐτῶν, λεληθότων πάντας ἀν-
ἡ Τύχη καὶ τὸ αὐτόματον ἔκπυστον ἐποίησε
ερὶ ἧς κἂν βραχὺ πλεῖον διελθεῖν, ἴσως
ρόν ἐστι. Μετὰ τὴν ἐπ' Ἀλλίᾳ ποταμῷ
μεγάλην ἧτταν, οἱ μὲν εἰς Ῥώμην κατά-
πὸ τῆς φυγῆς καὶ ταραχῆς συναναπλήσαντες
ἐξεπτόησαν καὶ διεσκέδασαν, ὀλίγων εἰς τὸ
ον ἀνασκευασαμένων καὶ διακαρτερούντων·
: ἀπὸ τῆς τροπῆς εἰς Βηΐους συναθροισθέντες,
κτάτωρα Φούριον Κάμιλλον, ὃν εὐτυχῶν μὲν
ενῶν ὁ δῆμος ἀπεώσατο καὶ κατέβαλε, δίκῃ
τα δημοσίων κλοπῶν· πτήξας δὲ καὶ ταπεινω-
λεῖτο μετὰ τὴν ἧτταν, ἐγχειρίζων καὶ παραδιδοὺς
ἡγεμονίαν. Ἵνα οὖν μὴ καιρῷ δοκῇ, νόμῳ

Ἀλλίᾳ] Sic Baſ. Xyl. eodem ducunt Ald. E Voſſ. ἐν Παλλίᾳ.

pitolium metatis et
gnantibus,
ſque luem, multoſque ne-

m ipſorum aggreſ-
æ omnes homines
Fortuna et Caſus
. Qua de re for-
peſtivum non eſt
ius differere. Vic-
, maximaque clade
manis, alii ſuper-
am præcipiti fuga
pulum terrore et
agitaverunt; cum
quidem pauci convaſatis rebus in Capitolium ſe contulerunt, ibique eventum præſtolari ſuſtinuerunt: alii recta a clade Veios confluentes, dictatorem dixerunt Furium Camillum, et quem ante rebus utens ſecundis atque criſtas erigens populus abjecerat atque oppreſſerat peculatus reum factum, eum conſternatus et fractus a clade repetiit, tradens magiſtratum nullis obnoxium legibus. Cæterum Camillus ne temporis gratia, ſed legi-

δὲ λαμβάνειν ὁ ἀνήρ, μηδ', ὡς ἀπεγνωκὼς τὴν πόλιν,
ὅπλοις ἀρχαιρεσιάζῃ τὰ τοῦ στρατοῦ σποράδος καὶ πλά-
νητος, ἔδει τοὺς ἐν Καπιτωλίῳ βουλευτὰς ἐπιψηφίσασθαι
τὴν τῶν στρατιωτῶν γνώμην μαθόντας. Ἦν οὖν Γάϊος
Πόντιος ἀνὴρ ἀγαθὸς, καὶ τῶν δεδογμένων αὐτάγγελος
ὑποστὰς ἔσεσθαι τοῖς ἐν τῷ Καπιτωλίῳ, μέγαν ἀνε-
δέξατο κίνδυνον· ἡ γὰρ ὁδὸς ἦν διὰ τῶν πολεμίων
κύκλῳ φυλακαῖς καὶ χάρακι τὴν ἄκραν περιεχόντων.
Ὡς οὖν ἐπὶ τὸν ποταμὸν ἦλθε νύκτωρ, φελλοὺς πλατεῖς
ὑποστερνισάμενος, καὶ τὸ σῶμα τῇ κουφότητι τοῦ ὀχή- 135
ματος παραθέμενος, ἀφῆκε τῷ ῥόῳ· τυχὼν δὲ πράως καὶ
σχολαίως ὑποφέροντος, ἥψατο τῆς ἀντιπέρας ὄχθης
ἀσφαλῶς, καὶ ἀποβὰς ἐχώρει πρὸς τὸ τῶν φώτων διά-
κενον, τῷ τε γὰρ σκότῳ καὶ τῇ σιωπῇ τὴν ἐρημίαν τεκ-
μαιρόμενος, ἐμφὺς δὲ τῷ κρημνῷ καὶ ταῖς δεχομέναις τοῦ
ἐπίβασιν καὶ παρεχούσαις ἀντίληψιν πέτραις, ἐγκλίσεσι
καὶ περιαγωγαῖς καὶ τραχύτησι τῆς πέτρας παραδιδοὺς

A. 5. γὰρ—τεκμαιρόμενος] Aut γὰρ delendum, aut legendum ἐτεκμαίρετο.

time ſibi is delatus magiſtratus videri poſſet, neve tanquam Urbe deplorata armis diſſipati et vagi exercitus comitia conficeret, oportuit ſenatores qui in Capitolio erant, militum ſententiam, certiores de ea factos, approbare. Erat tum Caius quidam Pontius in exercitu, vir ſtrenuus: qui in ſe recipiens nuncium ſe decreti iis qui in Capitolio erant allaturum, ingens adiit periculum: cum eundum eſſet per hoſtes, qui in orbem excubiis et vallo arcem cinxerant. Ut ergo noctu, ad amnem pervenit, injecto ſuberibus latis pectore, et corpore vehiculi levitati commiſſo, ſecundo Tiberi defluxit, atque ab eo leni lente devectus, tuto in ulteriorem ripam trajecit, indeque per loca hominum vacua, e tenebris et ſilentio ſolitudinem colligens, ad rupem Capitolinam pervenit: curvaturiſque ſe et aſperis proceſſibus ejus, quæ conſcendi et teneri ſe patiebantur, committens, ac ſur-

ἑαυτὸν καὶ ἐπερεισάμενος, ἀφίκετο πρὸς τὸ ἀντιπέρας, καὶ ἀναληφθεὶς ὑπὸ τῶν προφυλάκων, ἐδήλωσε τοῖς ἔσω τὰ δεδογμένα· καὶ λαβὼν τὸ ψήφισμα, πάλιν
B ᾤχετο πρὸς τὸν Κάμιλλον. Ἡμέρας δὲ τῶν βαρβάρων τις ἄλλως τὸν τόπον περιιὼν, ὡς εἶδε τοῦτο μὲν, ἴχνη ποδῶν ἀκρώνυχα καὶ περιολισθήσεις, τοῦτο δὲ, ἀποτριβὰς καὶ περικλάσεις τῆς ἐπιβλαστανούσης τοῖς γεώδεσι πόας, ὁλκούς τε σώματος καὶ πλαγίους ἀπερείσεις, ἔφραζε τοῖς ἄλλοις. Οἱ δὲ δείκνυσθαι τὴν ὁδὸν αὐτοῖς ὑπὸ τῶν πολεμίων νομίζοντες, ἐπεχείρουν ἁμιλλᾶσθαι, καὶ τῆς νυκτὸς τὸ ἐρημότατον διαφυλάξαντες, ἀνέβησαν λαθόντες οὐ μόνον τοὺς φύλακας, ἀλλὰ καὶ τοὺς συνεργοὺς καὶ τοὺς
C προκοίτους τῆς φρουρᾶς κύνας ὕπνῳ κρατηθέντας. Οὐ μὴν ἠπόρησεν ἡ τῆς Ῥώμης Τύχη φωνῆς κακὸν τοσοῦτον μηνῦσαι καὶ φράσαι δυναμένης. Χῆνες ἱεροὶ περὶ τὸν νεὼν τῆς Ἥρας ἐτρέφοντο θεραπεύοντες τὴν θεόν. Φύσει μὲν οὖν τὸ ζῶον εὐθορύβητόν ἐστι καὶ ψοφοδεές· τότε δὲ, συν-

ſum enitens ad Capitolium evaſit: ubi receptus ab excubitoribus iis qui intus erant ſententiam ſuorum renunciavit, decretoque accepto rurſus ad Camillum contendit. Poſtridie quidam barbarorum temere locum illum circumiens, ut vidit partim veſtigia pedum ſummis impreſſa digitis, ac lapſus, partim detritas ac confractas herbas quæ terreſtribus innaſci ſolent partibus, tum corporis tractus, et obliquos niſus, cæteris ſignificavit. Ii vero viam ſibi ab hoſtibus ipſis commonſtratam putantes, conati ſunt contendere: obſervataque ea noctis parte, ſub quam maxima eſt ſolitudo, evaſerunt ad arcem, non vigilibus modo non animadvertentibus, ſed ne canibus quidem vigilum ſociis et excubitoribus; ita omnes ſopor oppreſſerat. Neque tamen defuit Romanorum fortunæ vox, quæ tantum malum indicare et prodere poſſet. Anſeres ſacri circa fanum Junonis alebantur ad cultum deæ. Id animal et natura ea eſt, facile ut perturbetur atque ad omnem ſtrepitum expaveſcat: et

τόνου περὶ τοὺς ἔνδον οὔσης ἀπορίας, ἀμελουμένων αὐτῶν, λεπτὸς ἦν καὶ λιμώδης ὁ ὕπνος, ὥστε εὐθὺς ᾔσθοντο τῶν πολεμίων ὑπερφανέντων τῆς στεφάνης, καὶ καταβοῶντες ἰταμῶς προσεφέροντο, καὶ τῇ τῶν ὅπλων ὄψει μᾶλλον ἐκταραττόμενοι, κλαγγῆς διατόρου καὶ τραχείας ἐνεπεπλήκεσαν τὸν τόπον· ὑφ' ἧς ἀναστάντες οἱ Ῥωμαῖοι, D καὶ συμφρονήσαντες τὸ γενόμενον, ἐώσαντο καὶ κατεκρήμνισαν τοὺς πολεμίους. Πομπεύει δὲ μέχρι νῦν ἐπὶ μνήμῃ τῶν τότε συμπτωμάτων ἡ τύχη, κύων μὲν ἀνεσταυρωμένος, χὴν δὲ μάλα σεμνῶς ἐπὶ στρωμνῆς πολυτελοῦς καὶ φορείου καθήμενος. Ἡ δὲ ὄψις ἐπιδείκνυται Τύχης ἰσχὺν, καὶ πρὸς ἅπαν εὐπορίαν ἐκ τῶν παραλόγων, ὅταν τι πραγματεύηται καὶ στρατηγῇ, νοῦν μὲν ἀλόγοις καὶ ἄφροσιν, ἀλκὴν δὲ καὶ θράσος δειλοῖς ἐντιθείσης. Τίς γὰρ οὐκ ἂν ὡς ἀληθῶς ἐκπλαγείη καὶ θαυμάσειεν, ἐμπαθὴς γενόμενος, καὶ λογισμῷ τινι τὴν τότε κατήφειαν καὶ τὴν ὑπάρχουσαν εὐδαιμονίαν τῆς πόλεως E περιλαβὼν, καὶ ἀποβλέψας ἄνω, λαμπρότητα καὶ

D. 4. *ἡ τύχη, κύων*] Conſtructio curioſa ac pene Sophiſtica, niſi *ἡ τύχη* abſit: quod omiſit vertendo Xyl. Reiſkius non male mutat in *τῇ τύχῃ*.
E. 1. *καὶ τὴν ὑπάρχουσαν*] Forte *καὶ τὴν νῦν ὑπάρχουσαν*, ut Reiſk.

tum ob magnam in arce difficultatem rerum quia negligebantur, levi et famelico ſomno jacebant; itaque ſtatim ſenſum perceperunt hoſtium jam ſupra muros apparentium, editaque alta voce proterve advolaverunt: magiſque deinde armorum conſpectu territi, clangorem ſonorum admodum et aſperum ediderunt: quo excitati Romani, re intellecta repulerunt et per præcipitia hoſtes dejecerunt. Etiamnum ſolemni in pompa geſtatur canis in crucem actus, et anſer ſplendide admodum in lectica et veſte ſtragula pretioſa ſedens. Quis non vere obſtupeſcat, animoque commoto miretur, complexus animo et quæ tum erat Urbis miſeria, et quæ hodie cernitur ejuſdem felicitas, ſplendorem intuens

πλοῦτον ἀναθημάτων, καὶ τεχνῶν ἁμίλλας, καὶ φιλοτιμίας πόλεων, καὶ στεφάνους βασιλέων, καὶ ὅσα γῆ φέρει καὶ θάλαττα, καὶ νῆσοι καὶ ἤπειροι, καὶ ποταμοὶ, καὶ δένδρα, καὶ ζῶα, καὶ πεδία, καὶ ὄρη, καὶ μέταλλα, πάντων ἀπαρχὰς ἐριζούσας εἰς κάλλος ὄψει καὶ χάριτι κοσμούσῃ τὸν τόπον, ὡς ταῦτα παρὰ μικρὸν ἦλθε μὴ γενέσθαι, μηδὲ εἶναι; πυρὶ δὲ καὶ σκότει φοβερῷ, καὶ ὄρφνῃ, καὶ ξίφεσι βαρβάροις, καὶ μιαιφόνοις θυμοῖς κρατουμένων 1 πάντων, εὐτελῆ καὶ ἄλογα καὶ ἄτολμα θρέμματα, σωτηρίας ἀρχὴν παρέσχε, καὶ τοὺς μεγάλους ἐκείνους ἀριστεῖς καὶ ἡγεμόνας Μαλίους, καὶ Σερουΐους, καὶ Ποστουμίους, καὶ Παπιρίους τῶν αὖθις οἴκων γενάρχας, παρ᾽ οὐδὲν ἥκοντας ἀπολέσθαι, χῆνες ἀνέστησαν ὑπὲρ τοῦ πατρίου θεοῦ καὶ τῆς πατρίδος ἀμύνασθαι. Εἰ δὲ, ὥσπερ Πολύβιος ἐν τῇ δευτέρᾳ βίβλῳ περὶ τῶν τότε τὴν Ῥωμαίων πόλιν καταλαβόντων ἱστόρηκε Κελτῶν, ἀληθές ἐστιν ὅτι προσπεσούσης αὐτοῖς ἀγγελίας, φθείρεσθαι τὰ οἴκοι ὑπὸ τῶν

donariorum ac divitias, artium certamina, urbium largitiones, miſſas a regibus coronas, atque omnium quæ terra, mare, inſulæ, continentes, fluvii, arbores, animalia, campi, montes, metalla ferunt primitias certatim pulchritudine et elegantia ornantes iſtum locum: tam parum abfuiſſe quin neque fierent iſta omnia, neque eſſent? igni autem, et tenebris horrendis, caligine, gladiis barbaricis, ac cædem ſpirantibus animis cum omnia opplerentur, viles et brutas timidaſque altiles principium ſalutis attuliſſe: magnoſque illos duces et factis præſtantiſſimos viros, Manlios, inquam, Servios, Poſtumios, Papyrios, qui familias poſtmodo illuſtres propagaverunt, in extremo jam de ſalute periculo conſtitutos, ab anſeribus fuiſſe excitatos, ut pro diis patriis patriaque propugnarent? Quod ſi verum eſt, quod Polybius libro ſecundo de Gallis qui tum occupaverant Romam ſcribit, eos accepto nuncio ſuas res agi ferrique a finitimis

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Α.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Α.

PLUTARCHI

DE

ALEXANDRI MAGNI FORTUNA AUT VIRTUTE.

ORATIO I.

α΄. ΟΥΤΟΣ ὁ τῆς Τύχης λόγος ἐστὶν, ἴδιον καὶ μόνης αὐτῆς ἔργον ἀποφαινομένης Ἀλέξανδρον. Δεῖ δὲ ἀντειπεῖν ὑπὲρ φιλοσοφίας, μᾶλλον δὲ ὑπὲρ Ἀλεξάνδρου δυσχεραίνοντος καὶ ἀγανακτοῦντος εἰ

D. 9. Οὗτος ὁ τῆς] Forte periit prior pars, ſeu Oratio Fortunæ, forte nunquam a Plutarcho ſcripta fuit.

I. HÆC ergo Fortunæ oratio eſt, Alexandrum ſibi ſoli totum vindicantis. Contra autem pro philoſophia diſſerendum eſt, aut pro ipſo potius Alexandro indignante

προῖκα δόξει καὶ παρὰ τῆς Τύχης λαβεῖν τὴν ἡγεμονίαν, τὴν ὤνιον αἵματος πολλοῦ καὶ τραυμάτων ἐπαλλήλων κτώμενος,

——Πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυεν,
Ἤματα δ' αἱματόεντα διέπρησσεν πολεμίζων,

πρὸς ἀμάχους δυνάμεις καὶ ἄπειρα φῦλα, καὶ ποταμοὺς ἀπεράτους, καὶ πέτρας ἀτοξεύτους, εὐβουλίᾳ, καὶ καρτερίᾳ, καὶ ἀνδρίᾳ, καὶ σωφροσύνῃ παραπεμπόμενος.

β'. Οἶμαι δ' ἂν αὐτὸν εἰπεῖν πρὸς τὴν τύχην τοῖς κατορθώμασιν ἑαυτὴν ἐπιγράφουσαν· Μή μου διάβαλλε τὴν ἀρετὴν, μηδὲ ἀφαίρει περιασπῶσα τὴν δόξαν. Δαρεῖος ἦν σὸν ἔργον, ὃν ἐκ δούλου καὶ ἀστάνδου βασιλέως, κύριον Περσῶν ἐποίησας· καὶ Σαρδανάπαλος, ᾧ τὸ διάδημα τῆς βασιλείας πορφύραν ξαίνοντι περιέθηκας. Ἐγὼ δὲ εἰς Σοῦσα νικῶν δι' Ἀρβήλων ἀναβέβηκα, καὶ Κιλικία μοι πλατεῖαν ἀνέῳξεν Αἴγυπτον, Κιλικίαν δὲ Γρανικὸς, ὃν Μιθριδάτῃ καὶ Σπιθριδάτῃ νεκροῖς ἐπιβὰς διεπέρασα. Κόσμει σεαυτὴν καὶ σέμνυνε

et ægre ferente, ſi imperium gratis et a Fortuna accepiſſe videatur, quod multo ſanguine vænale aſſiduis conſecutus vulneribus

Inſomnes noctes permultas pervigil egit,
Atque dies, dum bella gerit, pugnatque, cruentas,

adverſus invictos exercitus, et innumeras gentes, et flumina nunquam tranſmiſſa, et ſaxa ſagittis inacceſſa: conſilio, tolerantia, fortitudine, ac temperantia ſtipantibus.

II. Arbitror autem ipſum Fortunæ res ab eo geſtas ſibi adſcribentem dicturum: Noli meæ virtuti detrahere, noli meam gloriam deprimere: tuum opus eſt Darius, quem ex ſervo et aſtanda regis dominum Perſarum feciſti: tuum Sardanapalus, cui purpuram pectenti diadema regium circumpoſuiſti. Ego autem victor ab Arbelis ad Suſa perrexi, et Cilicia mihi latam aperuit Ægyptum, Ciliciam Granicus, quem cadaveribus Mithridatis et Spithridatis pro ponte uſus tranſivi. Orna teipſam et jacta regibus vulne-

ιλεῦσιν ἀτρώτοις καὶ ἀναιμάκτοις· ἐκεῖνοι γὰρ εὐτυχεῖς
, Ὦχοι καὶ Ἀρταξέρξαι· οὓς εὐθὺς ἐκ γενετῆς τῷ
ι θρόνῳ ἐνίδρυσας· τοὐμὸν δὲ σῶμα πολλὰ σύμ-
κ φέρει τύχης ἀνταγωνιζομένης οὐ συμμαχούσης.
ιτον ἐν Ἰλλυριοῖς λίθῳ τὴν κεφαλὴν, ὑπέρῳ δὲ
ράχηλον ἠλοήθην· ἔπειτα περὶ Γράνικον τὴν κεφαλὴν
βαρικῇ μαχαίρᾳ διεκόπην, ἐν δὲ Ἰσσῷ ξίφει τὸν
ὸν· περὶ δὲ Γάζῃ, τὸν μὲν σφυρὸν ἐτοξεύθην, τὸν
μον ἐκπεσὼν ἐξ ἕδρας βαρὺς περιεδίνησα· περὶ
Μαρακαδάρτοις τοξεύμασι τὸ τῆς κνήμης ὀστέον διε-
ην· τὰ λοιπὰ δὲ Ἰνδῶν πληγαὶ, καὶ βίαι θυμῶν·
ἅπασιν οἷς ἐτοξεύθην τὸν ὦμον· ἐν δὲ Γανδρίδαις τὸ
ος· ἐν δὲ Μάλλωσι βέλει μὲν ἀπὸ τόξου τὸ στέρνον
ναθέντι καὶ καταδύσαντι τὸν σίδηρον, ὑπέρου δὲ
γῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς τεί-

ἐκπεσὼν ἐξ ἕδρας] Nolim tentare: potius vertam: *humero e ſede ſua excuſſo, vertigine provolutus ſum.*

ἐν ἅπασιν οἷς] In promptu eſt animadvertere ex p. 341. B. legendum hic eſſe Ἀσσακάνοις. Oratoria magis quam hiſtorica ſcriptio non ubique cum in nominibus tum rebus ad rationis diligentiam exacta: quæ notare non eſt hujus loci.

et cruorum expertibus: nim fortunati erant, Ochi rtaxerxæ, quos ſtatim a i in ſolio Cyri collocaſti. m quidem corpus multa , certaque ea fert, For- : non adjuvantis, ſed re- antis. Primum apud Illy- caput mihi ſaxo, cervix : eſt contuſa: deinde ad nicum caput mihi gladio rico eſt comminutum: r ad Iſſum, enſe: ad Ga- zam malleolum ſagitta ſum ictus, gravi autem de ſella lapſu luxavi humerum: ad Maracatarda os tibiæ mihi ſagittis eſt perruptum: ſubſecuta ſunt ab Indis vulnera, et ubique violentia, ubi ſagitta mihi ictus fuit humerus: apud Gandridas crus vulneratum: apud Mallotas arcu actum telum pectori meo infixum ferrum reliquit, et vecte ſunt cervices verberatæ, cum qui-

χεσιν αἱ κλίμακες ἐκλάσθησαν, ἐμὲ δὲ ἡ τύχη μόνον συνεῖρξεν, οὐδὲ λαμπροῖς ἀνταγωνισταῖς, ἀλλὰ βαρβάροις ἀσήμοις χαριζομένη τηλικοῦτον ἔργον· εἰ δὲ μὴ Πτολεμαῖος ὑπερέσχε τὴν πέλτην, Λιμναῖος δὲ πρὸ ἐμοῦ μυρίοις ἀπαντήσας βέλεσιν ἔπεσεν, ἤρειψαν δὲ θυμῷ καὶ βίᾳ Μακεδόνες τὸ τεῖχος, ἔδει τάφον Ἀλεξάνδρου τὴν βάρβαρον ἐκείνην καὶ ἀνώνυμον κώμην γενέσθαι. C

γ'. Καὶ μὴν τὰ μὲν αὐτῆς τῆς στρατείας, χειμῶνες, αὐχμοὶ, βάθη ποταμῶν, ἄορνα ὕψη, θηρίων ὑπερφυεῖς ὄψεις, ἄγριοι δίαιται, μεταβολαὶ δυναστῶν, πάλιν προδοσίαι· τὰ δὲ πρὸ τῆς στρατείας, ἐπὶ τοῖς Φιλιππικοῖς πολέμοις ἐπέσπαιρεν ἡ Ἑλλάς· ἀπεσείοντο δὲ αἱ Θῆβαι τῶν ὅπλων τὴν Χαιρωνικὴν κόνιν ἐκ τοῦ πτώματος ἀνιστάμεναι, καὶ συνῆπτον αἱ Ἀθῆναι τὰς χεῖρας ὀρέ-

C. 4. πάλιν προδοσίαι] Forte uno nomine παλιμπροδοσίαι: ut Bryan. ad Plut. Vit. t. ii. p. 565. Mox ἐπέσπαιρεν nolim ſolicitare.

C. 6. αἱ Θῆβαι—αἱ Ἀθῆναι] Ald. et Baſ. αἱ Θῆβαι—αἱ Θῆβαι: quorum prius Stephanus mutavit in αἱ Ἀθῆναι, quum poſterius mutare debuiſſet; ut fecit Xylander, et conſentiunt libri ſcripti E. F. G. Voſſ. Gronov. Coll. Mur. Schott. Jannot. Anon. T. V. B. Mez.

dem appoſitæ muris ſcalæ ruptæ ſunt, et Fortuna me unicum incluſit, ne illuſtribus quidem adverſariis, ſed ignotis barbaris, tantam rem gratificata; quod niſi Ptolemæus parma texiſſet me, et Limnæus ante me innumeris occurrens telis cecidiſſet, ac animis efferveſcentibus vim adhibentes Macedones muros ſubvertiſſent: oportebat Alexandri ſepulchrum fieri barbarum illum et nullius nominis pagum.

III. Atque hæc quidem ipſius ſunt expeditionis tempeſtates, ſiccitates, fluminum profunditates, altitudines ſaxorum ad quæ evolare aves nequeunt (Aornia ſaxa), ferarum conſpectus naturam excedentium, agreſtis et inhumana victus ratio, mutationes regulorum, rurſumque proditiones. Ante illam vero expeditionem a Philippicis bellis recalcitrabat Græcia, et Thebæ Chæronenſem pulverem ab armis decutiebant, e ruina reſurgentes: adjuvantibus, auxiliareſque porrigentibus manus A-

γουσαι· πᾶσα δὲ ὕπουλος ἡ Μακεδονία πρὸς Ἀμύνταν
ἀποβλέπουσα καὶ τοὺς Ἀερόπου παῖδας· ἀνερρήγνυντο
δ' Ἰλλυριοὶ, καὶ τὰ Σκυθῶν ἐπῃωρεῖτο τοῖς προσοίκοις
D νεωτερίζουσι· τὸ δὲ Περσικὸν χρυσίον διὰ τῶν ἑκασταχοῦ
δημαγωγῶν ῥέον, ἐκίνει τὴν Πελοπόννησον· κενοὶ δὲ οἱ
Φιλίππου θησαυροὶ χρημάτων, καὶ προσῆν ἔτι δάνειον,
ὡς Ὀνησίκριτος ἱστορεῖ, διακοσίων ταλάντων. Ἐν τοσαύτῃ πενίᾳ, καὶ πράγμασι ταραχὰς ἔχουσι, μειράκιον ἄρτι τὴν παιδικὴν παραλλάττον ἡλικίαν, ἐθάρρησεν ἐλπίσαι Βαβυλῶνα καὶ Σοῦσα, μᾶλλον δὲ τὴν πάντων ἀνθρώπων ἀρχὴν εἰς νοῦν ἐμβαλέσθαι, τοῖς τρισμυρίοις οἴεσθε πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας· τοσοῦτοι γὰρ ἦσαν, ὡς Ἀριστόβουλός φησιν· ὡς δὲ Πτολε-
E μαῖος ὁ βασιλεὺς, τρισμύριοι πεζοὶ, πεντακισχίλιοι δὲ
ἱππεῖς· ὡς δὲ Ἀναξιμένης, τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντακισχίλιοι δὲ καὶ πεντακόσιοι ἱππεῖς. Τὸ δὲ

C. 9. Ἀμύνταν] Sic E. Baſ. Xyl. MS. non nominatus ad calcem Ed. Græco-Lat. Mez. Vulgo ἀμύσαν.

thenienſibus: ad hæc tota novas occulte res meditabatur Macedonia, ad Amyntam et Æropi filios animis inclinans: erumpebant Illyrii, et Scythicæ res fluctuabant vicinis turbas molientibus: aurum quoque Perſicum per omnium locorum oratores diffuſum, exagitabat Peloponneſum: ad hæc exhauſti erant Philippi theſauri, et debebat rex præterea, ut auctor eſt Oneſicritus, ducenta talenta. In tanta inopia, ac rerum perturbatione, auſus eſt adoleſcens, qui vix dum ex ephebis exceſſerat, Babylonem ſperare et Suſa, immo vel imperium in univerſos homines animo concipere? fretus (putatis) triginta peditum, et quatuor equitum millibus; tot enim fuiſſe Ariſtobulus affirmat: rex Ptolemæus triginta millia peditum, equitum quinque millia ponit: Anaximenes quadraginta et tria millia peditum, equites quinque millia et quingentos. Præclarum vero, quod ei Fortuna paraverat,

λαμπρὸν αὐτῷ καὶ μέγα παρασκευασθὲν ὑπὸ τῆς Τύχης ἐφόδιον, ἑβδομήκοντα τάλαντα ἦν, ὥς φησιν Ἀριστόβουλος· ὡς δὲ Δοῦρις, τριάκοντα μόνον ἡμερῶν ἐπισιτισμός.

δ'. Ἄβουλος οὖν καὶ προπετὴς Ἀλέξανδρος ἐξ εὐτελῶν οὕτως ἐπὶ τηλικαύτην δύναμιν ὁρμώμενος; Οὐδαμοῦ· τίς γὰρ ἀπὸ μειζόνων ἢ καλλιόνων ἀφορμῶν ἀνήγετο, μεγαλοψυχίας, συνέσεως, σωφροσύνης, ἀνδραγαθίας, οἷς αὐτὸν ἐφωδίαζε φιλοσοφία πρὸς τὴν στρατείαν· F
καὶ πλείονας παρὰ Ἀριστοτέλους τοῦ καθηγητοῦ, ἢ παρὰ Φιλίππου τοῦ πατρὸς ἀφορμὰς ἔχων, διέβαινεν ἐπὶ Πέρσας. Ἀλλὰ τοῖς μὲν γράφουσιν ὡς Ἀλέξανδρος ἔφη ποτὲ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἀκολουθεῖν αὐτῷ τῆς στρατείας ἐφόδιον, πιστεύομεν, Ὅμηρον σεμνύνοντες· ἂν δέ τις φῇ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν παραμύθιον πόνου καὶ διατριβῆς ἕπεσθαι καὶ σχολῆς γλυκείας, ἐφόδιον δὲ ἀληθῶς γεγονέναι τὸν ἐκ φιλοσοφίας 328
λόγον, καὶ τοὺς περὶ ἀφοβίας καὶ ἀνδρείας, ἔτι δὲ

viaticum, ſeptuaginta erant talenta, ſi Ariſtobulo credimus: ſi Duris audiendus eſt, triginta duntaxat dierum commeatus.

IV. Inconſultus igitur fuit et temerarius Alexander, qui ita tenui cum re adverſus tantam potentiam auſus eſt bellum ſuſcipere? Nequaquam vero. Quis enim unquam majoribus pulchrioribuſve inſtructus rei gerendæ occaſionibus ad bellum profectus eſt? magnanimitate inquam, prudentia, temperantia, fortitudine; quibus eum viaticis philoſophia ad expeditionem inſtruxit; ut majorem a præceptore Ariſtotele, quam Philippo patre commeatum ad rem gerendam conſecutus, in Perſas moverit. Nos autem credimus iis, qui ſcribunt *Alexandrum aliquando dixiſſe Iliadem ſe et Ulyſſeam habuiſſe ſecum expeditionis ſuæ viaticum:* atque Homerum eo nomine prædicamus. Si quis vero affirmet eum libros iſtos animi reficiendi, laboriſque conſolandi, et otio ſuavitatem conciliandi gratia ſecum tuliſſe: viaticum re vera ei fuiſſe doctrinam e philoſophia

τείης καὶ μεγαλοψυχίας ὑπομνηματισμοὺς, καλα-
θῶν· ὅτι δηλαδὴ περὶ συλλογισμῶν οὐδὲν, οὐδὲ
ἀξιωμάτων ἔγραφεν, οὐδ' ἐν Λυκείῳ περίπατον
οὐδ' ἐν Ἀκαδημίᾳ θέσεις εἶπεν· τούτοις γὰρ ὁρίζουσι
φίαν, οἱ λόγον αὐτὴν, οὐκ ἔργον νομίζοντες.
γε οὐδὲ Πυθαγόρας ἔγραψεν οὐδὲν, οὐδὲ Σω-
ς, οὐδὲ Ἀρκεσίλαος, οὐδὲ Καρνεάδης, οἱ δοκιμώ-
τῶν φιλοσόφων· καὶ οὐκ ἠσχολοῦντο περὶ πολέμους
τηλικούτους, οὐδὲ βασιλεῖς βαρβάρους ἡμεροῦντες,
πόλεις Ἑλληνίδας ἐπικτίζοντες ἀγρίοις ἔθνεσιν,
ἴθεσμα καὶ ἀνήκοα φῦλα νόμους διδάσκοντες καὶ
ἐπήεσαν, ἀλλὰ καὶ σχολάζοντες, τὸ γράφειν παρ-
τοῖς σοφισταῖς. Πόθεν οὖν ἐπιστεύθησαν ἐκεῖνοι
φεῖν; ἀφ' ὧν εἶπον, ἢ ἀφ' ὧν ἐβίωσαν, ἢ ἀφ'
δαξαν; Ἀπὸ τούτων κρινέσθω καὶ Ἀλέξανδρος· ὀφ-
γὰρ οἷς εἶπεν, οἷς ἔπραξεν, οἷς ἐπαίδευσε, φιλόσοφος.

ἀφ' ὧν] ὧ bis ex antecedenti ν ortum, utroque loco delendum. Recte ita vertit Xyl.

tam, et commentationes
uitate metus, fortitudi-
nperantia, magnanimi-
contemnimus: ſcilicet
nihil de ſyllogiſmis aut
atiatis ſcripſit, neque
ationem in Lyceo occu-
neque de propoſitis in
mia diſputavit. His e-
ebus philoſophiam defi-
qui eam verba, non res
. Atqui neque Pytha-
quicquam ſcripſit, ne-
ocrates, neque Arceſila-
que Carneades, nobiliſ-
philoſophi: neque illos

tanta occupabant bella, neque barbaros reges cicurando, et Græcanicas urbes in feris condendo nationibus, et injuſtas contumaceſque gentes pacem legeſque docendo, terras peragrabant: ſed quantumvis in otio vitam agentes, ſcribendi munus ſophiſtis relinquebant. Unde ergo creditum eſt eos philoſophari? e dictis, e factis, ex iis quæ docuerunt. Ex his itaque de Alexandro judicetur: quæ dixit, quæ egit, quæ docuit, philoſophum fuiſſe oſtendent.

έ. Καὶ πρῶτον τὸ παραδοξότατον, εἰ βούλει, σκόπει, τοὺς Ἀλεξάνδρου μαθητὰς τοῖς Πλάτωνος, τοῖς Σωκράτους ἀντιπαραβάλλων. Εὐφυεῖς οὗτοι καὶ ὁμογλώσσους ἐπαίδευον, εἰ μηδὲν ἄλλο, φωνῆς Ἑλληνίδος συνιέντας· καὶ πολλοὺς οὐκ ἔπεισαν· ἀλλὰ Κριτίαι καὶ C Ἀλκιβιάδαι καὶ Κλειτοφῶντες, ὥσπερ χαλινὸν τὸν λόγον ἐκπτύσαντες, ἄλλῃ που παρετράπησαν. Τὴν δὲ Ἀλεξάνδρου παιδείαν ἂν ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε· καὶ γεωργεῖν ἐδίδαξεν Ἀραχωσίους· καὶ Σογδιανοὺς ἔπεισε πατέρας τρέφειν, καὶ μὴ φονεύειν· καὶ Πέρσας σέβεσθαι μητέρας, ἀλλὰ μὴ γαμεῖν. Ὢ θαυμαστῆς φιλοσοφίας, δι' ἣν Ἰνδοὶ θεοὺς Ἑλληνικοὺς προσκυνοῦσι, Σκύθαι θάπτουσι τοὺς ἀποθανόντας, οὐ κατεσθίουσι. Θαυμάζομεν τὴν Καρνεάδου δύναμιν, εἰ Κλειτόμαχον, Ἀσδρούβαν καλούμενον πρότερον καὶ Καρχηδόνιον τὸ γένος, D ἑλληνίζειν ἐποίησε· θαυμάζομεν τὴν διάθεσιν Ζήνωνος, εἰ Διογένη τὸν Βαβυλώνιον ἔπεισε φιλοσοφεῖν. Ἀλλ' Ἀλεξ-

V. Ac primo id, quod ab opinione vulgi eſt alieniſſimum, conſidera, comparationem diſcipulorum Alexandri cum diſcipulis Platonis et Socratis. Ingenioſos hi, et eadem lingua utentes inſtituerunt, ſi nihil aliud, ſaltem Græci ſermonis intelligentes, et multis horum ſua non perſuaſerunt: cum Critiæ, Alcibiades, Clitophontes præcepta tanquam frænum exſpuentes alio deflecterent. Alexandri doctrinam ſi inſpicias, Hyrcanos docuit conjugiis uti: Arachoſios agriculturam: Sogdianis perſuaſit, ut alerent, non interficerent, patres: Perſas ut venerarentur, non uxorum loco haberent, matres. O admirabilem philoſophiam! quæ fecit, ut Indi deos Græcorum colerent, et Scythæ mortuos humarent, non, ut ante, comederent. Admiramur Carneadis vim, qui Clitomachum, domo Carthaginienſem, prius Aſdrubalem vocatum, Græcos mores inſtitutaque amplecti docuit: et Zenonis, quod Diogeni Babylonio perſuaſit, ut operam philoſophiæ daret. At vero Aſia ab Alexandro pa-

ἄνδρου τὴν Ἀσίαν ἐξημεροῦντος, Ὅμηρος ἦν ἀνάγνωσμα, καὶ Περσῶν καὶ Σουσιανῶν καὶ Γεδρωσίων παῖδες τὰς Εὐριπίδου καὶ Σοφοκλέους τραγῳδίας ᾖδον. Καὶ Σωκράτης μὲν ξένα παρεισάγων δαιμόνια, δίκην τοῖς Ἀθήνησιν ὤφλισκανε συκοφάνταις· διὰ δὲ Ἀλέξανδρον, τοὺς Ἑλλήνων θεοὺς Βάκτρα καὶ Καύκασος προσεκύνησε.
E Πλάτων μὲν γὰρ μίαν γράψας πολιτείαν, οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι διὰ τὸ αὐστηρόν. Ἀλέξανδρος δὲ ὑπὲρ ἑβδομήκοντα πόλεις βαρβάροις ἔθνεσιν ἐγκτίσας, καὶ κατασπείρας τὴν Ἀσίαν Ἑλληνικοῖς τέλεσι, τῆς ἀνημέρου καὶ θηριώδους ἐκράτησε διαίτης. Καὶ τοὺς μὲν Πλάτωνος ὀλίγοι νόμους ἀναγινώσκομεν· τοῖς δὲ Ἀλεξάνδρου μυριάδες ἀνθρώπων ἐχρήσαντο καὶ χρῶνται. Μακαριώτεροι τῶν διαφυγόντων Ἀλέξανδρον οἱ κρατηθέντες γενόμενοι· τοὺς μὲν γὰρ οὐδεὶς ἔπαυσεν ἀθλίως ζῶντας, τοὺς δὲ ἠνάγκασεν εὐδαιμονεῖν ὁ νικήσας. Ὥστε ὅπερ εἶπε Θεμιστοκλῆς, ὁπηνίκα φυγὼν ἔτυχε δωρεῶν

E. 4. τέλεσι] Forte rectius γένεσι cum Reiſk. vel ἔθεσι.

cata Homerum paſſim legebat: et Perſarum, Suſianorum, Gedroſiorumque filii Euripidis ac Sophoclis cantabant tragœdias. Et Socrates quidem novos introducens genios, pœnas Athenienſibus calumniatoribus dedit: Alexandri opera factum eſt, ut Bactra et Caucaſus Græcorum deos adorarent. Plato unicam reipublicæ formam ſcripſit, neque cuiquam perſuaſit ut ea uteretur, quod erat auſtera: Alexander amplius ſeptuaginta urbibus in barbaris condidit gentibus, diſſeminatiſque per Aſiam Græcis inſtitutis, a fera et belluina vitæ ratione homines detraxit. Ac Platonis ſane leges pauci legimus: Alexandri legibus multa hominum millia uſa ſunt et utuntur: victique ab eo feliciores iis ſunt qui ipſum ſubterfugerunt: cum his nemo miſere vivendi finem impoſuerit, illos victor coegerit feliciter vivere. Itaque quod Themiſtocles dixit, quo tempore a patria profugum

μεγάλων παρὰ βασιλέως, καὶ τρεῖς πόλεις ὑποφόρους F ἔλαβε, τὴν μὲν εἰς σῖτον, τὴν δ' εἰς οἶνον, τὴν δ' εἰς ὄψον, Ὦ παῖδες, ἀπωλόμεθα ἂν εἰ μὴ ἀπωλόμεθα· τοῦτο περὶ τῶν ἁλόντων ὑπ' Ἀλεξάνδρου δικαιότερόν ἐστιν εἰπεῖν, Οὐκ ἂν ἡμερώθησαν εἰ μὴ ἐκρατήθησαν· οὐκ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος, οὐδὲ Μεσοποταμία Σελεύκειαν, οὐδὲ Προφθασίαν Σογδιανοί, οὐδ' Ἰνδία Βουκεφαλίαν, οὐδὲ πόλιν Ἑλλάδα Καύκασος περιοικοῦσαν, αἷς ἐμποδισθεῖσαν ἐσβέσθη τὸ ἄγριον, καὶ 329 μετέβαλε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἐθιζόμενον. Εἰ τοίνυν μέγιστον μὲν οἱ φιλόσοφοι φρονοῦσιν ἐπὶ τῷ τὰ σκληρὰ καὶ ἀπαίδευτα τῶν ἠθῶν ἐξημεροῦν καὶ μεθαρμόζειν, μυρία δὲ φαίνεται γένη καὶ φύσεις θηριώδεις μεταβαλὼν Ἀλέξανδρος, εἰκότως ἂν φιλοσοφώτατος νομίζοιτο.

ϛʹ. Καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τ

F. 8. περιοικοῦσαν] Reiſk. παροικοῦσαν.

A. 1. ἐμποδισθεῖσαν ἐσβέσθη] Veteor ut ſanum ſit. Equidem malim ἐμπαιδευθεῖσι, vel ἐμπαιδαγωγηθεῖσι, ἀπεσβέσθη.

rex Perſiæ magnis affecit donis, treſque ei urbes ſtipendiarias fecit, unam ad frumentum, alteram ad vinum, tertiam ad obſonium ſuppeditandum : *O pueri, perieramus niſi periiſſemus:* id rectius de his dici poteſt, quos Alexander ſubegit. Nunquam enim manſueviſſent, ſi domiti non fuiſſent: non haberet Alexandriam Ægyptus, neque Seleuciam Meſopotamia, neque Sogdiani Prophthaſiam, neque Bucephaliam Indi, neque Caucaſus circumpoſitas Græcanicas urbes, quibus barbara feritas repreſſa paulatim eſt, moreſque de malis in bonos conſuetudine redacti. Proinde ſi recte maximam ſibi laudem philoſophi inde petunt quod dura et inculta ingenia emolliunt atque componunt; merito pro ſummo philoſopho Alexander habendus eſt, qui innumeras efferas gentes atque indoles cicuraverit.

VI. Jam illa reipublicæ forma a Zenone Stoicæ ſectæ

Στωϊκῶν αἵρεσιν καταβαλομένου Ζήνωνος, εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους
B οἰκῶμεν, ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. Τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος· Ἀλέξανδρος δὲ, τῷ λόγῳ τὸ ἔργον παρέσχεν. Οὐ γὰρ, ὡς Ἀριστοτέλης συνεβούλευεν αὐτῷ, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβάροις δεσποτικῶς χρώμενον, καὶ τῶν μὲν ὡς φίλων καὶ οἰκείων ἐπιμελόμενον, τοῖς δὲ ὡς ζώοις ἢ φυτοῖς προσφερόμενον, πολεμοποιῶν φυγῶν ἐνέπλησε
C καὶ στάσεων ὑπούλων τὴν ἡγεμονίαν· ἀλλὰ κοινὸς ἥκειν θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν ὅλων νομίζων, οὓς τῷ λόγῳ μὴ συνῆγε, τοῖς ὅπλοις βιαζόμενος, εἰς τὸ

B. 8. χρώμενον—ἐπιμελόμενον—προσφερόμενον] Ita omnes libri. Niſi quid excidit, Accuſativi mutandi in Nominativos.

auctore tradita, quæ tantopere laudatur, ad unum hoc caput tendit, ut non per urbes ac pagos habitemus, ſinguli proprio nobis jure ab aliis diſtincti, ſed univerſos homines populares civeſque noſtros cenſeamus eſſe, una omnium vitæ ratio, unus ordo ſit, tanquam gregis alicujus quæ communibus utitur æquali lege paſcuis. Atque hoc quidem ſcriptum reliquit Zeno, tanquam ſomnium aut imaginem æquitatis et reipublicæ philoſophicæ informans. Alexander re ipſa doctrinam eam expreſſit. Neque enim ſecutus eſt Ariſtotelis conſilium, qui eum jubebat Græcis ſe tanquam principem, barbaris ut dominum præbere, et illorum quidem ut amicorum et domeſticorum curam gerere, his tanquam brutis aut ſtirpibus uti: quod ſi feciſſet, regnum ſuum bellis, exiliis, ſeditionibus, ſimultatibuſque impleviſſet. Sed ita ſtatuens, divinitus ſe communem omnium nationum moderatorem atque arbitrum eſſe miſſum, quos verbis non poterat, armis ad communitatem adigens,

παθέσι δεσμοῖς, ἀλλ' ἔρωτι νομίμῳ καὶ γάμοις σώφροσι, καὶ κοινωνίαις παίδων τὰ γένη συνάπτοντες.

η'. Πρὸς τοῦτον ἀποβλέπων τὸν κόσμον Ἀλέξανδρος, οὐ τὴν ἐσθῆτα προσήκατο τὴν Μηδικὴν, ἀλλὰ τὴν Περσικὴν, εὐτελεστέραν οὖσαν· τὰ γὰρ ἔξαλλα καὶ τραγικὰ τοῦ βαρβαρικοῦ κόσμου παραιτησάμενος, οἷον τιάραν 330
καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ Μακεδονικοῦ καὶ Περσικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει, καθάπερ Ἐρατοσθένης ἱστόρηκεν· ὡς μὲν φιλόσοφος, τοῖς ἀδιαφόροις χρώμενος· ὡς δὲ ἡγεμὼν κοινὸς καὶ βασιλεὺς φιλάνθρωπος, τῇ περὶ τὴν ἐσθῆτα τιμῇ τὴν τῶν κεκρατημένων ἀνακτώμενος εὔνοιαν, ἵνα βεβαίως παραμένωσιν ἀγαπῶντες ὡς ἄρχοντας Μακεδόνας, μὴ μισοῦντες ὡς πολεμίους. Τοὐναντίον γὰρ ἦν ἀσόφου καὶ τετυφωμένης ψυχῆς, τὴν μὲν αὐτόχρουν χλαμύδα θαυμάζειν, τὸν δὲ περιπόρφυρον χιτῶνα δυσχεραίνειν· ἢ πάλιν ἐκεῖνα μὲν ἀτιμάζειν, τούτοις δὲ ἐκπεπλῆχθαι· δίκην νηπίου παιδὸς B

ſenſionis expertibus vinculis, ſed legitimo amore, caſtiſque nuptiis, et prolis communione gentes uniendo.

VIII. Ad hunc reſpiciens ornatum Alexander, non Medicum adſcivit veſtitum, ſed Perſicum, multo quam eſt Medicus viliorem: nam aliena iſta et inuſitata ac tragica barbarici ornatus recuſans, ut tiaram et candyn et anaxyrides, veſtem geſtavit ex habitu Macedonico et Perſico compoſitam, ut Eratoſthenes narrat: ut philoſophus, indifferentibus utens: ut autem princeps communis, et rex humanus, veſtis honore ſuperatorum ſibi parans benevolentiam, ut conſtantes permanerent, Macedoneſque non ut hoſtes odio, ſed ut principes amore proſequerentur. Contra enim inſipientis erat et inflati animi, chlamydem unicolorem admirari, tunicam punica prætextam odiſſe, vel a diverſa parte iſta contemnere, ad hæc obſtupeſcere: et in morem infantis eum conſervare veſtitum, quem majorum

φυλάττοντα τὴν περιβολὴν ἣν ἡ πάτριος αὐτῷ συνήθεια, καθάπερ τιτθή, περιέθηκε. Ζῷα θηρεύοντες ἄνθρωποι, δορὰς ἐλάφων περιτίθενται· καὶ πτερωτοῖς ἀμπέχονται χιτωνίσκοις, ἄγραις ἐπιχειροῦντες ὀρνίθων· καὶ φυλάττονται ταύροις ὀφθῆναι φοινικίδας ἔχοντες, ἐλέφασι δὲ λευκοὺς χιτῶνας· ἐρεθίζεται γὰρ ὑπὸ τῶν χρωμάτων τὰ ζῷα τούτων καὶ διαθηριοῦται. Εἰ δὲ βασιλεὺς μέγας, ἔθνη δυσκάθεκτα καὶ μαχόμενα καθάπερ ζῷα, τιθασεύων καὶ μειλισσόμενος, ἐσθῆσιν οἰκείαις καὶ συνήθεσιν ἐξεπράϋνε
c διαίταις καὶ κατέστελλεν, οἰκειούμενος αὐτῶν τὸ δύσθυμον, καὶ παρηγορῶν τὸ σκυθρωπόν, ἐγκαλοῦσιν οὐχὶ θαυμάζουσι τὴν σοφίαν, ὅτι τῷ τυχόντι μετασχηματισμῷ τὴν Ἀσίαν ἐδημαγώγησε, τοῖς μὲν ὅπλοις τῶν σωμάτων ἐπικρατήσας, τῇ δὲ ἐσθῆτι τὰς ψυχὰς προσαγόμενος; Καίτοιγε Ἀρίστιππον θαυμάζουσι τὸν Σωκρατικόν, ὅτι καὶ τρίβωνι λιτῷ καὶ Μιλησίᾳ χλαμύδι χρώμενος, δι' ἀμφοτέρων ἐτήρει τὸ εὔσχημον· Ἀλεξάνδρῳ δὲ ἐγκαλοῦσιν ὅτι τὸν πά-

uſus, tanquam nutrix, circumdediſſet. Qui feras venantur homines, ii pellibus cervorum ſe amiciunt: et alatis tuniculis utuntur, qui aucupantur volucres: caventque tauris ſe oſtentare in punicea veſte, aut in alba elephantis: quia his coloribus iſta animalia efferantur et in rabiem aguntur. Si autem rex magnus gentes intractabiles et imperio reluctantes, tanquam beſtias cicurans, veſtitu iis conſueto demitigavit, victuſque uſitata ratione compeſcuit, mœrorem animi eorum et triſtitiam deliniens, id reprehendunt? ac non potius admirantur ſapientiam ejus, qui levi admodum habitus mutatione Aſiam demulſerit? utque corpora armis debellavit, ita veſte animos ſibi devinxerit? Enimvero Ariſtippum Socraticum admirantur, qui et vili pallio, et læna Mileſia ita uſus eſt, ut utrobique decorum ſervaverit: Alexandro autem vitio dant, quod, patrio habitu exornato, non contempſit veſ-

τερον ἐσθῆτα κοσμῶν, οὐδὲ τὴν δορίκτητον ὑπερεῖδε, μεγάλων πραγμάτων καταβαλλόμενος ἀρχάς. Οὐ γὰρ D
λῃστρικῶς τὴν Ἀσίαν καταδραμών, οὐδὲ ὥσπερ ἅρπαγμα καὶ λάφυρον εὐτυχίας ἀνελπίστου, σπαράξαι καὶ ἀνασύρασθαι διανοηθείς, καθάπερ ὕστερον μὲν Ἀννίβας Ἰταλίαν, πρότερον δὲ Τρῆρες Ἰωνίαν, καὶ Σκύθαι Μηδίαν ἐπῆλθον· ἀλλ' ἑνὸς ὑπήκοα λόγου τὰ ἐπὶ γῆς καὶ μιᾶς πολιτείας, ἕνα δῆμον ἀνθρώπους ἅπαντας, ἀποφῆναι βουλόμενος, οὕτως ἑαυτὸν ἐσχημάτιζεν. Εἰ δὲ μὴ ταχέως ὁ δεῦρο καταπέμψας τὴν Ἀλεξάνδρου ψυχὴν ἀνεκαλέσατο δαίμων, εἷς ἂν νόμος ἅπαντας ἀνθρώπους ἐπέβλεπε, E
καὶ πρὸς ἓν δίκαιον ὡς πρὸς κοινὸν διῳκεῖτο φῶς. Νῦν δὲ τῆς γῆς ἀνήλιον μέρος ἔμεινεν, ὅσον Ἀλέξανδρον οὐκ εἶδεν.

θʹ. Οὐκοῦν πρώτη μὲν ἡ τῆς στρατείας ὑπόθεσις φιλόσοφον τὸν ἄνδρα συνίστησιν, οὐχ ἑαυτῷ τρυφὴν καὶ πολυτέλειαν, ἀλλὰ πᾶσιν ἀνθρώποις ὁμόνοιαν καὶ εἰρήνην καὶ κοινωνίαν πρὸς ἀλλήλους παρασκευάσαι

tem bello domitorum, cum quidem ille magnarum jaceret rerum fundamenta. Non enim latrocinio Aſiam incurſare, aut inſperatæ fortunæ dono prædas et ſpolia rapere meditatus, quo modo poſtea temporis Italiam Annibal, et priſcis temporibus Treres Ioniam, ac Scythæ Mediam populati ſunt, ſed omnes terræ populos uni ſubjicere imperio ac reipublicæ formæ omnes homines in unum populum conducere cupiens, hoc modo ſeſe compoſuit. Ac niſi tam celeriter genius qui animum Alexandri huc demiſerat, eundem ad ſe revocaſſet; una utique lex omnibus hominibus propoſita fuiſſet: mortaleſque univerſi ad unicum jus tanquam communem lucem reſpexiſſent. Nunc ea pars terræ quaſi Solis radiorum expers manſit, quæ Alexandrum non vidit.

IX. Ergo primum ipſe expeditionis ſcopus hominem a philoſophia commendat: ut qui non ſibi luxum et opes ac ſplendorem, ſed omnibus hominibus concordiam, pacem, mutuamque communicatio-

διανοηθέντα. Δεύτερον δὲ αὐτοῦ καὶ τὰς φωνὰς ἴδωμεν,
ἐπεὶ καὶ τὰ τῶν ἄλλων ἤθη βασιλέων καὶ δυναστῶν
μάλιστα ταῖς φωναῖς αἱ ψυχαὶ παραβάλλουσιν. Ἀντί-
γονος ὁ γέρων, σοφιστοῦ τινος αὐτῷ σύγγραμμα προσᾴ-
δοντος περὶ δικαιοσύνης, Ἀβέλτερος εἶ, εἶπεν, ὃς ὁρῶν
F με τὰς ἀλλοτρίας πόλεις τύπτοντα, λέγεις περὶ δικαιο-
σύνης. Διονύσιος δὲ ὁ τύραννος ἐκέλευε, τοὺς μὲν
παῖδας ἀστραγάλοις, τοὺς δ' ἄνδρας ὅρκοις ἐξαπατᾷν.
Τοῖς δὲ Σαρδαναπάλου μνημείοις ἐπιγέγραπται,

Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα.—

Τίς οὐκ ἂν εἴποι τῶν ἀποφθεγμάτων τούτων τὸ μὲν
ἀποφαίνεσθαι φιληδονίαν, τὸ δ' ἀθεότητα, τὸ δὲ ἀδικίαν
καὶ πλεονεξίαν; Τῶν δ' Ἀλεξάνδρου φωνῶν ἂν ἀφέλης
31 τὸ διάδημα καὶ τὸν Ἄμμωνα καὶ τὴν εὐγένειαν, Σω-
κράτους, ἢ Πλάτωνος, ἢ Πυθαγόρου σοι φανοῦνται. Μὴ
γὰρ ἃς οἱ ποιηταὶ ταῖς εἰκόσιν αὐτοῦ καὶ τοῖς ἀνδριάσι με-
γαληγορίας ἐπεχάραττον, οὐ τῆς μετριότητος ἀλλὰ τῆς

nem parare inſtituerit. Secundo loco dicta ejus conſideremus, quando aliorum etiam regum atque principum mores et ingenia vocibus potiſſimum animi patefaciunt. Antigonus ſenex ſophiſtæ cuidam, libros ei de juſtitia ſcriptos occinenti: *Stultus es*, inquit, *qui mihi, quem vides alienas urbes vexare, de juſtitia loquaris.* Dionyſius tyrannus dicebat, *pueros talis, viros jurejurando eſſe fallendos.* Sardanapali monimento inſcriptum fuit:

Hæc habeo, quæ edi, quæque exſaturata libido
Hauſit.———

Quis ex his dictis non pronunciet primo injuſtitiam et alienorum appetentiam, ſecundo impietatem, tertio luxuriam tribui? Alexandri autem dicta, ſi diadema iis, et Ammonem, et nobilitatem generis adimas, Socratis tibi, aut Platonis, vel Pythagoræ videbuntur. Non enim conſideremus eas voces, quas poetæ imaginibus et ſtatuis ejus magni loquentes ſubſcripſerunt, non ad moderatio-

δυνάμεως τῆς Ἀλεξάνδρου στοχαζόμενοι, σκοπῶμεν·

Αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

καὶ Ἀλέξανδρος, Ἐγὼ Διὸς μὲν υἱός. Ταῦτα μὲν οὖν, ὡς ἔφην, οἱ ποιηταὶ κολακεύοντες αὐτοῦ τὴν τύχην προσεῖπον· τῶν δὲ ἀληθινῶν ἀποφθεγμάτων Ἀλεξάνδρου, πρῶτον ἄν τις τὰ παιδικὰ διέλθοι. Ποδωκέστατος γὰρ τῶν ἐφ' ἡλικίας γενόμενος νέων, καὶ τῶν ἑταίρων B αὐτὸν ἐπ' Ὀλύμπια παρορμώντων, ἠρώτησεν, Εἰ βασιλεῖς ἀγωνίζονται· τῶν δὲ οὐ φαμένων, Ἄδικον εἶπεν εἶναι τὴν ἅμιλλαν, ἐν ᾗ νικήσει μὲν ἰδιώτας, νικηθήσεται δὲ βασιλεύς. Τοῦ δὲ πατρὸς Φιλίππου λόγχῃ τὸν μηρὸν ἐν Τριβαλλοῖς διαπαρέντος, καὶ τὸν μὲν κίνδυνον διαφυγόντος, ἀχθομένου δὲ τῇ χωλότητι, Θάῤῥει, πάτερ, ἔφη, καὶ πρόϊθι φανερῶς, ἵνα τῆς ἀρετῆς κατὰ βῆμα μνημονεύῃς. Ταῦτα οὐκ ἔστι διανοίας φιλοσόφου, καὶ διὰ τὸν ἐπὶ τοῖς καλοῖς ἐνθουσιασμὸν ἤδη τῶν τοῦ

nem animi, ſed ad potentiam Alexandri reſpicientes:

Æreus inſpiciens diveſque hominesque regentem
Velle mihi eſt viſus talia verba loqui;
Magne, tene, Jupiter, neque enim prohibemus, Olympum,
Dum tellus toto pareat orbe mihi.

Et, Alexander ego Jovis quidem filius. Hæc, ut dixi, poetarum ſunt fortunam ejus adulantium. De genuinis autem Alexandri dictis primum perpendamus puerilia. Adoleſcens cum æquales velocitate pedum ſuperaret, et ſocii ad Olympicum curſus certamen incitarent, quæſivit, *Regesne curſu eſſent certaturi:* negantibus, *Inique comparatum fore certamen*, dixit, *ubi privatos victurus eſſet, victus autem rex privatis palmam ceſſurus*. Patri Philippo haſta femur in Triballis transfixo, cum is evitato mortis periculo claudicationem iniquius ferret, *Bono animo es, pater mi*, inquit, *ac palam progredere, ut ad ſingulos greſſus virtutis tuæ recorderis*. Nonne hæc animi ſunt philoſophici, et qui ob divinum inſtinctum quo ad

C σώματος ἐλαττωμάτων κατεξανισταμένης; Πῶς γὰρ αὐτὸν ἐπὶ τοῖς ἰδίοις ἀγάλλεσθαι τραύμασι καθ' ἕκαστον μέρος, ἔθνους μνημονεύοντα καὶ νίκης, καὶ πόλεων ἁλισκομένων, καὶ βασιλέων παραδιδόντων, οὐκ ἐγκαλυπτόμενον, οὐδὲ κατακρύπτοντα τὰς οὐλάς, ἀλλ' ὥσπερ εἰκόνας ἐγκεχαραγμένας ἀρετῆς καὶ ἀνδραγαθίας περιφέροντα;

ι'. Καὶ μὴν εἴ ποτε γένοιτο τῶν Ὁμήρου σύγκρισις ἐπῶν ἐν ταῖς διατριβαῖς, ἢ παρὰ τὰ συμπόσια, ἄλλον ἄλλου στίχον προκρίνοντος, αὐτὸς ὡς διαφέροντα πάντων ἐνέκρινε τοῦτον,

Ἀμφότερον βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής·

ὃν ἄλλος ἔπαινον τῷ χρόνῳ προέλαβε, τοῦτον αὐτῷ νόμον
D κεῖσθαι λογιζόμενος· ὥστε εἰπεῖν, Ὅμηρον ὅτι τῷ αὐτῷ μέτρῳ τὴν μὲν Ἀγαμέμνονος ἀνδραγαθίαν κεκόσμηκε, τὴν δ' Ἀλεξάνδρου μεμάντευται. Διαβὰς τοίνυν τὸν Ἑλλήσποντον, ἐθεᾶτο τὴν Τροίαν, ἀνατυπούμενος

C. 1. Πῶς γὰρ αὐτὸν ἐπὶ τοῖς] Aliquid excidiſſe nemo non videt et monuerunt Xyl. Reiſk. Mez. Forte, aut relicto, aut deleto ἐπὶ τοῖς, legendum εἰκός.

honeſta fertur adverſus corporis vitia ſe erigat? Quomodo putas eum exſultaſſe propria vulnera commemorantem, ad ſingula gentem domitam aliquam, aut victoriam partam, urbemve captam, aut regem ſe dedentem dum referret: neque tegeret cicatrices, ſed velut impreſſas virtutis et fortitudinis ſuæ notas circumferret?

X. Porro ſi quando in ſcholis Homeri verſuum inſtituebatur comparatio, aut in conviviis, alio alium præferente, ipſe hunc omnibus aliis præſtare dixit:

Rex idem bonus, et fortis bellator in armis:

quam alius laudem tempore præceperat, eam ſibi legem poſitam exiſtimans: ut dicere liceat, Homerum uno verſu et ornaſſe præſtantiam Agamemnonis, et de Alexandri virtute oraculum edidiſſe. Cum in Helleſpontum trajeciſſet, Trojam eſt contemplatus, et formam heroicarum actionum

τὰς Ἡρωϊκὰς πράξεις· καὶ τινος αὐτῷ τῶν ἐγχωρίων
ὑπισχνουμένου τὴν Πάριδος λύραν, εἰ βούλοιτο, δώσειν,
Οὐδὲν, ἔφη, τῆς ἐκείνου δέομαι· τὴν γὰρ Ἀχιλλέως
κέκτημαι, πρὸς ἣν ἐκεῖνος ἀνεπαύετο·

—Ἄειδε δ' ἄρα κλέα ἀνδρῶν·

ἡ δὲ Πάριδος, πάντως μαλακήν τινα καὶ θήλειαν ἁρ-
μονίαν ἐρωτικοῖς ἔψαλλε μέλεσι. Φιλοσόφου τοίνυν ἐστὶ
ψυχῆς, σοφίας ἐρᾷν, καὶ σοφοὺς ἄνδρας θαυμάζειν μά- E
λιστα· τοῦτο δὲ Ἀλεξάνδρῳ προσῆν ὡς οὐδενὶ τῶν βα-
σιλέων. Καὶ πῶς μὲν εἶχε πρὸς Ἀριστοτέλην εἴρηται,
καὶ ὅτι τὸν μὲν ἁρμονικὸν Ἀνάξαρχον, ἐντιμότατον τῶν
φίλων ἐνόμιζε, Πύῤῥωνι δὲ τῷ Ἠλείῳ πρῶτον ἐντυ-
χόντι μυρίους χρυσοῦς ἔδωκε· Ξενοκράτει δὲ τῷ Πλάτωνος
συνήθει πεντήκοντα τάλαντα δωρεὰν ἔπεμψεν· Ὀνη-
σίκριτον δὲ τὸν Διογένους τοῦ κυνὸς μαθητὴν ὅτι ἄρχοντα τῶν
κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων ἱστόρηται. Διογένει δὲ F

E. 4. ἁρμονικὸν] Potius aliud requiritur cognomen: forte εὐδαιμονικὸν, ut corrigit Menag. ad Diog. Laert. ix. 60.

cum animo ſuo commentatus: ibi cum quidam ſe Paridis lyram ei daturum, ſi vellet, polliceretur: Nihil, inquit, ea mihi opus eſt: habeo enim Achillis, qua is animum ſolatus eſt,

Magnorum cantans illuſtria facta virorum:

nam Paridis omnino mollem ac muliebrem cantum edidit amatoriis cantilenis. Animi eſt philoſophici ſapientiam amare, et ſapientes apprime admirari: qua in re Alexandrum nemo regum æquavit. Dictum eſt quo modo erga Ariſtotelem fuerit adfecto animo. Idem Anaxarchum muſicum inter amicos in ſummo habuit honore. Pyrrhoni Eleo ad primum congreſſum decem millia aureorum dono dedit. Xenocrati Platonis familiari quinquaginta talenta dono miſit. Onelicritum Diogenis Cynici diſcipulum ab eo fuiſſe magiſtrum gubernatorum factum, multi memoriæ prodiderunt. Cum ipſo Dio-

αὐτῷ περὶ Κόρινθον εἰς λόγους ἐλθὼν, οὕτως ἔφριξε καὶ κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν, Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην· τουτέστιν, Ἠσχολούμην ἂν περὶ λόγους, εἰ μὴ δι' ἔργων ἐφιλοσόφουν· οὐκ εἶπεν, Εἰ μὴ βασιλεὺς ἤμην, Διογένης ἂν ἤμην· οὐδ', Εἰ μὴ πλούσιος καὶ Ἀργεάδης· οὐ γὰρ προέκρινε τὴν τύχην τῆς σοφίας,
332 οὐδὲ τὴν πορφύραν καὶ τὸ διάδημα τῆς πήρας καὶ τοῦ τρίβωνος, ἀλλ' εἶπεν, Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην· τουτέστιν, Εἰ μὴ τὰ βαρβαρικὰ τοῖς Ἑλληνικοῖς κεράσαι διενοούμην, καὶ πᾶσαν ἤπειρον ἐπιὼν ἐξημερῶσαι, καὶ πέρατα γῆς ἀνευρὼν καὶ θαλάττης, ὠκεανῷ προσερεῖσαι Μακεδονίαν, καὶ τὴν Ἑλλάδα σπεῖραι, καὶ καταχέασθαι γένους παντὸς εὐδικίαν καὶ εἰρήνην, οὐκ ἂν ἐν ἀπράκτῳ τρυφῶν ἐξουσίᾳ καθήμην, ἀλλ' ἐζήλουν ἂν τὴν Διογένους εὐτέλειαν· νῦν δὲ σύγγνωθι, Διόγενες·
B Ἡρακλέα μιμοῦμαι, καὶ Περσέα ζηλῶ, καὶ τὰ Διονύσου

gene apud Corinthum collocutus, ita obſtupuit et attonitus eſt viri vita et gravitate, ut ſæpenumero ejus mentionem faciens dixerit, *Niſi eſſem Alexander, Diogenes vellem eſſe:* hoc eſt, *operam dediſſem et otium impendiſſem diſputationibus, niſi rebus gerendis philoſopharer.* Non hoc dixit, *Niſi rex eſſem, Diogenes eſſe vellem:* neque *Si non dives, etiam Argeades*; non enim fortunam ſapientiæ præferebat, neque purpuram et diadema pallio ac peræ: ſed hoc dicebat, *Niſi Alexander eſſem, Diogenes eſſe vellem:* hoc eſt, *Niſi inſtituiſſem gentes barbaricas cum Græcis commiſcere, omneſque terras obeundo cicurare, ſcrutatuſque continentis fines Macedoniam ad Oceanum propagare, Græciamque ſerere, et omnis generis juſtitiam atque pacem diſſeminare, non equidem in otio deſidens potentiam meam ad luxuriandum contuliſſem, ſed frugalitatem Diogenis æmulatus fuiſſem. Nunc ignoſce nobis, Diogenes, Herculem imitor, Perſeum æmulor,*

μετιὼν ἴχνη, θεοῦ γενάρχου καὶ προπάτορος, βούλομαι πάλιν ἐν Ἰνδίᾳ νικῶντας Ἕλληνας ἐγχορεῦσαι, καὶ τοὺς ὑπὲρ Καύκασον ὀρείους καὶ ἀγρίους τῶν Βακχικῶν ἀναμνῆσαι κώμων· κἀκεῖ τινες εἶναι λέγονται στερρᾶς καὶ γυμνήτιδος σοφίας ἐθάδες, ἄνδρες ἱεροὶ καὶ αὐτόνομοι, θεῷ σχολάζοντες, εὐτελέστεροι Διογένους, οὐδὲν πήρας δεόμενοι· τροφὴν γὰρ οὐκ ἀποτίθενται, πρόσφατον ἀεὶ καὶ νέαν ἀπὸ γῆς ἔχοντες· ποτὸν δὲ ποταμοὶ ῥέουσι· φύλλα δὲ αὐτοῖς δένδρων ἀποχυθέντων, καὶ πόα γῆς, ἐγκατακλιθῆναι· δι' ἐμὲ κἀκεῖνοι Διογένη γνώσονται, καὶ Διογένης ἐκείνους· δεῖ C κἀμὲ νόμισμα παρακόψαι, καὶ παραχαράξαι τὸ βαρβαρικῇ θέσει κατεσκευασμένον, Ἑλληνικῇ πολιτείᾳ.

ια'. Εἶεν· αἱ δὴ πράξεις αὐτοῦ πότερον αὐτοματισμὸν ἐπιφαίνουσι τύχης, καὶ βίαν πολεμικὴν καὶ χειροκρασίαν, ἢ πολλὴν μὲν ἀνδρείαν καὶ δικαιοσύνην, πολλὴν δὲ σωφροσύνην καὶ πρᾳότητα, μετὰ κόσμου καὶ συνέσεως,

B. 10. ἀποχυθέντων] Mez. ἐπιχυθέντα.

Bacchique, qui deus auctor mei eſt generis, inhærens veſtigiis, rurſus in India vincentium Græcorum chorum volo ponere, et apud montanas agreſteſque trans Caucaſum gentes Bacchi comeſſationum memoriam renovare: ſunt et ibi quidam duræ philoſophiæ nudato corpore aſſueti, viri ſancti et ſuo jure viventes, deo operam dantes, Diogenem utilitate rerum ſuarum ſuperantes, nulla pera indigentes: non enim recondunt alimentum, quod iis terra ſubinde recens ſuggerit, potum fluvii, folia ab arboribus defluentia, et herba e terra enaſcens lectum: per me et hi Diogenem cognoſcent et ipſos Diogenes: oportet etiam me nomiſma cudere, et barbarica e materia factum Græcanicæ forma reipublicæ ſignare.

XI. Agedum actiones Alexandri num fortuitum caſum, et vim bellicam ac manuum robur præ ſe ferunt? an vero multum fortitudinis et juſtitiæ, multum temperantiæ ac manſuetudinis, cum decoro et prudentia, ſobria ac

νήφοντι καὶ πεπνυμένῳ τῷ λογισμῷ πάντα πράττοντος; Οὐ γὰρ ἔστιν εἰπεῖν διακρίναντά με, μὰ τοὺς θεούς, ὅτι τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ φιλανθρωπίας, τοῦτο δὲ ἐγκρατείας· ἀλλὰ πᾶν ἔργον ἐκ πασῶν ἔοικε τῶν ἀρετῶν μεμῖχθαι· βεβαιοῦντος αὐτοῦ τὸν Στωϊκὸν ἐκεῖνον λόγον,
D ὅτι πᾶν ὃ ἂν δρᾷ ὁ σοφός, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, καὶ μία μέν, ὡς ἔοικεν, ἀρετὴ πρωταγωνιστεῖ πράξεως ἑκάστης, παρακαλεῖ δὲ τὰς ἄλλας, καὶ συντείνει πρὸς τὸ τέλος. Ἰδεῖν γοῦν ἔστιν ἐν Ἀλεξάνδρῳ τὸ μὲν πολεμικόν, φιλάνθρωπον· τὸ δὲ πρᾷον, ἀνδρῶδες· τὸ δὲ χαριστικόν, οἰκονομικόν· τὸ δὲ θυμικόν, εὐδιάλλακτον· τὸ δὲ ἐρωτικόν, σῶφρον· τὸ δ' ἀνειμένον, οὐκ ἀργόν· τὸ δ' ἐπίπονον, οὐκ απαραμύθητον. Τίς ἔμιξε πολέμοις ἑορτάς; τίς δὲ κώμοις στρατείας; τίς δὲ πολιορκίαις καὶ πράξεσι βακχείας καὶ γάμους καὶ ὑμεναίους; τίς ἀδικοῦσιν ἐχθρότερος, ἢ δυστυχοῦσιν ἡμερώτερος;

D. 1. ὁ σοφός] ὁ addidi ex E. et Gronov.
D. 9. πολιορκίαις καὶ πράξεσι] Alio loco feram πράξεσι: hic malim παραλάξεσι.

ſapienti ratione omnia agentis? Non enim mehercle diſtinguere inter facta ejus, et hoc fortitudini, illud humanitati, aliud continentiæ adſcribere poſſum: ſed quodvis ex omnibus videtur contemperatum virtutibus: confirmante Alexandro Stoicorum illud decretum, *Quidquid agit ſapiens, omnibus eum virtutibus agere, Unamque virtutem aliquam primas obire partes; reliquas autem omnes ſocias ſibi perficiendæ rei adſciſcere.* Ita in Alexandro videre licet bellicam virtutem humanitate temperatam, manſuetudinem fortem, liberalitatem in donando rei familiaris rationibus accommodatam, iram placatu facilem, amorem temperantem, remiſſionem non otioſam, tolerantiam laborum non vacantem ſolatio. Quis miſcuit bello feſtivitates, quis comeſſationibus expeditiones, quis obſidionibus et rebus difficilibus gerendis bacchationes, nuptias, hymenæos? quis peccantibus ſe magis infenſum, adverſas res paſſis humaniorem

τίς μαχομένοις βαρύτερος, ἢ δεομένοις εὐγνωμονέστερος; E
Ἐπεισί μοι τὸ τοῦ Πώρου δεῦρο μετενεγκεῖν· ἐκεῖνος
γὰρ ὡς ἤχθη πρὸς Ἀλέξανδρον αἰχμάλωτος, πυνθα-
νομένου πῶς αὐτῷ χρήσεται, Βασιλικῶς, εἶπεν, ὦ Ἀλέξ-
ανδρε· πάλιν δ' ἐπερομένου, μή τι ἄλλο, Οὐδέν· εἶπε,
πάντα γάρ ἐστιν ἐν τῷ βασιλικῶς. Κἀμοὶ δὴ ταῖς
Ἀλεξάνδρου πράξεσιν ἔπεισιν ἐπιφωνεῖν ἀεὶ, φιλοσόφως·
ἐν τούτῳ γὰρ πάντα ἔνεστι. Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυά-
θρου θυγατρὸς ἐν ταῖς αἰχμαλώτισι χορευούσης, οὐχ
ὕβρισεν, ἀλλ' ἔγημε· φιλοσόφως. Δαρεῖον ἰδὼν κατηκον- F
τισμένον, οὐκ ἔθυσεν, οὐδ' ἐπαιάνισεν ὡς τοῦ μακροῦ πολέμου
τέλος ἔχοντος, ἀλλὰ τὴν χλαμύδα τὴν ἑαυτοῦ περιε-
λὼν, ἐπέρριψε τῷ νεκρῷ, καθάπερ τινὰ γένεσιν τύχης
βασιλικῆς συγκαλύπτων· φιλοσόφως. Ἐπιστολὴν δέ
ποτε τῆς μητρὸς ἀπόρρητον διερχόμενος, Ἡφαιστίωνος,
ὡς ἔτυχε, παρακαθημένου, καὶ ἁπλῶς συναναγινώσκοντος,

F. 4. γένεσιν] Reiſkius vere et acute νέμεσιν.

præbuit? quis pugnantibus gravior, veniam petentibus benignior fuit? Subit mihi hic Pori dictum referre. Is enim ut captivus eſt ad Alexandrum perductus, interrogatuſque ab eo quomodo ſe tractari vellet, *Regio more, o Alexander*, reſpondit: rurſumque interrogatus, an aliquid præterea aliud vellet, reſpondit, *Nihil, nam in regio more inſunt omnia.* Et mihi lubet ſingulis Alexandri actionibus acclamare, *Philoſophice*; nam in hoc quoque omnia inſunt. Captus amore Roxanes, Oxyathris filiæ, quæ in cœtu captivarum erat, non libidinoſe eam violavit, ſed uxorem duxit: *philoſophice.* Darium videns jaculis confixum, non ſacrificavit, non pæanem cecinit, ut qui ad finem longi belli perveniſſet: ſed chlamydem corpori ſuo detractam cadaveri injecit, hoc exemplum regiæ fortunæ tegens: *philoſophice.* Cum aliquando epiſtolam a matre miſſam arcanam legeret, et Hephæſtio, ut tum forte aſſidebat, ſimpliciter una eam

33 οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἑαυτοῦ τῷ στόματι προσέθηκεν αὐτοῦ, κατασφραγισάμενος φιλικῇ πίστει τὴν σιωπήν· φιλοσόφως. Εἰ γὰρ ταῦτα οὐκ ἔστι φιλοσόφως, τίνα ἐστὶν ἄλλα;

ιβ΄. Παραθῶμεν τὰ τῶν ὁμολογουμένων φιλοσόφων. Σωκράτης ἠνέσχετο συγκοιμηθέντος Ἀλκιβιάδου· Ἀλέξανδρος δὲ Φιλοξένου τοῦ τῆς παραλίας ὑπάρχου, γράψαντος ὅτι παῖς ἐν Ἰωνίᾳ γέγονεν οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος, καὶ πυνθανομένου διὰ τῶν γραμμάτων εἰ ἀναπέμψοι, πικρῶς ἀντέγραψεν, Ὦ κάκιστε ἀνθρώπων, τί μοι πώποτε τοιοῦτο συνέγνως, ἵνα τοιαύταις με κολα-
B κεύσῃς ἡδοναῖς; Ξενοκράτην, πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρου πέμψαντος, ὅτι οὐκ ἔλαβε, θαυμάζομεν· τὸ δὲ δοῦναι, οὔ; ἢ οὐχ ὁμοίως καταφρονεῖν χρημάτων δοκοῦμεν, τὸν μὴ προσιέμενον καὶ τὸν χαριζόμενον; οὐκ ἐδεῖτο πλούτου Ξενοκράτης διὰ φιλοσοφίαν, Ἀλέξανδρος δ' ἐδεῖτο διὰ φιλοσοφίαν, ἵνα τοιούτοις χαρίζηται.

percurreret, non prohibuit, ſed annulum ori ejus impoſuit, ſilentium amica fide obſignans: *philoſophice*. Hæc enim ſi non ſunt philoſophica, quænam ſunt alia?

XII. Apponamus eorum exempla, quos philoſophos fuiſſe eſt in confeſſo. Socrates ſecum cubare Alcibiadem paſſus eſt. Alexander Philoxenum oræ maritimæ præfectum cum is ſcripſiſſet Alexandro, eſſe in Ionia puerum ætate florentem, pulchritudine ſumma, quæreretque per epiſtolam an hunc emi et ad ſe mitti vellet: acerbe increpavit, in hanc ſententiam reſcribens: *Peſſime hominum, cujus mihi talis flagitii conſcius es, ut hujuſmodi voluptates mihi objiciendo blandiaris?* Xenocratem laudamus, quod dono miſſa ab Alexandro ſibi quinquaginta talenta non accepit: dantem non laudamus? an quia non tam a largiente quam a non accipiente contemni pecuniam credimus? Philoſophia fecit ne pecunia opus haberet Xenocrates: atqui eadem fecit ut ea opus haberet Alexander, ut largiri talibus poſſet. Hoc

Τοῦτο ποσάκις Ἀλέξανδρος εἶπε βαλλόμενος, ἐκβιαζό-
μενος; Καί τοι κρίσεις μὲν ὀρθὰς πᾶσιν ἐνυπάρχειν ἀν-
θρώποις νομίζομεν· ἡ γὰρ φύσις ἀγωγός ἐστιν ἀφ' ἑαυτῆς
πρὸς τὸ καλόν· οἱ δὲ φιλόσοφοι τῶν πολλῶν διαφέρουσι,
τῷ τὰς κρίσεις ἔχειν ἐῤῥωμένας παρὰ τὰ δεινά, καὶ πε- c
πηγυίας. Ἐπεὶ οὐ μετὰ τῶν τοιούτων προλήψεων,

Εἷς οἰωνὸς ἄριστος·——

καὶ, Πέρας μὲν ἐστὶν ἅπασιν ἀνθρώποις ὁ θάνατος· ἀλλὰ
θραύουσιν οἱ καιροὶ παρὰ τὰ δεινὰ τοὺς λογισμοὺς, καὶ τὰς
κρίσεις ἐκκρούουσιν αἱ φαντασίαι τῶν κινδύνων ἐγγὺς γενο-
μένων. Φόβος γὰρ οὐ μόνον μνήμην ἐκπλήττει, κατὰ
τὸν Θουκυδίδην, ἀλλὰ καὶ προαίρεσιν πᾶσαν καὶ φιλο-
τιμίαν καὶ ὁρμὴν, μηρίνθους φιλοσοφία περιτέθεικεν.

B. 7. Τοῦτο ποσάκις κ. τ. λ.] Hinc ad finem pleraque exciderunt; ut ſententia neutiquam conſtet.

quoties dixit Alexander ictus, vi pulſus? Et ſane judicia recta omnibus hominibus putamus ineſſe: quod natura ultro ad honeſtatem ducat. Philoſophi autem in eo præſtant vulgo, quod judicia habent rebus adverſis incidentibus firma et roborata: non enim tum his utuntur anticipatis ſententiis,

Eſt hæc augurium cunctis præſtantius unum;

et, *Finis omnibus hominibus eſt mors.* Sed rationes periculo imminente franguntur, ac imaginationibus judicium expellitur, ubi prope adſunt res terribiles. Metus enim non ſolam memoriam conſternat, ut ait Thucydides: ſed et inſtitutum animi omne et laudabilem conatum atque incitationem.

* Funiculos philoſophia circumpoſuit. * *

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Β.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Β.

PLUTARCHI

DE

ALEXANDRI MAGNI FORTUNA AUT VIRTUTE.

ORATIO II.

α'. ΔΙΕΦΥΓΕΝ ἡμᾶς, ὡς ἔοικε, χθὲς εἰπεῖν, ὅτι
B καὶ τέχνας πολλὰς καὶ φύσεις μεγάλας, ὁ κατ' Ἀλέξανδρον χρόνος ἐνεγκεῖν εὐτύχησεν· ἢ τοῦτο μὲν οὐ τῆς Ἀλεξάνδρου Τύχης γέγονεν, ἀλλὰ τῆς ἐκείνων, μάρτυρα λαβεῖν καὶ θεατὴν τὸν ἄριστα κρῖναι τὸ κατορ-

I. IN heſterna diſputatione obliti ſumus, ut apparet, dicere bona quadam fortuna factam fuiſſe, ut ætas Alexandri multas etiam artes, multa præclara ingenia produceret: quanquam id fortaſſe non tam Alexandri fortunæ imputandum, quam iſtorum felicitati adſcribendum eſt, eum ſuæ præſtantiæ ſpectatorem teſtemque nactis, qui et op-

θούμενον, καὶ μάλιστα ἀμείψασθαι δυνάμενον. Λέγεται γοῦν ὅτι χρόνοις ὕστερον, Ἀρχεστράτου γενομένου ποιητοῦ χαρίεντος, ἐν δὲ πενίᾳ καὶ ἀδοξίᾳ διάγοντος, εἶπέ τις πρὸς αὐτὸν, Ἀλλ' εἰ κατ' Ἀλέξανδρον ἐγένου, κατὰ στίχον ἄν σοι Κύπρον ἢ Φοινίκην ἔδωκεν. Οἶμαι δὲ καὶ τῶν τότε τεχνιτῶν οὐ κατ' Ἀλέξανδρον, ἀλλὰ δι' Ἀλέξανδρον τοὺς πρώτους γενέσθαι. Καρπῶν μὲν γὰρ εὐφορίαν F
εὐκρασία ποιεῖ καὶ λεπτότης τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν αὔξησιν εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία βασιλέως ἐκκαλεῖται· καὶ τοὐναντίον ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ φιλονεικίας τῶν κρατούντων σβέννυται καὶ φθίνει πᾶν τὸ τοιοῦτο. Διονύσιος γοῦν ὁ τύραννος, ὥς φασι, κιθαρῳδοῦ τινος εὐδοκιμοῦντος ἀκούων, ἐπηγγείλατο δωρεὰν αὐτῷ τάλαντον· τῇ δ' ὑστεραίᾳ τοῦ ἀνθρώπου τὴν ὑπόσχεσιν ἀπαιτοῦντος, Χθὲς, εἶπεν, εὐφραινόμενος ὑπὸ σοῦ παρ' ὃν ᾖδες χρόνον, εὔφραινα 334
κἀγώ σε ταῖς ἐλπίσιν· ὥστε τὸν μισθὸν ὧν ἔτερπες ἀπ-

time judicare egregia opera, et liberaliſſime compenſare poſſet. Sane poſterioribus temporibus perhibent Archeſtrato poëtæ eleganti, ſed qui in paupertate inglorius viveret, quendam dixiſſe, *Si tu Alexandri ætate vixiſſes, is tibi pro quovis verſu Cyprum aut Phœnicem dediſſet.* Exiſtimo autem eos quoque, qui tum fuerunt, artifices primos, non tam ætate Alexandri, quam propter Alexandrum extitiſſe. Ut enim frugum copiam bona temperies ac tenuitas aëris gignit: ita artium et bonorum ingeniorum incrementa benignitas, honor, et humanitas regis efficit: et contra principum invidia, ſordes, aut ſtudium contendendi, omnia iſta exſtinguit atque perdit. Dionyſius tyrannus, ut fertur, citharœdum quendam egregium audiens, pollicitus eſt ſe talentum ei dono daturum: cumque homo poſtridie promiſſum flagitaret, *Heri*, inquit, *exhilaratus abs te eo quo ceciniſti tempore, te quoque ſpe injecta exhilaravi: habes ergo mercedem, pro ea*

λάμβανες εὐθὺς, ἀντιτερπόμενος. Ἀλέξανδρος δὲ ὁ Φεραίων τύραννος, (ἔδει δὲ τοῦτο μόνον αὐτὸν καλεῖσθαι, καὶ μὴ καταισχύνειν τὴν ἐπωνυμίαν) θεώμενος τραγῳδὸν, ἐμπαθέστερον ὑφ' ἡδονῆς διετέθη πρὸς τὸν οἶκτον· ἀναπηδήσας οὖν ἐκ τοῦ θεάτρου, θᾶττον ἢ βάδην ἀπήει, Δεινὸν (εἶναι), λέγων, εἰ τοσούτους ἀποσφάττων πολίτας, ὀφθήσεται τοῖς Ἑκάβης καὶ Πολυξένης πάθεσιν ἐπιδακρύων· οὗτος μὲν οὖν μικροῦ καὶ δίκην ἐπράξατο τὸν B τραγῳδὸν, ὅτι τὴν ψυχὴν αὐτοῦ καθάπερ σίδηρον ἐμάλαξεν. Ἀρχελάῳ δὲ δοκοῦντι γλισχροτέρῳ περὶ τὰς δωρεὰς (εἶναι), Τιμόθεος ᾄδων, ἐσήμαινε πολλάκις τουτὶ τὸ σκωμμάτιον,

Σὺ δὴ, τὸν γηγενέταν ἄργυρον αἰνεῖς.

ὁ δὲ Ἀρχέλαος οὐκ ἀμούσως ἀντεπεφώνησε,

Σὺ δέ γε αἰτεῖς.

Ὁ δὲ τῶν Σκυθῶν βασιλεὺς Ἀτέας, Ἰσμηνίαν τὸν αὐ-

B. 3. ἐσήμαινε] Forte rectius ἐνεσήμαινε, ut C. Coll. Mur. Schott. Jannot. Mez.
B. 4. σκωμμάτιον] Immo κομμάτιον, ut recte monuit Mez.
B. 8. Ἀτέας] Sic Baſ. Xyl. Vulgo Ἀντέας.

quod me delectaviſti viciſſim delectatus. Alexander Pheræorum tyrannus (tyrannum duntaxat appellari par erat, neque Alexandri nomen ab eo pollui) is ergo tyrannus cum ſpectaret tragœdiam, præ voluptate animi vehementiore motu eſt ad miſericordiam prolapſus: exſiliens itaque e theatro concitatiore greſſu diſceſſit, *Rem indignam fore*, inquiens, *ſi qui tot interficeret cives, conſpiceretur Hecubæ et Polyxenæ calamitatibus illacrimans*: parumque adeo abfuit, quin pœnas a tragœdo exigeret, quod is ferreum ipſius animum emolliviſſet. Archelaum, quod in donando reſtrictior videbatur, Timotheus canens ſæpe hoc pupugit cavillo:

Tu terrigenæ argento faves.

et Archelaus non inconcinne hoc ei repoſuit:

Tu terra genitum argentum oves.

Scytharum rex Ateas capti-

λητὴν λαβὼν αἰχμάλωτον, ἐκέλευσε παρὰ πότον αὐλῆσαι· θαυμαζόντων δὲ τῇ αὐλήσει τῶν ἄλλων καὶ κροτούντων, αὐτὸς ὤμοσεν ἀκροᾶσθαι τοῦ ἵππου χρεμετίζοντος ἥδιον· οὕτω μακρὰν ἀπεσκηνώκει τὰ ὦτα τῶν μουσῶν, καὶ τὴν ψυχὴν ἐν ταῖς φάτναις εἶχεν, οὐχ C ἵππων ἀλλ' ὄνων ἐπιτηδειοτέραν ἀκούειν. Τίς ἂν οὖν παρὰ τοιούτοις βασιλεῦσιν αὔξησις ἢ τιμὴ τέχνης γένοιτο καὶ μούσης τοιαύτης; Ἀλλ' οὐδὲ παρὰ τοῖς ἀντιτέχνοις ἐθέλουσιν εἶναι, καὶ διὰ τοῦτο βασκανίᾳ καὶ δυσμενείᾳ τοὺς ἀληθῶς τεχνίτας καθαιροῦσιν. Οἷος ἦν πάλιν αὖ Διονύσιος ὁ τὸν ποιητὴν Φιλόξενον εἰς τὰς λατομίας ἐμβαλὼν, ὅτι τραγῳδίαν αὐτοῦ διορθῶσαι κελευσθεὶς εὐθὺς ἀπὸ τῆς ἀρχῆς ὅλην μέχρι τῆς κορωνίδος αὐτὴν περιέγραψεν. Ἦν δὲ καὶ Φίλιππος ἐν τούτοις ὑπὸ ὀψιμαθίας ἑαυτοῦ καινοπρεπέστερος· ὅθεν καί φασι πρός τινα ψάλτην περὶ κρουμάτων αὐτοῦ διαφερόμενον καὶ δοκοῦντα ἐξελέγχειν, ἀτρέμα μειδιάσαντα τὸν ἄνθρωπον εἰπεῖν, Μὴ D

vum adeptus Iſmeniam tibicinem, juſſit inter pocula canere: cumque cantum ejus reliqui plauſu et admiratione proſequerentur, juravit ſe ſuavius audire hinnitum equi: adeo procul is aures ſuas a Muſis abduxerat, animumque in præſepibus habebat, non equos, ſed aſinos qui audiret dignum. Quid putas apud tales reges incrementi aut honoris artibus et Muſicæ futurum? Quinetiam non ferunt, ſi quis aliqua arte ſuperet: ideoque veros artifices per invidentiam infenſo animo dejiciunt. Qualis rurſum fuit Dionyſius, qui Philoxenum poëtam in lapidicinas injecit, quod ſcriptam a tyranno tragœdiam corrigere juſſus, ab initio totam uſque ad coronidem deleverat. Sed et Philippus, quia ſerius ad diſcendum ſe contulerat, fuit in hoc genere ſeipſo inferior, et adoleſcentuli in morem arrogans: itaque pſalten quendam, cum rex de ſonis quibuſdam diſputaret, ac coargui a ſe muſicum putaret, hunc leni voce ſubridentemque aiunt dixiſſe, *Abſit vero, rex, iſthuc abs te miſeria*.

γένοιτό σοι βασιλεῦ, ἀθλίως οὕτως, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς.

β΄. Ἀλλ' Ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ ἀκροατὴν, καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργὸν, ἤσκει μὲν ἀεὶ περὶ τῶν ὅπλων δεινὸς εἶναι, καὶ κατὰ τὸν Αἰσχύλον,

Βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιπάλοις·

ταύτην ἔχων τέχνην προγονικὴν ἀπ' Αἰακιδῶν, ἀφ' Ἡρακλέους· ταῖς δὲ ἄλλαις τέχναις τὸ τιμᾷν ἄνευ τοῦ ζηλοῦν ἀπεδίδου, καὶ τὸ ἔνδοξον αὐτῶν καὶ χάριεν, τῷ τέρπειν δὲ οὐκ ἦν εὐάλωτος εἰς τὸ μιμεῖσθαι. Γεγόνασι δὲ κατ' αὐτὸν τραγῳδοὶ μὲν οἱ περὶ Θετταλὸν καὶ Ἀθηνόδωρον· ὧν ἀνταγωνιζομένων ἀλλήλοις, ἐχορήγουν μὲν οἱ Κύπριοι βασιλεῖς, ἔκρινον δὲ οἱ δοκιμώτατοι τῶν στρατηγῶν· ἐπεὶ δὲ ἐνίκησεν Ἀθηνόδωρος, Ἐβουλόμην ἂν, ἔφη, μᾶλλον ἀπολωλέναι μέρος τῆς βασιλείας, ἢ Θετταλὸν ἐπιδεῖν ἡττημένον· ἀλλ' οὔτε ἐνέτυχε τοῖς κριταῖς,

D. 10. τῷ τέρπειν] τῷ ſumpſimus ex Baſ. Xyl. E. F. Voſſ. Gron. Mez. Reiſkius etiam τέρποντι corrigit, quod non neceſſe. Vulgo τὸ τέρπειν.

ut hæc tu quam ego melius intelligas.

II. Sed Alexander gnarus cum quæ ſpectanda ipſi et audienda eſſent, tum in quibus ſibi eſſet elaborandum atque certandum, in armis ſeſe aſſiduo exercebat, ut fieret ſecundum Æſchylum

Terror caſuris hoſtibus omnipotens.

hanc enim artem a majoribus ſuis Æacidis et Hercule ad ſe tranſmiſſam colebat, reliquis autem artibus honorem abſque æmulatione tribuebat, gloriamque et elegantiam: ſed delectatione ad imitandum ſe duci non ſinebat. Fuerunt ætate Alexandri Theſſalus et Athenodorus tragœdi, quibus inter ſe certantibus ſumptus ſcenicos fecerunt Cypriorum reges, judicium tulerunt ducum laudatiſſimi: cum autem victor eſſet renunciatus Athenodorus, dixit Alexander, *Maluiſſem partem regni amittere, quam videre Theſſalum vinci:* neque tamen vel interceſſit apud judices, vel judicium repre-

οὔτε τὴν κρίσιν ἐμέμψατο· πάντων οἰόμενος δεῖν περιεῖναι, τοῦ δικαίου δὲ ἡττᾶσθαι. Κωμῳδοὶ δὲ ἦσαν οἱ περὶ Λύκωνα τὸν Σκαρφέα· τούτῳ δὲ εἴς τινα κωμῳδίαν ἐμβαλόντι στίχον αἰτητικὸν, γελάσας ἔδωκε δέκα τάλαντα. Κιθαρῳδοὶ δὲ ἄλλοι, καὶ Ἀριστόνικος, ὃς ἐν μάχῃ τινὶ προσβοηθήσας, ἔπεσε λαμπρῶς ἀγωνισάμενος· ἐκέλευσεν οὖν αὐτοῦ γενέσθαι καὶ σταθῆναι χαλκοῦν ἀνδριάντα Πυθοῖ, κιθάραν ἔχοντα καὶ δόρυ προβεβλημένον, οὐ τὸν ἄνδρα τιμῶν μόνον, ἀλλὰ καὶ μουσικὴν κοσμῶν, ὡς ἀνδροποιὸν, καὶ μάλιστα δὴ πληροῦσαν ἐνθουσιασμοῦ καὶ ὁρμῆς τοὺς γνησίως ἐντρεφομένους. Καὶ γὰρ αὐτὸς, 335
Ἀντιγενίδου ποτὲ τὸν ἁρμάτειον αὐλοῦντος νόμον, οὕτως παρέστη καὶ διεφλέχθη τὸν θυμὸν ὑπὸ τῶν μελῶν, ὥστε τοῖς ὅπλοις ἀΐξας, ἐπιβαλεῖν τὰς χεῖρας ἐγγὺς παρακειμένοις, καὶ μαρτυρῆσαι τοῖς Σπαρτιάταις ᾄδουσιν,

Ἕρπει γὰρ ἄντα τῶ σιδάρω τὸ καλῶς κιθαρίσδειν.

Ἦν δὲ καὶ Ἀπελλῆς ὁ ζωγράφος, καὶ Λύσιππος ὁ

hendit: ſentiens debere ſe omnibus aliis ſuperiorem, juſtitiæ tamen ſubditum eſſe. Comicus tum fuit Lyco Scarphenſis: huic, cum in quandam comœdiam verſum inſeruiſſet quo donum petebat, ridens decem talenta dedit. Citharœdi cum alii, tum Ariſtonicus, qui in pugna quadam cum ad auxilium ferendum accurriſſet, ſtrenue prœliatus cecidit. Huic æream ſtatuam fieri et Pythiis collocari juſſit Alexander, cithara et haſta projecta conſpicuam: non virum modo honorans, ſed muſicam etiam, ut quæ fortes faciat, ac recte educatos apprime impleat divino quodam inſtinctu et impetu. Etenim ipſe aliquando Antigenida modum qui Harmatius dicitur canente tibia, ita fuit cantu illo concitatus atque inflammatus animum, ut dato impetu, arma, quæ prope jacebant, corriperet: teſtimoniumque ferret Spartanis cantantibus

Ferrum capeſſere inſtigat citharæ melos.

Vixere tunc etiam Apelles

ις κατ' Ἀλέξανδρον· ὧν ὁ μὲν ἔγραψε τὸν
κφόρον οὕτως ἐναργῶς καὶ κεκραμένως, ὥστε λέγειν
ι Ἀλεξάνδρων, ὁ μὲν Φιλίππου γέγονεν ἀνίκητος,
Ἀπελλοῦ ἀμίμητος. Λυσίππου δὲ τὸν πρῶτον
νδρον πλάσαντος, ἄνω βλέποντα τῷ προσώπῳ
τὸν οὐρανὸν (ὥσπερ αὐτὸς εἰώθει βλέπειν Ἀλέξ-
ἡσυχῆ παρεγκλίνων τὸν τράχηλον) ἐπέγραψέ
. ἀπιθάνως,

Αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

μόνον Ἀλέξανδρος ἐκέλευε Λύσιππον εἰκόνας
μιουργεῖν· μόνος γὰρ οὗτος, ὡς ἔοικε, κατεμήνυε
χῷ τὸ ἦθος αὐτοῦ, καὶ συνεξέφερε τῇ μορφῇ τὴν
οἱ δὲ ἄλλοι τὴν ἀποστροφὴν τοῦ τραχήλου, καὶ
μάτων τὴν διάχυσιν καὶ ὑγρότητα μιμεῖσθαι
, οὐ διεφύλαττον αὐτοῦ τὸ ἀρρενωπὸν καὶ λεοντῶδες.
ῆν τοῖς ἄλλοις τεχνίταις καὶ Στασικράτης ἦν

t Lyſippus fictor: ho-
lles fulminigerum A-
m pinxit ita perſpicue
erate, ut diceret du-
lexandros, unum Phi-
inſuperabilem, alte-
llis inimitabilem. Ly-
tem cum finxiſſet pri-
exandrum facie ſur-
erſa in cœlum intu-
icut ſolebat ſuſpicere
r leuiter inflexo col-
ſcripſit quidam non

ſpiciens divoſque hominéſque
ntem
ibi eſt viſus talia verba loqui;

Magne, tene, Jupiter, neque enim probibemus, Olympum,
Dum tellus toto pareat orbe mihi.

Itaque etiam ſolum Lyſippum Alexander fabricari ſuas juſſit imagines; quod nimirum is ſolus ære ingenium ipſius exprimeret, ſimulque cum forma etiam virtutem proponeret: reliqui inclinationem cervicis, oculorumque renidentem volubilitatem imitari volentes, maſculum ejus leoninumque vultum non ſervabant. Inter alios artifices fuit tunc etiam Staſicrates architectus, nullum

ἀρχιτέκτων, οὐδὲν ἀνθηρὸν οὐδὲ ἡδὺ καὶ πιθανὸν τῇ ὄψει διώκων, ἀλλὰ καὶ χειρὶ μεγαλουργῷ καὶ διαθέσει χορηγίας βασιλικῆς οὐκ ἀποδεούσῃ χρώμενος. Οὗτος ἀναβὰς πρὸς Ἀλέξανδρον, ἐμέμφετο τὰς γραφομένας εἰκόνας αὐτοῦ καὶ γλυφομένας καὶ πλαττομένας, ὡς ἔργα δειλῶν καὶ τεχνιτῶν ἀγεννῶν. Ἐγὼ δὲ, εἶπεν, εἰς ἄφθαρτον, ὦ βασιλεῦ, καὶ ζῶσαν ὕλην καὶ ῥίζας ἔχουσαν ἀϊδίους, καὶ βάρος ἀκίνητον καὶ ἀσάλευτον, ἔγνωκά σου τὴν ὁμοιότητα καταθέσθαι τοῦ σώματος· ὁ γὰρ Θρᾴκιος D Ἄθως, ᾗ μέγιστος αὐτοῦ καὶ περιφανέστατος ἐξανέστηκεν, ἔχων ἑαυτῷ σύμμετρα πλάτη καὶ ὕψη, καὶ μέλη καὶ ἄρθρα καὶ διαστήματα μορφοειδῆ, δύναται κατεργασθεὶς καὶ σχηματισθεὶς, εἰκὼν Ἀλεξάνδρου καλεῖσθαι καὶ εἶναι, ταῖς μὲν βάσεσιν ἁπτομένου τῆς θαλάσσης, τῶν δὲ χειρῶν τῇ μὲν ἐναγκαλιζομένου καὶ φέροντος πόλιν ἐνοικουμένην μυριάνδρον, τῇ δὲ δεξιᾷ ποταμὸν ἀέναον ἐκ

C. 8. ἔργα δειλῶν καὶ τεχνιτῶν ἀγεννῶν] Forte rectius eſt in Voſſ. et P. ἔργα δειλῶν τεχνιτῶν καὶ ἀγεννῶν.

opus moliens quod varium jucundumque adſpectu eſſet, ſed et manu magnifica, et diſpoſitione operum utens quæ ſumptus a rege ſuppeditari opus haberet. Is cum adſcendiſſet ad Alexandrum, pictas ejus, et ſculptas atque fictas imagines culpavit, ut timidorum et humilium opera artificum. *Ego*, aiebat, *ſtatui corporis, o rex, tui ſimilitudinem in vivam et interitus expertem æterniſque firmatam radicibus materiam, et immota præditam gravitate introducere. Thraciæ enim mons Athos, ubi maximus et plane conſpicuus aſſurgit, latitudines et altitudines habens proportione toti congruentes, tum membra et artus atque interſtitia quæ conformari queant; poteſt artificio ita tractari, ut imago Alexandri et ſit et dicatur: fundamentis ſuis mare attingens, manuum autem altera geſtans urbem decem millia civium capacem, dextra per-*

φιάλης σπένδοντος εἰς τὴν θάλασσαν ἐκχεόμενον· χρυσὸν δὲ καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ ξύλα καὶ βαφὰς
E καὶ ἐκμαγεῖα μικρὰ καὶ ὠνητὰ καὶ κλεπτόμενα καὶ συγχεόμενα καταβάλωμεν. Ταῦτα ἀκούσας Ἀλέξανδρος, τὸ μὲν φρόνημα τοῦ τεχνίτου καὶ τὸ θάρσος ἀγασθεὶς, ἐπῄνεσεν, Ἔα δὲ μένειν, εἶπε, τὸν Ἄθω κατὰ χώραν· ἀρκεῖ γὰρ ἑνὸς βασιλέως ἐνυβρίσαντος εἶναι μνημεῖον· ἐμὲ δὲ ὁ Καύκασος δείξει, καὶ τὰ Ἠμωδὰ, καὶ Τάναϊς, καὶ τὸ Κάσπιον πέλαγος· αὗται τῶν ἐμῶν ἔργων εἰκόνες.

γʹ. Ἀλλὰ φέρε πρὸς θεῶν ἐκτελεσθῆναι καὶ φανῆναι τοιοῦτον ἔργον· ἔσθ' ὅστις ἂν ἰδὼν, ὑπέλαβε κατὰ τύχην γεγονέναι καὶ αὐτομάτως τὸ σχῆμα καὶ τὴν διάθεσιν
F καὶ τὸ εἶδος; οὐδεὶς ἂν, οἶμαι. Τί δὲ τὸν Κεραυνοφόρον, τί δὲ τὸν Ἐπὶ τῆς αἰχμῆς προσαγορευόμενον; Εἶτα ἀνδριάντος μὲν μέγεθος οὐκ ἂν ἄνευ τέχνης ὑπὸ

D. 9. σπένδοντος] Sic E. F. Gronov. Voſſ. P. Vulgo σπένδοντα.
E. 2. καταβάλωμεν] Sic E. F. G. Gronov. Voſſ. Vulgata καταβάλλομεν tamen pro varietate eſt in E. Voſſ. Gronov.

amnem fluvium e patera in mare libans. Proinde aurum, æs, ebur, ligna, tincturas, ſimulacbra exigua, venalia, et furtis expoſita abjiciamus. Hoc ut audivit Alexander, audaciam ſane artificis et fiduciam admiratus laudavit, *Tu tamen*, dixit, *Atho montem intactum relinque: ſatis eſt eum eſſe monimentum petulantiæ quam unus in eum rex exercuerit: me Caucaſus monſtrabit, et Emodi montes, et Tanais, et Caſpium mare: hæ ſunt meorum factorum imagines.*

III. Enimvero ponamus obſecro, fuiſſe confectum iſtud opus: eratne futurus aliquis qui illud videns, fortuito hanc formam, figuram, diſpoſitionemque obtigiſſe putaret? non equidem arbitror. Idem de fulminigero, de haſtato ejus ſimulacro ſentiendum. Jam ſtatuæ magnitudo abſque arte

τῆς Τύχης γένοιτο χρυσὸν καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ πολλὴν καὶ πλουσίαν ὕλην καταχεαμένης καὶ παραβαλούσης· ἄνδρα δὲ μέγαν, μᾶλλον δὲ τῶν γεγονότων ἁπάντων μέγιστον, ἐνδέχεται χωρὶς Ἀρετῆς ἀποτελεσθῆναι διὰ Τύχην, ὅπλα καὶ χρήματα καὶ πόλεις καὶ 33
ἵππους παρασκευάσασαν; ἃ τῷ μὴ μαθόντι χρῆσθαι, κίνδυνός ἐστιν, οὐ δύναμις, οὐδὲ κόσμος, ἀλλ' ἔλεγχος τῆς ἀσθενείας καὶ μικρότητος. Ὀρθῶς γὰρ Ἀντισθένης ἔλεγεν, Ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τὰ ἀγαθὰ, πλὴν ἀνδρείας· γίνεσθαι γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων. Διὰ τοῦτό φασι καὶ τὴν φύσιν ἀγεννεστάτῳ ζώῳ τῷ ἐλάφῳ κέρατα θαυμαστὰ τῷ μεγέθει καὶ τραχύτητι πρὸς ἄμυναν ἐμφῦσαι, διδάσκουσαν ἡμᾶς ὡς οὐδὲν ὠφελεῖ τὸ ἰσχύειν καὶ ὡπλίσθαι τοὺς μένειν καὶ θαῤῥεῖν μὴ δυναμένους· οὕτω καὶ ἡ Τύχη πολλάκις ἀτόλμοις καὶ ἀνοήτοις περισσάτουσα δυνάμεις καὶ ἀρχὰς, αἷς B
ἐνασχημονοῦσι, κοσμεῖ καὶ συνίστησι τὴν Ἀρετὴν, ὡς μόνην

a Fortuna effici non poteſt: utcunque multum auri, æris, eboris, aliuſque pretioſæ materiæ ſuggerente: vir autem magnus, immo omnium qui unquam exſtiterunt maximus abſolvi potuit abſque Virtute, opera Fortunæ, arma, opes, urbes, equos ei largientis? quæ ipſa uti his neſcienti, non potentia ſunt, non ornatus, ſed periculum, imbecillitatiſque et impotentiæ ſuæ argumentum. Recte enim Antiſthenes dixit, *Hoſtibus omnia bona nos optare debere, excepta fortitudine: ea enim ſic fiunt non poſſidentium, ſed vincentium.* Atque hanc ob cauſam creditur, naturam cervo ignaviſſimo animali cornua mirandæ magnitudinis atque aſperitatis ad ſui defenſionem dediſſe, docentem, nihil vires et arma prodeſſe iis, qui ſubſiſtere non audent. Sic etiam Fortuna ſæpenumero timidis et ſtultis potentiam et imperia tribuens, in quibus turpiter ſe gerant, ornat atque commendat Virtutem, ut quæ ſola virum magnum præclarumque

μέγεθος ἀνδρὸς καὶ κάλλος οὖσαν. Εἰ μὲν γὰρ, ὥς φησιν Ἐπίχαρμος, Νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει, τἄλλα δὲ τυφλὰ καὶ κωφὰ τυγχάνει λόγου δεόμενα· αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν· ὅτι δὲ νοῦς ὠφελεῖ καὶ νοῦς κοσμεῖ, καὶ νοῦς τὸ νικῶν καὶ κρατοῦν καὶ βασιλεῦον, τὰ δ' ἄλλα τυφλὰ καὶ κωφὰ καὶ ἄψυχα παρέλκει, καὶ βαρύνει καὶ καταισχύνει χωρὶς Ἀρετῆς τοὺς ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν ἐστι. Τῆς γὰρ αὐτῆς δυνάμεως
C ὑποκειμένης καὶ ἡγεμονίας, Σεμίραμις μὲν οὖσα γυνὴ, στόλους ἐπλήρου, καὶ φάλαγγας ὥπλιζε, καὶ Βαβυλῶνας ἔκτιζε, καὶ περιέπλει τὴν Ἐρυθρὰν θάλασσαν, Αἰθίοπας καταστρεφομένη καὶ Ἄραβας· Σαρδανάπαλος δὲ, ἀνὴρ πεφυκὼς, ἔξαινεν οἴκοι πορφύραν, ἀναβάδην ἐν ταῖς παλλακαῖς καθήμενος· ἀποθανόντος δὲ αὐτοῦ, λιθίνην εἰκόνα κατασκευάσαντες ἐπορχουμένην ἑαυτῇ βαρβαριστὶ, καὶ τοῖς δακτύλοις ὑπὲρ κεφαλῆς οἷον ὑποψοφοῦσαν, ἐπέγραψαν, Ἔσθιε, πῖνε, ἀφροδισίαζε· τἄλλα δὲ οὐδέν.

B. 3. Εἰ μὲν γὰρ, ὥς φησιν Ἐπίχαρμος] Forte Εὖ μὲν γὰρ πως φησὶν Ἐπίχαρμος.

reddat. Probe dictum eſt ab Epicharmo, *Mentem videre, mentem audire, reliqua et cæca et ſurda, rationis indigere.* Nam ſenſus ſuas habent proprias opportunitates: Mentem autem prodeſſe, mentem ornare, hanc eſſe quæ vincat, ſuperet, regnet, reliqua omnia cæca, ſurda, exanima poſſeſſores dejicere, gravare, et dedecorare ubi virtus abeſt, licet ex ipſis rebus diſcere. Nam eadem potentia, eodem regno propoſito, Semiramis cum eſſet mulier, claſſes inſtruebat, legiones armabat, Babylonas condebat, rubrum mare circumvecta Æthiopes et Arabes ſubigebat: Sardanapalus virili natus ſexu, domi purpuram carpebat, inter pellices deſidens ſurſum erectis pedibus: cui mortuo lapideum poſuerunt ſimulachrum, barbarico more ſibi ſaltantis, digitiſque ſupra caput comploſis crepitum edentis: inſcripſeruntque *Ede, bibe, Veneri da operam, reliqua nihil ſunt.* Equidem

Ὁ μὲν οὖν Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς
ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς, ἀνέκραγεν, Ὅτι τοῦτο τῆς D
τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε· τὸν δὲ Σαρ-
δαναπάλου βίον ἄν τις ἢ τάφον, (οὐδὲν γὰρ οἶμαι δια-
φέρειν) θεασάμενος, εἴποι τοῦτο τῶν τῆς Τύχης ἀγαθῶν
τρόπαιον εἶναι. Τί οὖν; ἐάσωμεν τὴν Τύχην Ἀλεξ-
άνδρου μετὰ Σαρδανάπαλον ἅψασθαι, καὶ τοῦ μεγέθους
ἐκείνου καὶ τῆς δυνάμεως ἀντιποιεῖσθαι; τί γὰρ αὐτῷ
πλέον ἔδωκεν ὧν οἱ λοιποὶ βασιλεῖς ἔλαβον παρ᾽ αὐτῆς;
ὅπλων, ἵππων, βελῶν, χρημάτων, δορυφόρων; ποιη-
σάτω τούτοις ἡ Τύχη μέγαν Ἀριδαῖον, εἰ δύναται· ποι-
ησάτω τούτοις μέγαν Ἄμασιν, ἢ Ὦχον, ἢ Ὀάρσην, ἢ E
Τιγράνην τὸν Ἀρμένιον, ἢ τὸν Βιθυνὸν Νικομήδην· ὧν
ὁ μὲν τὸ διάδημα τοῖς Πομπηΐου ποσὶν ὑπορρίψας,
αἰσχρῶς τὴν βασιλείαν ἀπέβαλε, λάφυρον γενομένην· ὁ
δὲ Νικομήδης τὴν κεφαλὴν ξυράμενος, καὶ πίλιον ἐπιθέ-
μενος, ἀπελεύθερον ἑαυτὸν Ῥωμαίων ἀνηγόρευσεν.

E. 1. Ἄμασιν] Forte contemnendum: temere enim hic in contemnendis ponatur regibus.
E. 4. ἀπέβαλε] Forte verius Gronov. ἀπέλαβε.

Crates, cum videret auream imaginem Phrynes meretricis apud Delphos ſtantem, exclamavit: *Eſſe eam tropæum de Græcorum intemperantia erectum:* at Sardanapali ſive vitam, ſive ſepulchrum (nihil enim puto intereſſe) inſpiciens, diceres *Tropæum eſſe de Fortunæ bonis poſitum.* Ergone patiemur eam poſt Sardanapalum etiam Alexandrum attingere, ejuſque magnitudinem et potentiam ſibi vindicare? Quid vero huic amplius dedit, quam aliis etiam regibus, arma, equos, jacula, pecuniam, ſatellites? His Fortuna magnum, ſi poteſt, faciat Aridæum, Amaſin, Ochum, Oarſen, Tigranem Armenium, aut Nicomedem Bithynum: quorum ille, diademate pedibus Pompeii ſubjecto, turpiter regnum amiſit, prædæ id cedens: hic, raſo capite et ſumpto pileo, libertum ſe populi Romani eſt profeſſus.

δ'. Εἴπωμεν οὖν ὅτι μικροὺς ἡ Τύχη καὶ περιδεεῖς ποιεῖ, καὶ ταπεινόφρονας· Ἀλλ' οὐ δίκαιον οὔτε κακίαν εἰς ἀτυχίαν, οὔτε ἀνδρίαν καὶ φρόνησιν εἰς εὐτυχίαν τινὰ τίθεσθαι· μέγα δὲ τῷ ἄρχειν Ἀλέξανδρον ἡ Τύχη· καὶ γὰρ ἔνδοξος ἐν ἐκείνῳ καὶ ἀήττητος, καὶ μεγαλόφρων,
F καὶ ἀνύβριστος, καὶ φιλάνθρωπος. Εἶτα ἐκλείποντος εὐθὺς, ὁ Λεωσθένης ἔλεγε τὴν δύναμιν ἐμπλανωμένην ἑαυτῇ καὶ περιπίπτουσαν, ἐοικέναι τῷ Κύκλωπι μετὰ τὴν τύφλωσιν ἐκτείνοντι πανταχοῦ τὰς χεῖρας, ἐπ' οὐδένα σκοπὸν φερομένας· οὕτως ἐρέμβετο κενεμβατοῦν καὶ σφαλλόμενον ὑπ' ἀναρχίας τὸ μέγεθος αὐτῆς. Μᾶλλον δὲ, ὥσπερ τὰ νεκρὰ σώματα, τῆς ψυχῆς ἐκλιπούσης, οὐκ ἔτι συνέστηκεν, οὐδὲ συμπέφυκεν, ἀλλ' ἐξίσταται καὶ διαλύεται ἀπ' ἀλλήλων, καὶ ἄπεισι καὶ φεύγει· οὕτως ἀφεῖσα τὸν Ἀλέξανδρον ἡ δύναμις ἤσπαιρεν, ἐπάλλετο,
37 ἐφλέγμαινε, Περδίκκαις καὶ Μελεάγροις, καὶ Σελεύκοις, καὶ Ἀντιγόνοις, ὥσπερ πνεύμασι θερμοῖς ἔτι, καὶ

E. 7. Εἴπωμεν] Sic E. F. Gron. P.
E. 10. τῷ ἄρχειν] τῷ ſumpſimus a Voſſ. Gronoviani marg. Mez. Forte pro μέγα legendum μεγάλη ut a correctione habent Voſſ. et Gronov.

IV. Dicamus potius, Fortunam parvos, timidos, abjectos facere: injuſtum vero eſſe, qui vel vitium infortunio, vel fortitudinem et prudentiam proſperæ fortunæ accepta ferat. Multum vero Fortuna debet imperio Alexandri: in eo enim conſpecta eſt illuſtris, invicta, magnanima, modeſta, humana. Statim autem mortuo Alexandro exercitum ejus vagantem, et in ſeipſum impingentem Leoſthenes ſimilem dixit Cyclopi eſſe, qui amiſſo oculo uſquequaque manus intendebat nullum ad certum ſcopum directas: ita ſublato duce magnitudo exercitus incertis motibus agitabatur. Atque adeo ſicut, anima deſerente, cadavera non conſiſtunt, non cohærent, ſed diſſipantur et diſſolvuntur: ita exercitus Alexandro amoto palpitabat, concutiebatur, atque æſtuabat, Perdiccis, Meleagris, Seleucis, et Antigonis tanquam ſpiriti-

μὴ ἀγρυπνοῦντα, ταῖς νίκαις μὴ εὐδιάλλακτον, τοῖς κατορθώμασι μὴ φιλάνθρωπον. Τίς μέγας ἐν ἐξουσίαις μετ' ἀβελτηρίας καὶ μοχθηρίας; Ἄφελε τὴν ἀρετὴν τοῦ
C εὐτυχοῦντος, καὶ πανταχοῦ μικρός ἐστιν· ἐν χάρισι διὰ μικρολογίαν, ἐν πόνοις διὰ μαλακίαν, περὶ θεοὺς διὰ δεισιδαιμονίαν, πρὸς ἀγαθοὺς διὰ φθόνον, ἐν ἀνδράσι διὰ φόβον, ἐν γυναιξὶ διὰ φιληδονίαν. Ὥσπερ γὰρ οἱ φαῦλοι τεχνῖται, καὶ βάσεις μεγάλας μικροῖς ὑφιστάντες ἀναθήμασιν, ἐλέγχουσιν αὐτῶν καὶ τὰς μικρότητας· οὕτως ἡ Τύχη ὅταν μικρὸν ἦθος ἐξάρῃ πράγμασιν ἔχουσιν ὄγκον τινὰ καὶ περιφάνειαν, ἐπιδείκνυσι μᾶλλον καὶ καταισχύνει σφαλλόμενον καὶ σαλευόμενον ὑπὸ κουφότητος.

D ε'. Ὅθεν οὐκ ἐν τῇ κτήσει τῶν ἀγαθῶν, ἀλλ' ἐν τῇ χρήσει τὸ μέγα ἐστίν. Ἐπεὶ καὶ νήπια βρέφη κληρονομεῖ βασιλείας πατρῴας καὶ ἀρχάς· ὡς Χάριλλος, ὃν Λυκοῦργος ἅμα τῷ σπαργάνῳ κομίσας εἰς τὸ φιδίτιον,

C. 5. καὶ βάσεις] καὶ forte delendum ut natum ex proxime antecedenti ται.

tempore excubias agat, victor non placabilis et humanus ſit. Quis magnus eſt in potentia conſtitutus, pravitate et ſtultitia eum tenentibus? Aufer virtutem a fortunato, prorſum humilem cernes: in gratia paranda ob illiberalitatem, in laboribus ob mollitiem, erga deos ob ſuperſtitionem, erga bonos ob invidiam, inter viros ob timiditatem, inter mulieres ob libidinem. Sicut enim inepti opifices dum magnas baſes parvis donariis ſupponunt, eorum parvitatem hoc ipſo arguunt: ſic Fortuna cum ingenium vile magnis ac ſplendidis rebus extollit, id eo magis demonſtrat atque infamiæ exponit, cum præ levitate labaſcit atque impingit.

V. Non ergo in poſſeſſione, ſed in uſu bonorum id invenies, quod laudem meretur; quando etiam infantes regna et imperia paterna hæreditatis jure conſequuntur: ut Charilaus, quem Lycurgus cum ipſis incunabulis in phiditium

ἀνθ' ἑαυτοῦ βασιλέα τῆς Σπάρτης ἀνηγόρευσε, καὶ οὐκ ἦν μέγας ὁ νήπιος, ἀλλ' ὁ τῷ νηπίῳ τὸ πατρῷον ἀποδοὺς γέρας, καὶ μὴ σφετερισάμενος μηδὲ ἀποστερήσας. Ἀριδαῖον δέ τις ἂν ἐποίησε μέγαν, ὃν οὐδὲν νηπίου διαφέροντα, μόνον δὲ σπαργανώσας τῇ πορφύρᾳ Μελέαγρος, ἐπὶ τὸν Ἀλεξάνδρου θρόνον ἔθηκεν· εὖ γε ποιῶν, ἵνα ὀφθῇ παρ' ἡμέρας ὀλίγας, πῶς Ἀρετῇ βασιλεύουσιν E ἄνθρωποι, καὶ πῶς Τύχῃ. Ἀγωνιστῇ γὰρ ἡγεμονίας ὑποκριτὴν ἐπεισήγαγε, μᾶλλον δὲ ὡς ἐπὶ σκηνῆς τὸ διάδημα κωφὸν διεξῆλθε τῆς οἰκουμένης.

Καί κε γυνὴ φέροι ἄχθος ἐπεί κεν ἀνὴρ ἀναθείη.

Τοὐναντίον μὲν οὖν εἴποι τις ἄν, ὅτι λαβεῖν καὶ ἀναθέσθαι δύναμιν, καὶ πλοῦτον καὶ ἀρχὴν, καὶ γυναικός ἐστι καὶ παιδός. Ὀάρσῃ καὶ Δαρείῳ Βαγώας ὁ εὐνοῦχος ἀράμενος ἐπέθηκε τὴν Περσῶν βασιλείαν· τὸ δὲ, λαβόντα μεγάλην ἐξουσίαν ἐνεγκεῖν, καὶ μεταχειρίσασθαι,

D. 8. οὐδὲν νηπίου] Sic F. F. Gronov. Voſſ. P. Baſ. Xyl. Vulgo οὐδὲ νηπίου, quod ex Ald. retinuit Steph.

attulit, ac ſuo loco regem Spartanorum renunciavit: et ſane nihil laudis infans merebatur, Lycurgus plurimum, qui infanti paternam dignitatem redderet, non ad ſe eam traheret. Quis vero magnum fecit Aridæum? quem nihil infanti præſtantem, tantum purpura veluti cunabulis involvens Meleager in Alexandri ſolio collocavit: recte is, ut conſpicuum fieret intra paucos dies, quomodo virtute homines, quomodo fortuna regerentur. Nam poſt imperii verum adminiſtratorem, hiſtrionem introduxit: aut potius tanquam in ſcena diadema orbis terrarum imperii tacitum traduxit.

Imponente viro molem mulier quoque perfert,

inquit ille. Contra vero hoc rectius eſt dicere: potentiam, divitias, imperium, vel mulier, vel puer poteſt alicui imponere. Oarſæ et Dario Bagoas diadema arreptum, cumque eo regnum Perſicum, impoſuit. Ut autem is, qui magnam eſt

ι συντεθλῖφθαι μηδὲ διασπαράττεσθαι τῷ βάρει καὶ
| τῶν πραγμάτων, ἀνδρός ἐστιν ἀρετὴν καὶ νοῦν
ῆμα ἔχοντος· ἣν Ἀλέξανδρος ἔσχεν, ᾧ μέθην
γκαλοῦσι καὶ οἴνωσιν. Ὁ δὲ ἦν μέγας, ἐν τοῖς
μασι νήφων, καὶ μὴ μεθυσθεὶς μηδὲ βακχευθεὶς
ἐξουσίας καὶ δυνάμεως, ἧς μικρὸν ἕτεροι μεταλα-
καὶ ἀπογευσάμενοι, κρατεῖν ἑαυτῶν οὐ δύνανται.

Κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
Ἢ πόλεως ἐμπεσόντες εἰς τιμάς τινας,
Σκιρτῶσιν, ἀδόκητα εὐτυχησάντων δόμων.

ος ἐν Ἀμοργῷ τρεῖς ἢ τέτταρας Ἑλληνικὰς ἀνα-
ς τριήρεις, Ποσειδῶν ἀνηγορεύθη, καὶ τρίαιναν ἐφόρει.
τριος δὲ, ᾧ τῆς Ἀλεξάνδρου δυνάμεως ἡ Τύχη
ν ἀποσπάσασα προσέθηκε, Καταιβάτης καλεῖσθαι
ἐπίνευσε, καὶ πρέσβεις πρὸς αὐτὸν οὐκ ἔπεμπον
θεωροὺς αἱ πόλεις, καὶ τὰς ἀποκρίσεις, χρησμοὺς

A. 5. ἐπίνευσε] Rectius forte ἐπένευσε, ut G.

s potentiam, tolerare
t adminiſtrare poſſit, ne-
iole rerum conteratur
ertatur, viri eſt virtu-
ite, altoque animo præ-
qualis fuit Alexander,
onnullis ebrietas et te-
ia objiciuntur. Ille ve-
nus fuit vir, ſobriuſque
ta rerum mole, neque
a potentia et imperio ſe
ri aut ad bacchandum
i: cujus guſtum alii ex-
cum percepiſſent, ſui
tes eſſe nequiverunt.
i mali, ſaturati vel pecunia,
In civitate vel potiti honoribus,
Luxuriant inſperatam ob fortunam domus.

Clitus, cum apud Amorgum tres vel quatuor Græcas triremes ſubvertiſſet, Neptuni cognomen accepit, et tridentem geſtavit. Demetrius, cui Alexandreæ potentiæ parvam Fortuna portiunculam contulerat, paſſus eſt ſe *Catæbatem* (tanquam deum qui in terras deſcendiſſet) appellari, et ab urbibus ad eum non legati ſed conſultores numinis mittebantur, reſponſaque ipſius,

δὲ τραγῳδίᾳ γράψας αὐτὸς,

'Η γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ·

ὅμως τῶν θυγατέρων τὴν μὲν, Ἀρετὴν, τὴν δὲ, Σωφροσύνην ὠνόμασεν, τὴν δὲ, Δικαιοσύνην. Οἱ δὲ Εὐεργέτας, οἱ δὲ Καλλινίκους, οἱ δὲ Σωτῆρας, οἱ δὲ Μεγάλους ἀνηγόρευσαν ἑαυτούς. Γάμους δὲ αὐτῶν ἐπαλλήλους, ὥσπερ ἵππων, ἐν ἀγέλαις γυναικῶν ἀνέδην διημερεύοντων, καὶ φθορὰς παίδων, καὶ τυμπανισμοὺς ἐν ἀνδρογύνοις, καὶ κυβείας μεθημερινὰς, καὶ αὐλήσεις ἐν θεάτροις, καὶ νύκτα μὲν ἐν δείπνοις, ἡμέραν δὲ ἐν ἀρίστοις ἐπιλείπουσαν, οὐδεὶς ἂν ἐφίκοιτο τῷ λόγῳ διελθεῖν.

ς'. Ἀλλ' Ἀλέξανδρος ἠρίστα μὲν ὄρθρου καθεζόμενος, ἐδείπνει δὲ πρὸς ἑσπέραν βαθεῖαν, ἔπινε δὲ θύσας τοῖς
D θεοῖς, ἐκύβευε δὲ πρὸς Μήδιον πυρέττων, ἔπαιζε δὲ ὁδοιπορῶν ἅμα καὶ μανθάνων τοξεύειν καὶ ἀποβαίνειν ἅρματος. Ἔγημε δὲ Ῥωξάνην ἑαυτῷ μόνον, ἐρασθείς· τὴν δὲ Δαρείου Στάτειραν, τῇ βασιλείᾳ καὶ τοῖς πράγ-

non ſuſtinens, ſuffocaſſet, atque in tragœdia ipſe ſcripſiſſet,

Tyrannis injuſtitiæ mater eſt enim :

tamen filiabus Virtutis, Pudicitiæ, Juſtitiæ nomina impoſuit. Alii Euergetas (id eſt benefactores) alii Callinicos (id eſt pulchras victorias conſecutos) alii Soteres (hoc eſt ſervatores) alii Magnos ſe denominaverunt. Alias autem ſupra alias eorum nuptias equorum inſtar in armentis mulierum promiſcue verſantium, filiorum cædes, exoletorum excarnificationes, ludos teſſerarum quotidianos, tibiæ cantus in theatris, noctes in cœnis, dies in prandiis conſumptos, enarrare nemo queat.

VI. At enim Alexander prima luce ſedens prandebat, tenebris noctis jam ingruentibus cœnabat, bibebat diis ſacrificans, cum Medio teſſeris certabat febricitans, ludebat iter faciens, interimque arcu jaculari diſcens, et de curru deſcendere. Roxanem ſibi ſoli duxit, amore ejus captus: Darii autem Statiram regno et

ὐτυχίαν μὲν εὔχομαι, καὶ κράτος πολέμου παρὰ
, ἵνα εὖ ποιῶν Ἀλέξανδρον ὑπερβάλλωμαι· καὶ
ις ἔχει φιλοτιμία καὶ ζῆλος ἡμερώτερον αὐτοῦ φανῆναι·
οἴχεται τὰ ἐμὰ, Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι
μηδεὶς εἰς τὸν Κύρου θρόνον ἄλλος ἢ Ἀλέξανδρος
ηζε. Τοῦτο εἰσποίησις ἦν Ἀλεξάνδρου παρὰ θεῶν
τύρων.

'. Οὕτω νικῶσιν Ἀρετῇ. Πρόσγραψαν, εἰ βούλει,
ύχῃ τὰ Ἄρβηλα, καὶ τὴν Κιλικίαν, καὶ τἄλλα
γονε βίας ἔργα καὶ πολέμου. Τύχη τὴν Τύρον
ι αὐτῷ· καὶ Τύχη τὴν Αἴγυπτον ἀνέῳξε· παρὰ Τύχην
ρνασσὸς ἔπεσε, καὶ Μίλητος ἑάλω, καὶ Μαζαῖος
ᾶτην ἔρημον ἀπέλιπε, καὶ νεκρῶν τὸ Βαβυλώνιον
αθη πεδίον. Ἀλλ' οὔτι γε σώφρων ἀπὸ Τύχης, οὔτε
ετὴς παρὰ Τύχην, οὔτε ἀνάλωτον ὑφ' ἡδονῆς ἡ Τύχη
πρωτον ἐπιθυμίαις κατακλείσασα τὴν ψυχὴν

A. 3. πολέμου. Τύχη] Ita diſtinxi ex E. Voſſ. Gronov.

os bonum ſucceſſum, vic-que belli hujus flagito, eficiis Alexandrum poſ-erare: ac me ſtudium m æmulatioque tenet be-ite eum vincendi. Sin eſt de rebus meis, patrie um Jupiter, diique re-mo precor alius quam der in Cyri ſolio ſedeat. s teſtibus vocatis, ille drum adoptavit.

. Sic vincitur virtute. et, Fortunæ accepta fer Arbela, et Ciliciam, et alia vi geſta ac peracta: Fortunæ beneficio bellicæ quaſſata fuerit Tyrus, et aperta Ægyptus: hujus opera ceciderit Halicarnaſſus, et capta ſit Miletus, et Euphratem vacuum reliquerit Mazæus, ac Babylonius campus cadaveribus fuerit oppletus. Non quidem temperantem eum Fortuna reddidit, neque continentem, neque invictum a voluptate, et nulla cupiditate violabilem a-

ἐφρούρει. Καὶ μὴν ταῦτα ἦν οἷς αὐτὸν ἐτρέψατο Δα-
ρεῖον· τἆλλα δὲ, ὅπλων ἦσαν ἧτται καὶ ἵππων, καὶ μάχαι
καὶ φόνοι, καὶ φυγαὶ ἀνδρῶν· τὴν δὲ μεγάλην καὶ ἀνα- B
ντίρρητον ἧτταν ἡττήθη Δαρεῖος καὶ ἐνέκλινεν ἀρετῇ καὶ
μεγαλοφροσύνῃ καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ, θαυμάσας τὸ
ἐν ἡδονῇ καὶ πόνοις καὶ χάρισιν ἀνίκητον. Ἐπεὶ ἔν γε
πέλταις καὶ σαρίσσαις, καὶ ἀλαλαγμοῖς καὶ συῤῥάξεσιν
ὅπλων, ἀνίκητος ἦν καὶ Ταῤῥίας ὁ Δεινομένους, καὶ Ἀν-
τιγένης ὁ Πελληναῖος, καὶ Φιλώτας ὁ Παρμενίωνος, ἀλλὰ
πρὸς ἡδονὰς καὶ γυναῖκα καὶ χρυσίον καὶ ἀργύριον, οὐδέν
τι βελτίους τῶν αἰχμαλώτων· ἀλλὰ Ταῤῥίας μὲν, ὅτι
τῶν χρεῶν ἠλευθέρου Μακεδόνας Ἀλέξανδρος, καὶ δι- C
ελύετο τοῖς δανείσασιν ὑπὲρ πάντων, ψευσάμενος ὀφεί-
λειν καὶ δανειστήν τινα φάσκοντα εἶναι τῇ τραπέζῃ προσα-
γαγὼν, εἶτα φωραθεὶς, ὀλίγου διέφθειρεν αὐτὸς ἑαυτὸν· εἰ
μὴ γνοὺς Ἀλέξανδρος ἀφῆκε τῆς αἰτίας αὐτὸν, καὶ συνε-

A. 10. αὐτὸν ἐτρέψατο] Malim αὐτὸς ἐτρίψατο. Omittunt Gronov. Voſſ. αὐτόν.

nimum conſervavit. Atqui ea ſunt quibus Darium vicit Alexander: reliqua, armorum erant et equorum clades, pugnæ, cædes, fugæque virorum: illa priora ſunt quibus magnam et in confeſſo poſitam victoriam ille de Dario reportavit, concedente virtuti, magnanimitati, juſtitiæque ejus, mirantique ejus in voluptate, laboribus et officiis invictum animum. Quippe inter ſcuta, ſariſſas, conclamationem acierum, et armorum conflictus Tarrias quoque Dinomenis filius, et Antigenes Pellenæus, et Philotas Parmenionis filius invicti erant: iidem vero ad voluptates, mulieres, aurumque et argentum nihilo melius affecti quam quivis captivorum. Nam Tarrias, cum Alexander Macedonas ære alieno exſolveret, creditoribuſque pro omnibus ſatisfaceret, mentitus ſe debere, quendam, qui ſe ei crediſſe ſimularet, ad menſam adduxit: deinde facinoris compertus, erat ſeipſum interfecturus, niſi Alexander eum abſolviſſet cri-

χώρησεν ἔχειν τὸ ἀργύριον, ἀναμνησθεὶς ὅτι Φιλίππου προσμαχομένου Περίνθῳ, βέλει πληγεὶς εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχεν οὐδ' ὑπέμεινεν ἐξαιρεθῆναι τὸ βέλος αὐτοῦ πρὶν ἢ τρέψασθαι τοὺς πολεμίους. Ἀντιγένης δὲ τοῖς ἀποπεμφθεῖσιν εἰς Μακεδονίαν διὰ νόσον καὶ πήρωσιν ἀναμίξας ἑαυτὸν καὶ ἀπογραψάμενος, ὡς ἐλήφθη μηδὲν κακὸν ἔχων, ἀλλὰ προσποιούμενος ἀῤῥωστίαν τινὰ, ἀνὴρ
D πολεμικὸς καὶ τραυμάτων τὸ σῶμα μεστὸς ὀφθεὶς, ἠνίασε τὸν Ἀλέξανδρον· πυνθανομένου δὲ τὴν αἰτίαν, ὡμολόγησε Τελεσίππης ἐρᾷν, καὶ συνακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσῃ μὴ δυνάμενος ἀπολειφθῆναι. Καὶ τίνος, ἔφη, τὸ γύναιόν ἐστιν, ὁ Ἀλέξανδρος, καὶ πρὸς τίνα δεῖ διαλέγεσθαι; τοῦ δὲ Ἀντιγένους εἰπόντος, ὡς ἐλευθέρα ἐστὶν, Οὐκοῦν, εἶπε, πείθωμεν αὐτὴν καταμένειν, ἐπαγγελλόμενοι καὶ διδόντες· οὕτω παντὶ μᾶλλον ἐρῶντι συγγνώμην εἶχεν ἢ ἑαυτῷ. Καὶ μὴν καὶ Φιλώτας, ὁ Παρ-

D. 1. μεστὸς] Sumpſi ab E. Voſſ. Gronov. P. Vulgo μεστὸν.

mine et argentum habere ſiviſſet: recordatus eum Philippo Perinthum oppugnante jaculo oculum ictum, non paſſum ante ſibi fuiſſe telum extrahi, quam hoſtes fudiſſet. Antigenes iis qui ob morbum aut mutilationem in Macedoniam remittebantur ſe immiſcuit, inque eorum numerum adſcriptus, cum deprehenderetur nihil habere mali, ſed finxiſſe morbum vir bellicoſus et cicatricum corpus plenum habens, moleſtiam Alexandro exhibuit: interrogatuſque ab eo cauſam, confeſſus eſt Teleſippæ amore ſe teneri, et quod ab ea divelli non pateretur, ideo comitem ad mare ei ſe præbuiſſe: quæſivit Alexander, cujus ea mulier eſſet, et quis ejus gratia compellandus: liberamque eſſe Antigeni reſpondenti, *Muneribus ergo*, inquit, *et pollicitis ei perſuademus ut nobiſcum maneat.* Adeo cuivis amanti Alexander facilius quam ſibi ignovit. Philotas Parmenionis filius vi-

μενίωνος τρόπον τινὰ τῶν κακῶν ἔσχε τὴν ἀκρασίαν. Ἀντιγόνα γὰρ ἦν Πελλαῖον γύναιον ἐν τοῖς περὶ Δα- E
μασκὸν αἰχμαλώτοις, ἡλώκει δὲ ὑπὸ Αὐτοφραδάτου πρότερον εἰς Σαμοθρᾴκην διαπλεύσασα, τὴν δὲ ὄψιν ἦν ἱκανή, καὶ τὸν Φιλώταν ἁψάμενον αὐτῆς, εἶχε μάλα· καὶ δὴ ὁ σιδήρεος ἐκεῖνος πεπαινόμενος, οὐκ ἐκράτει τῶν λογισμῶν ἐν ταῖς ἡδοναῖς, ἀλλ' ἀνοιγόμενος ἐξέφερε πολλὰ τῶν ἀπορρήτων πρὸς αὐτήν, Τί γὰρ ἦν ἐκεῖνος ὁ Φίλιππος, εἰ μὴ Παρμενίων; Τί δὲ Ἀλέξανδρος οὗτος, εἰ μὴ Φιλώτας; Ποῦ δὲ ὁ Ἄμμων; ποῦ δὲ οἱ F
δράκοντες, ἂν ἡμεῖς μὴ θέλωμεν; Τούτους τοὺς λόγους ἡ Ἀντιγόνα ἐξήνεγκε πρός τινα τῶν συνήθων γυναικῶν, ἐκείνη δὲ πρὸς Κρατερόν· Κρατερὸς δὲ πρὸς Ἀλέξανδρον αὐτὴν εἰσήγαγε τὴν Ἀντιγόναν κρύφα, καὶ τοῦ μὲν σώματος οὐκ ἔθιγεν, ἀλλ' ἀπείχετο· τὸν δὲ Φι-

D. 10. τρόπον τινα] Ald. Baſ. Xyl. E. F. Gron. Voſſ. Jun. τρόπῳ τινι. Adhuc adſentior Reiſkio ſupplenti αἰτίαν τροπόν τινα.

E. 5. σιδάρεος ἐκεῖνος] ἐκεῖνος Xylandri conjecturam confirmant Voſſ. Gronov. Mez. Nec longe abit G. ἐκείνη. Antiqui ſane codicis F, margo quidem, ſed ejuſdem antiquitatis ſcriptura, habet ἀλεκτῖνι, quod item eſt in Coll. Mur. In qua lectione an vera lateat, haud facile dicam. Dictio videtur Pindarica. Vulgo ἔκ τινος.

tio incontinentiæ laboravit. Antigona fuit Pellæa muliercula inter eas quæ apud Damaſcum captæ erant, quondam capta ab Autophradate, cum ipſa in Samothraciam trajiceret, forma ſatis egregia. Hæc Philotam, cum amare eam cœpiſſet, plane tenebat ſibi devinctum. Et vero ferreus ille emollitus, in voluptate cogitationes ſuas non continuit, ſed aperuit, et multa arcana mulierculæ enunciavit: *Quid enim*, dicebat, *erat Philippus iſte ſine Parmenione? quid eſſet, ſi Philotam non haberet, Alexander? ubi Ammon, ubi angues, ſi nos nolimus?* Ea verba ad quandam familiarium mulierum extulit Antigona, hæc Cratero indicavit: Craterus Antigonam occulte ad Alexandrum adduxit. Is corpore quidem mulieris abſtinuit, ſed opera ejus Philotam

λάσταν ὑποκαιρῶν δι' αὐτῆς, ὅλον ἐφώρασε, καὶ πλέον ἢ ἑπτὰ ἐτῶν διαγενομένων, οὐκ ἐν οἴνῳ ποτὲ τῆς ὑπονοίας ταύτην ἐξέφηνεν ὁ μεθύων, οὐδ' ὀργὴν ὁ θυμοειδὴς, οὐ πρὸς φίλον ὁ πάντα πιστεύων Ἡφαιστίωνι, καὶ
μο πάντων μεταδιδούς. Λέγεται γὰρ ὅτι καὶ τῆς μητρὸς ἀπόρρητον ἐπιστολὴν λύσαντος αὐτοῦ, καὶ σιωπῇ πρὸς ἑαυτὸν ἀναγινώσκοντος, Ἡφαιστίων ἀτρέμα παραβάλλων τὴν κεφαλὴν, συνανεγίνωσκεν· ὁ δὲ κωλῦσαι μὲν οὐχ ὑπέμεινεν, ἐξελὼν δὲ τὸν δακτύλιον, προσέθηκε τὴν σφραγῖδα τῷ στόματι τοῦ Ἡφαιστίωνος.

η'. Ἀλλὰ ταῦτα μὲν ἄν τις ἀπείποι λέγων, οἷς ἀποδείκνυται κάλλιστα καὶ βασιλικώτατα τὴν ἐξουσίαν διαθέμενος. Καὶ γὰρ εἰ διὰ Τύχην μέγας γέγονε, μείζων ἐστὶν ὅτι τῇ Τύχῃ καλῶς κέχρηται· καὶ ὅσῳ τις ἂν μᾶλλον αὐτοῦ τὴν Τύχην ἐπαινεῖ, τοσούτῳ μᾶλλον
B αὔξει τὴν Ἀρετὴν, δι' ἣν ἄξιος τῆς Τύχης ἐγένετο. Οὐ μὴν ἀλλ' ἤδη πρὸς τὰ πρῶτα τῆς αὐξήσεως αὐ-

totum excuſſit, taciteque omnia conſilia ejus expiſcatus eſt. Et quidem annis amplius ſeptem ex inde elapſis, neque in vino unquam ſimultatem Alexander ebrius ullam indicavit, neque per iram iracundus, neque amico ulli aperuit rem, omnia ſolitus Hephæſtioni credere atque communicare. Ferunt enim Alexandro epiſtolam matris arcanam tacite ſecum legente, Hephæſtionem leniter admoto capite una eam perlegiſſe: neque Alexandrum prohibere ſuſtinuiſſe, ſed detracto annulo ſigillum ori ejus admoviſſe.

VIII. Enimvero defatigari dicendo oporteret, qui omnia ea vellet commemorare, quibus demonſtratur pulcherrime et ut regem maxime decebat ſua uſum fuiſſe Alexandrum potentia: ut ſi Fortuna magnum eum fecerit, majus hoc ſit quod ea recte uſus eſt: et quanto magis fortunam ejus laudes, tanto magis virtutem ipſius extollas, quæ dignum fortuna ſua eum fecit. Sed jam nunc ad principia incre-

βασιλεύεσθαι πάτριον ἦν αὐτοῖς· ζητοῦσι δὲ καὶ διαπυνθανομένοις ὁ θεὸς ἔχρησεν ἀετὸν δείξειν· καὶ μεθ' ἡμέρας ὀλίγας ἀετὸς ὑπερφανεὶς καὶ καταρὰς ἐπὶ τὴν Αἴγωνος οἰκίαν ἐκάθισε, καὶ βασιλεὺς ᾑρέθη Αἴγων.
D Πάλιν ἐν Πάφῳ, τοῦ βασιλεύοντος ἀδίκου καὶ πονηροῦ φανέντος, ἐκβαλὼν τοῦτον Ἀλέξανδρος, ἕτερον ἐζήτει, τοῦ Κινυραδῶν γένους ἤδη φθίνειν καὶ ἀπολείπειν δοκοῦντος· ἕνα δ' οὖν ἔφασαν περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον ἐν κήπῳ τινὶ παρημελημένως διατρεφόμενον· ἐπὶ τοῦτον οἱ πεμφθέντες ἧκον, εὑρέθη δὲ πρασιαῖς ὕδωρ ἐπαντλῶν· καὶ διεταράχθη τῶν στρατιωτῶν ἐπιλαμβανομένων αὐτοῦ, καὶ βαδίζειν κελευόντων· ἀχθεὶς δὲ πρὸς Ἀλέξανδρον ἐν εὐτελεῖ σινδονίσκῃ, βασιλεὺς ἀνηγορεύθη, καὶ πορφύραν ἔλαβε, καὶ εἷς ἦν τῶν ἑταίρων προσαγορευομένων· ἐκα-
E λεῖτο δὲ ἄρα Ἀλύνομος. Οὕτως αἱ τύχαι ποιοῦσι βα-

E. 1. ἄρα Ἀλύνομος] Duo hæc in unum nomen Ἀρδαλώνυμος mutat Ruhn. ad Polluc. VI, 105. Mihi non ita ad amuſſim exigendus videtur hic libellus.

nus, e quo regem eos deligere patria conſuetudo jubebat: quærentibus ac ſciſcitantibus oraculum datum eſt, regem ab aquila demonſtratum iri: ac poſt paucos dies aquila in domum Ægonis devolare conſpecta fecit, ut Ægon rex deſignaretur. Rurſum in Papho cum rex improbe injuſteque ſe gereret, Alexander eo ejecto alium quærebat e ſtirpe natum Cinyræ, cum ea gens jam deficere et perire putaretur: unum ergo dicebant inde ſupereſſe hominem pauperem et obſcurum qui in horto quodam neglectus ab aliis aleretur: ad hunc miſſi a rege venerunt, eſtque inventus aquam areolis olerum in horto infundens, ac perturbatus eſt, cum milites eum arriperent, et ire juberent, cæterum adductus ad Alexandrum in vili ſindone, rex eſt factus, purpuraque ornatus, et in numerum eorum receptus qui Socii appellabantur: nomen ei fuit Alynomus. Hoc modo fortuita eventa re-

ὅπλον φάλαγγα; τίς εὑρέθη βασιλεὺς ῥᾳθυμός, ἢ στρατηγὸς ἀμελής, ἢ κοιμώμενος πυλωρός; ἀλλ' οὐδ' εὔβατος ποταμός, οὐδὲ χειμὼν μέτριος, οὐδὲ θέρος ἄλυπον. Ἄπιθι πρὸς Ἀντίοχον τὸν Σελεύκου, πρὸς Ἀρταξέρξην τὸν Κύρου ἀδελφόν, ἄπελθε πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον· ἐκείνους ζῶντες οἱ πατέρες βασιλεῖς ἀνηγόρευσαν, ἐκεῖνοι μάχας ἀδακρύτους ἐνίκων, ἐκεῖνοι πανηγυρίζοντες ἐν πομπαῖς καὶ θεάτροις διετέλεσαν, ἐκείνων ἕκαστος δι' εὐτυχίαν βασιλεύων ἐγήρασεν. Ἀλεξάνδρου δὲ εἰ μηδὲν ἄλλο, τὸ σῶμα ἰδοὺ καταπετρωμένον ἐξ ἄκρας κεφαλῆς ἄχρι ποδῶν, διακέκοπται καὶ συντέθλασται τυπτόμενον ὑπὸ τῶν πολεμίων,

"Ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι·

B ἐπὶ Γρανίκου ξίφει διακοπεὶς τὸ κράνος ἄχρι τῶν τριχῶν· ἐν Γάζῃ βέλει πληγεὶς τὸν ὦμον· ἐν Μαραγάν-

B. 2. Μαραγάνδοις] Ita Ald. Baſ. Xyl. E. F. Voſſ. Gronov. Vulgatam Μαλλοῖς Stephanus accepit e Coll. Mur. quacum conſentiunt margo F. Schott. Anon. Sunt iidem qui ſupra p. 327. A. Μαρακαδάρτοι.

exercitum inermem? in quem regem incidit ſocordem? in quem ducem negligentem? in quem janitorem dormientem? quem fluvium trajectu facilem, quam hyemem temperatam, quam æſtatem moleſtiæ expertem præbuiſti? Ad Antiochum Seleuci filium, ad Artaxerxem Cyri fratrem, ad Ptolemæum Philadelphum, abi: eos vivi etiamnum patres regio titulo dignati ſunt: ii prœlia nullis lachrymis conſtantia vicerunt, ii inter feſtos dies ac pompas et ſpectacula vitam exegerunt, ii ob felicitatem in regia dignitate conſenuerunt. Alexandri, ſi nihil aliud, ſaltem totum corpus conſidera a ſummo capite uſque ad imos pedes hoſtilibus vulneribus contuſum atque diſſecatum,

Haſtis, et gladiis, ſaxiſque ingentibus ictum.

Ad Granicum galea ejus gladio fuit diſſecata, ictu uſque ad capillos penetrante: Gazæ jaculo humerum eſt vulneratus:

ἐπὶ τοὺς Σκύθας, καὶ τετρωμένος, ἐδίωξεν ἵππῳ πεν-
τήκοντα καὶ ἑκατὸν σταδίους, ὑπὸ διαῤῥοίας ἐνοχλούμενος.
D ι'. Εὖγε, ὦ Τύχη, τὸν Ἀλέξανδρον αὔξεις καὶ μέ-
γαν ποιεῖς, διορύττουσα πανταχόθεν, ὑπερείπουσα, πᾶν
μέρος ἀνοίγουσα τοῦ σώματος· οὐχ ὥσπερ ἡ Ἀθηνᾶ
πρὸ τοῦ Μενελάου τὸ βέλος εἰς τὰ καρτερώτατα τῶν
ὅπλων ὑπάγουσα, θώρακι καὶ μίτρᾳ καὶ ζωστῆρι τῆς
πληγῆς τὸν τόνον ἀφεῖλε θιγούσης τοῦ σώματος, ὅσον
αἵματι πρόφασιν ῥυῆναι, ἀλλὰ γυμνὰ παρέχουσα τοῖς
βέλεσι τὰ καίρια, καὶ δι' ὀστέων ἐλαύνουσα τὰς πληγὰς,
καὶ περιτρέχουσα κύκλῳ τὸ σῶμα, καὶ πολιορκοῦσα
τὰς ὄψεις, τὰς βάσεις ἐμποδίζουσα, τὰς διώξεις περι-
E σπῶσα, τὰς νίκας ἀνατρέπουσα, τὰς ἐλπίδας. Ἐμοὶ
μὲν οὐδεὶς βαρυτέρᾳ δοκεῖ κεχρῆσθαι Τύχῃ τῶν βασι-
λέων, καίτοι πολλοῖς ἐνέπεσε σκληρὰ καὶ βάσκανος·

D. 2. *ὑπερείπουσα*] Non dubitavi invitis omnibus libris veram reſtituere lectionem pro vulgata *ὑπερείδουσα*.

E. 1. *τὰς νίκας ἀνατρέπουσα, τὰς ἐλπίδας.*] Si ante *τὰς*, deleto commate, interponas *καὶ*, nil deeſſe videatur. Antecedentia interpunximus noſtro judicio.

greſſus Scythas fudit, et equo ad centum et quinquaginta ſtadia inſecutus eſt, cum quidem alvi profluvio vexaretur.

X. Euge, Fortuna, Alexandrum auges ſcilicet atque magnum facis undique perfodiens, undique lædens, omnia corporis membra vulneribus aperiens : non quo modo Minerva ſagittam in Menelaum conjectam in validiſſima armorum vertit, ac thorace, mitra, et cingulo ictus vim ita retudit, ut leviter perſtricto corpore duntaxat ſanguis flueret : ſed nuda membra vulneribus exponens periculoſis, ictuſque per oſſa dirigens, corpuſque in orbem ambiens, oculoſque et pedes oppugnans, impediens perſequentem hoſtes, victorias ſubtrahens, ſpes ſubruens. Mihi profecto nullus rex videtur Fortunam expertus iniquiorem. In multos quidem ea incidit gravis atque invida : ſed

ἀσχολίας καὶ διατριβὰς ἐπιλαμβανομένη· πρῶτον αὐτῷ
τὰ βαρβαρικὰ τῶν προσοίκων διετάραξεν, Ἰλλυρικοὺς καὶ
Τριβαλλικοὺς μηχανωμένη πολέμους. Οἷς μέχρι Σκυ-
θίας τῆς παρ' Ἴστρον ἀποσπασθεὶς ἀπὸ τῶν ἄνω πράξεων,
D καὶ περιδραμὼν καὶ κατεργασάμενος πάντα κινδύνοις καὶ
ἀγῶσι μεγάλοις, αὖθις ὥρμητο καὶ ἐσπούδαζε πρὸς τὴν
διάβασιν πάλιν. Ἡ δὲ πάλιν αὐτῷ τὰς Θήβας ἐνέ-
σεισε, καὶ πόλεμον Ἑλληνικὸν ἐμποδὼν κατέβαλε, καὶ
δεινὴν πρὸς ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς διὰ φόνου
καὶ σιδήρου καὶ πυρὸς ἀνάγκην ἀμύνης, ἀτερπέστατον
τέλος ἔχουσαν. Ἐκ τούτου διέβαινεν, ὡς μὲν Φύλαρχός
φησιν, ἡμερῶν τριάκοντα ἔχων ἐφόδιον· ὡς δὲ Ἀριστό-
βουλος, ἑβδομήκοντα τάλαντα· τῶν δὲ οἴκοι κτημάτων
καὶ προσόδων βασιλικῶν διένειμε τὰς πλείστας τοῖς
ἑταίροις· μόνος δὲ Περδίκκας οὐδὲν ἔλαβε διδόντος,
E ἀλλ' ἠρώτησε, Σαυτῷ δὲ τί καταλείπεις, Ἀλέξανδρε;

D. 7. Φύλαρχος] Sic Xyl. E. F. Gron. Voſſ. Vulgo Φίλαρχος.

pationes ei et moras circumdedit. Initio vicinis barbaris conturbatis, Illyricum et Triballicum bellum ei immiſit. Quibus ab Aſiatica re uſque ad Scythiam, Iſtro adjacentem avulſo, et circum curſitando magniſque periculis ac certaminibus obeundis defuncto, cum debellatis hoſtibus rurſum expeditioni incumberet, eadem denuo Thebas incuſſit, Græcumque bellum, et atrocem adverſus cognatos et populares per cædes, ferrum, ignemque, vindictam, cujus fuit triſtiſſimus finis. His peractis rebus trajecit in Aſiam, viatico inſtructus, ut Phylarchus prodidit, triginta dierum. Ariſtobulus ſcripſit, ſeptuaginta eum habuiſſe talenta. Interim rem familiarem et reditus regios maxima ex parte inter amicos diviſit. Solus Perdiccas nihil accepit, quanquam offerente rege: ſed interrogavit, *Tibi vero, Alexander, quid fa-*

τοῦ δ' εἰπόντος, ὅτι, Τὰς ἐλπίδας, Οὐκοῦν, ἔφη, καὶ ἡμεῖς τούτων μεθεξόμεθα· οὐ γὰρ δίκαιον τὰ σὰ λαμβάνειν, ἀλλὰ τὰ Δαρείου περιμένειν.

β'. Τίνες οὖν ἦσαν ἐλπίδες ἐφ' αἷς διέβαινεν εἰς Ἀσίαν Ἀλέξανδρος; Οὐ τείχεσι πόλεων μυριάνδρων ἐκμετρουμένη δύναμις, οὐδὲ στόλοι δι' ὀρῶν πλέοντες, οὐδὲ μάστιγες, οὐδὲ πέδαι, μανικὰ καὶ βάρβαρα κολαστήρια θαλάσσης· ἀλλὰ τὰ μὲν ἐκτὸς, ἐν ὀλίγοις ὅπλοις φιλοτιμία πολλὴ, καὶ ζῆλος ἡλικίας παρ' ἀλλήλου, καὶ ἅμιλλα περὶ δόξης καὶ ἀρετῆς, ἑταίρων· αὐτὸς δ' εἶχεν ἐν ἑαυτῷ τὰς μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ θεοὺς, πίστιν πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, εὐποιΐαν, ἀφοβίαν πρὸς θάνατον, εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστάθειαν ἐν βουλαῖς, τάχος ἐν πράξεσι, πρῶτα δόξης, προαί-

F. 6. εὐποιΐαν] Sumpſi ex E. Voſſ. Gron. P. Vulgo ἐμπειρίαν.
F. 8. πρῶτα δόξης] πρὸς τὸ δοξάν conjeceram antequam viderem Reiſkii ἔργα δόξης. Hoc propius ad literas vulgatæ, illud ad ſententiam Auctoris.

eis reliquum? iſque ubi reſpondit, *Spes:* tum ille, *Nos ergo etiam*, inquit, *in earum parte acquieſcemus, rectum quippe eſt nos Darii potius expectare opes, quam tuas accipere.*

XII. Et quænam tandem erant illæ ſpes, quibus fretus Alexander in Aſiam tranſmiſit? Non copiæ ex urbibus, quarum quamvis multa civium millia inhabitarent, certo numero conductæ: non claſſis quæ per montes navigaret: non flagella, non compedes, barbaricæ inſaniæ ſupplicia mari imponenda. Verum extra ipſum in exiguo exercitu vigebat magnum laudis ſtudium, et æmulatio ætate æqualium, certamenque de gloria et virtute cum ſociis ſuſceptum. Ipſe autem magnas in ſe ſpes continebat: pietatem adverſum deos, fidem erga amicos, frugalitatem, continentiam, peritiam, mortis contemptum, magnanimitatem, humanitatem, comitatem, candorem, conſtantiam in conſiliis, celeritatem in actionibus, principatum in gloria, in-

ῥοπὴν ἐν τῷ καλῷ τελεσιουργόν. Ὅμηρος μὲν γὰρ οὐ
πρεπόντως οὐδὲ πιθανῶς τὸ Ἀγαμέμνονος κάλλος ἐκ
τριῶν συνήρμοσεν εἰκόνων, ὁμοιώσας,

13 Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

Τὴν δὲ Ἀλεξάνδρου φύσιν, εἴπερ ἐκ πολλῶν συνήρμοσε
καὶ συνέθηκεν ἀρετῶν ὁ γεννήσας θεός, ἆρα οὐκ ἂν εἴ-
ποιμεν ἔχειν φρόνημα μὲν τὸ Κύρου, σωφροσύνην δὲ τοῦ
Ἀγησιλάου, σύνεσιν δὲ τὴν Θεμιστοκλέους, ἐμπειρίαν δὲ τοῦ
Φιλίππου, τόλμαν δὲ τὴν Βρασίδου, δεινότητα δὲ καὶ
πολιτείαν τὴν Περικλέους; Τῶν δὲ ἔπι παλαιοτέρων,
σωφρονέστερος μὲν Ἀγαμέμνονος· ὁ μὲν γὰρ προέκρινε
τῆς νομίμης κουριδίης τὴν αἰχμάλωτον· ὁ δέ, καὶ πρὶν
B ἢ γῆμαι, τῶν ἁλισκομένων ἀπείχετο. Μεγαλοψυχότερος
δὲ Ἀχιλλέως· ὁ μὲν γὰρ χρημάτων ὀλίγων τὸν Ἕκτορος
νεκρὸν ἀπελύτρωσεν, ὁ δὲ πολλοῖς χρήμασι Δαρεῖον

A. 10. νομίμης κουριδίης] γαμετῆς E. F. Voſſ. Gron. T. V. B.

ſtitutum animi in rebus gerendis efficax. Nam Homerus quidem neque convenienter neque probabiliter Agamemnonis pulchritudinem e tribus compegit ſimilitudinibus :

Ille caput magno ſimilis, oculoſque Tonanti,
Neptuno pectuſque, truci zonamque Gradivo.

Alexandri autem naturam ſi genitor deus ex multis concinnavit compoſuitque virtutibus, quid obſtat quo minus dicamus fuiſſe in eo magnanimitatem Cyri, modeſtiam Ageſilai, prudentiam Themiſtoclis, peritiam Philippi, audaciam Braſidæ, vim et reipublicæ gerendæ calliditatem Periclis ? Quinimo ſi eum velis cum vetuſtioribus componere, temperantior fuit Agamemnone : hic enim captivam prætulit uxori quam primam virginem duxerat : Alexander etiamnum conjugii exſors captivis abſtinuit. Majore etiam fuit quam Achilles animo : hic enim Hectoris cadaver exiguo pretio redemptum reddidit, noſter grandi ſumptu funus Dario

ἐν ἀρχαῖς καὶ πολιτείαις ἕκαστος ἑαυτὸν ἀρετῇ καὶ παρέσχηκε, φέρε θεῶ τὸν Ἀλέξανδρον ἅπασι παρα-ιν. Σόλων χρεῶν ἀποκοπὴν ἐν Ἀθήναις ἐποίησε, χθειαν προσαγορεύσας· Ἀλέξανδρος δὲ τοῖς τὰ δανείσασιν, ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς ἐξέτισε. λῆς φορολογήσας τοὺς Ἕλληνας, ἐκ τῶν χρημάτων ησεν ἱεροῖς τὴν ἀκρόπολιν· Ἀλέξανδρος δὲ τὰ βαρβάρων χρήματα λαβὼν, ἔπεμψεν εἰς τὴν δα, ναοὺς τοῖς θεοῖς ἀπὸ μυρίων ταλάντων οἰκοδο-κελεύσας. Βρασίδαν ἐν τῇ Ἑλλάδι περιβόητον ε τὸ πρὸς Μεθώνην διαδραμεῖν τὸ στρατόπεδον πολεμίων, βαλλόμενον παρὰ τὴν θάλατταν. Ἀ-δρος δὲ ἐν Ὀξυδράκαις τὸ δεινὸν ἐκεῖνο πήδημα στον ἀκούουσι, καὶ θεωμένοις φοβερὸν, ἐκ τειχῶν ς ἑαυτὸν εἰς τοὺς πολεμίους, δόρασι καὶ βέλεσι καὶ γυμνοῖς ἐκδεχομένοις, τίνι ἄν τις εἰκάσειεν; ἢ κεραυνίῳ ῥαγέντι, καὶ φερομένῳ μετὰ πνεύματος,

onditorem, magnum re-æ et magiſtratus ad-atorem Virtute ſeipſum et doctrina adjutus præ-agedum et conſidera, ſingulis Alexandrum remus. Solon Athenis tabulas confecit, eamque lando nomine Seiſach-(id eſt oneris excuſſio-appellavit: Alexander um loco pecuniam de-creditoribus de ſuo diſ-Pericles tributo a Græ-ecto, templis ea e pe-exſtructis arcem orna-Alexander barbarica po-titus pecunia, in Græciam decem millia talenta miſit, mandans ut ædes diis inde ædificarentur. Magnam nominis celebritatem per Græciam Braſidas peperit, quod hoſtium ad Methonam caſtra percurrit ad mare poſita: Alexandri autem in Oxydracis ſaltum illum atrocem, incredibilem audientibus, et ſpectantibus terribilem, cum de muro ſeipſum in hoſtes demiſit haſtis, et jaculis, et ſtrictis enſibus eum excipientes, cuinam alii rei ſimilem dicas, quam fulminis igni cum impetu proripientis

οἷον ἐπὶ γῆν κατέσκηψε φάσμα Φοίβου φλογοειδέσιν ὅπλοις περιλαμπόμενον; οἱ δὲ τὸ πρῶτον ἐκπλαγέντες ἅμα φρίκῃ διέτρεσαν καὶ ἀνεχώρησαν· εἶτα, ὡς εἶδον ἄνθρωπον ἕνα πολλοῖς ἐπιφερόμενον, ἀντέστησαν· ἐνταῦθα ἡ Τύχη μεγάλα καὶ λαμπρὰ διέφηνεν ἔργα τῆς πρὸς Ἀλέξανδρον εὐμενείας, ὅτε αὐτὸν μὲν εἰς χωρίον ἄσημον καὶ βάρβαρον ἐμβαλοῦσα, κατέκλεισε καὶ περι- F
ετείχισε, τοὺς δ᾽ ὑπὸ σπουδῆς ἐπιβοηθοῦντας ἔξωθεν ἐκ τῶν τειχῶν ἐφιεμένους, κλάσασα καὶ συντρίψασα τὰς κλίμακας, ὑπεσκέλισε καὶ κατεκρήμνισε· τριῶν δέ, οἵπερ ἔφθησαν μόνοι τοῦ τείχους λαβέσθαι καὶ καθέντες ἑαυτοὺς περιστῆναι τῷ βασιλεῖ, τὸν μὲν εὐθὺς ἀνήρπασε καὶ προανεῖλεν· ὁ δέ, τοξεύμασι πολλοῖς διαπεπαρμένος, ὅσον ὁρᾶν καὶ συναισθάνεσθαι μόνον ἀπεῖχε τοῦ τεθνάναι· κεναὶ δὲ ἔξωθεν προσδρομαὶ καὶ ἀλαλαγμοὶ 344

E. 6. Φοίβου] Malim Φόβου. Sed fortaſſe ne eſt quidem a Plutarcho, et neſcio unde a Stephano ſumptum. Nam abeſt ab omnibus noſtris libris, Ald. Baſ. Xyl.

F. 5. καθέντες] Sic E. F. Voſſ. Coll. Mur. Schott. Anon. P. T. V. B. Vulgo καταθέντες.

F. 6. περιστῆναι] Forte παραστῆναι; quod loco variæ lectionis in margine habet F.

ſe et vento? tale tum ſpectrum in terras ſe dejecit ille, ardentibus circum fulgens armis. Et barbari initio perterriti, non ſine horrore diſſipati receſſerunt: deinde cum viderent unum hominem in multos irruere, reſtiterunt. Enimvero ibi loci Fortuna ſuæ erga Alexandrum benevolentiæ præclara et evidentia opera edidit, quando ipſo in locum obſcurum et barbarum abjecto, muriſque incluſo, eos qui auxilium ferre ſummo ſtudio contendebant, muroſque foris invadebant, confractis ſcalis proſtravit atque præcipitavit: de tribus vero, qui ſoli in muros evaſerant ac ſeipſos demiſerant ut juxta regem conſiſterent, unum ſtatim rapuit atque interfecit: alter multis confoſſus jaculis tantum abfuit a morte, quod ſentire adhuc et quid ageretur cernere potuit: interim foris inanes incurſiones atque conclamationes erant

Μακεδόνων, οὐ μηχανῆς τινος, οὐκ ὀργάνων παρόντων, ἀλλ' ὑπὸ σπουδῆς ξίφεσι τυπτόντων τὰ τείχη, καὶ χερσὶ γυμναῖς διαρρῆξαι καὶ μονονοὺ διαφαγεῖν βιαζομένων. Ὁ δ' εὐτυχὴς βασιλεὺς, καὶ ὑπὸ τῆς Τύχης φυλαττόμενος ἀεὶ καὶ δορυφορούμενος, ὥσπερ θηρίον ἄρκυσιν ἐνσχεθεὶς, ἔρημος καὶ ἀβοήθητος, οὐχ ὑπὲρ Σούσων οὐδὲ Βαβυλῶνος, οὐδὲ Βάκτρα λαβεῖν, οὐδὲ τὸ μέγα τοῦ Πώρου κρατῆσαι· τοῖς γὰρ ἐνδόξοις καὶ μεγάλοις ἀγῶσι,
B κἂν δυστυχῶνται, τὸ γοῦν αἰσχρὸν οὐ πρόσεστιν· ἀλλ' οὕτω δύσερις ἦν καὶ βάσκανος ἡ Τύχη, καὶ φιλοβάρβαρος καὶ μισαλέξανδρος, ὥστε μὴ τὸ σῶμα μόνον αὐτοῦ μηδὲ τὸν βίον, ἀλλὰ καὶ τὴν δόξαν ἀνελεῖν, ὅσον ἐφ' ἑαυτῇ, καὶ διαφθεῖραι τὴν εὔκλειαν. Οὐ γὰρ παρ' Εὐφράτην Ἀλέξανδρον ἢ Ὑδάσπην πεσόντα κεῖσθαι, δεινὸν ἦν, οὐδ' ἀγεννὲς, ἐν χερσὶ Δαρείου γενόμενον,

A. 8. τὸ μέγα τοῦ Πώρου] Vix ſanum. Mez. quidem corrigit τοῦ μεγάλου Πώρου. Deeſt præterea Verbum finitum ut monuit Reiſkius: quod niſi in hoc ipſo τὸ μέγα latet, legendum videatur ἐνισχύσῃ.

Macedonum, cum machina ad oppugnandum nulla, nullum in promptu eſſet inſtrumentum: ſed muros præ opitulandi ſtudio gladiis percuterent, nudiſque manibus rumpere ac tantum non mordicus comminuere niterentur? At enim fortunatus ille rex, utpote quem perpetuo ſtiparet cuſtodiretque Fortuna, feræ in modum caſſibus implicatæ, deſertus et auxilii inops agebat: non eo redactus, ut Suſis Babylone, vel Bactris potiretur, aut præclaram de Poro illam victoriam reportaret. Nam qui arduas ac glorioſas res gerendas ſuſcipiunt, ab illorum infortunio, ſi quod habent, ſaltem dedecus abeſt. Sed ita pertinax et invidioſa fuit Fortuna, ita barbaris favit, Alexandro male voluit: ut, quantum in ipſa quidem fuit, non corpus modo tunc ejus atque vitam, ſed et gloriam decuſque aboleverit. Neque enim adeo indignum erat vel turpe Alexandrum ad Euphraten vel Hydaſpen occumbere, aut manu cum Dario

καὶ πελάσαι τολμήσαντα μετὰ ξίφους, αὐτὸς τῷ ἐγχει-
ριδίῳ φθάσας κατέβαλε καὶ ἀπέκτεινεν· ἐν τούτῳ δέ τις
D δραμὼν ἐκ μύλωνος, ὑπέρῳ κατὰ τοῦ αὐχένος ὄπισθεν
πληγὴν κατήνεγκεν, ἣ συνέχεε τὴν αἴσθησιν αὐτοῦ σκοτω-
θέντος· ἡ δ' Ἀρετὴ παρῆν, θάρσος μὲν αὐτῷ, ῥώμην δὲ
καὶ σπουδὴν τοῖς περὶ αὐτὸν ἐμποιοῦσα. Λημναῖοι γὰρ καὶ
Πτολεμαῖοι, καὶ Λεοννάτοι, καὶ ὅσοι τὸ τεῖχος ὑπερκα-
ταβάντες ἢ ῥήξαντες ἔστησαν πρὸ αὐτοῦ, τεῖχος Ἀρετῆς
ἦσαν, εὐνοίᾳ καὶ φιλίᾳ τοῦ βασιλέως τὰ σώματα καὶ τὰ
πρόσωπα καὶ τὰς ψυχὰς προβαλλόμενοι. Οὐ γὰρ διὰ
Τύχην ἀγαθῶν βασιλέων ἕτεροι προαποθνήσκουσιν
E ἑκουσίως καὶ προκινδυνεύουσιν, ἀλλ' ἔρωτι τῆς Ἀρετῆς,
ὥσπερ ὑπὸ φίλτρων μέλιτται, τῷ ἄρχοντι προσέρχονται
καὶ προσπεφύκασι. Τίς οὖν οὐκ ἂν εἴποι τότε παρὼν
ἀκίνδυνος θεατὴς, ὅτι Τύχης μέγαν ἀγῶνα κατ' Ἀρε-
τῆς θεᾶται, καὶ τὸ μὲν βάρβαρον παρ' ἀξίαν ἐπικρατεῖ,
διὰ Τύχην, τὸ δ' Ἑλληνικὸν ἀντέχει παρὰ δύναμιν

conjecerat telum, ac gladio armatus accedere audebat, pugione præventum dejicit atque necat: interea quidam e piſtrino accurrens a tergo ictum cervicibus Alexandri ingerit, quo in vertiginem acti ſenſus ſunt hebetati. Veruntamen præſto adfuit virtus, fiduciam ipſi, ſociis robur feſtinationemque inferens. Limnæus enim, Ptolemæus, Leonnatus, atque alii, qui vel ſuperato vel perrupto muro ante regem conſtiterant, murus erant virtutis, ob benevolentiam et amicitiam, qua Alexandro erant juncti, corpora, facies, animaſque ſuas pro eo opponentes. Non enim Fortunæ caſu fit, ut alii ultro pericula pro regibus adeant, et mortem oppetant: ſed ob Virtutis amorem, ſicut ob illex aliquod medicamentum apes ſolent, principi ſe adjungunt et adhærent. Quis autem, qui tunc extra periculum conſtitutus ſpectator adfuiſſet, non hoc erat dicturus? Conſpicere ſe magnum Fortunæ adverſus Virtutem certamen: et barbaros indigne ſuperiore eſſe loco, Fortuna favente: Græcos autem reſiſtere

δὲ ἀπορίαν καὶ διατριβὴν ὁρῶν αὐτός, ἐπεχείρησεν ἐν χρῷ τοῦ θώρακος ἀποτέμνειν τῷ ξιφιδίῳ τὸν οἰστόν· ἠτόνει δὲ ἡ χείρ, καὶ βάρος εἶχε ναρκῶδες ὑπὸ φλεγμονῆς τοῦ τραύματος· ἐκέλευεν οὖν ἅπτεσθαι, καὶ μὴ δεδιέναι,
B τοὺς ἀτρώτους θαρρύνων· καὶ τοῖς μὲν ἐλοιδορεῖτο κλαίουσι καὶ συμπαθοῦσι, τοὺς δὲ, λειποτάκτας ἀπεκάλει, μὴ τολμῶντας αὐτῷ βοηθεῖν· ἐβόα δὲ πρὸς τοὺς ἑταίρους, Μηδεὶς ἔστω μηδὲ ὑπὲρ ἐμοῦ δειλός, ἀπιστοῦμαι μὴ φοβεῖσθαι θάνατον εἰ τὸν ἐμὸν φοβεῖσθε ὑμεῖς.

videret perplexitatem difficultatemque et moram rei, ſagittam conatus eſt ad ipſam thoracis ſuperficiem pugione abſcindere: ſed manus torpens præ inflammatione vulneris, conatum non pertulit. Juſſit ergo eos rem tentare, ac nihil metuere, ultro animos addens non vulneratis: aliiſque exprobravit lachrymas et nimium mœrorem, alios deſertores appellavit, qui opem ipſi ferre non auderent: altaque voce teſtatus eſt ad ſocios, Neminem ne pro ipſo quidem debere timidum eſſe; *Nam ſi vos*, aiebat, *pro me trepidatis, non credetur me nullo mortis metu teneri.*

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΟΤΕΡΟΝ

ΑΘΗΝΑΙΟΙ ΚΑΤΑ ΠΟΛΕΜΟΝ Η ΚΑΤΑ ΣΟΦΙΑΝ

ΕΝΔΟΞΟΤΕΡΟΙ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΟΤΕΡΟΝ

ΗΝΑΙΟΙ ΚΑΤΑ ΠΟΛΕΜΟΝ Η ΚΑΤΑ ΣΟΦΙΑΝ ΕΝΔΟΞΟΤΕΡΟΙ.

PLUTARCHI

LLO NE AN PACE CLARIORES FUERINT ATHENIENSES.

ΤΑΥΤΑ ὀρθῶς μὲν ἐκεῖνος εἶπε πρὸς τοὺς μεθ' ἑαυτὸν στρατηγοὺς, οἷς πάροδον ἐπὶ τὰς γην πράξεις ἔδωκεν ἐξελάσας τὸν βάρβαρον, καὶ τὴν λάδα ἐλευθερώσας· ὀρθῶς δὲ εἰρήσεται καὶ πρὸς τοὺς τοῖς λόγοις μέγα φρονοῦντας. Ἂν γὰρ ἀνέλῃς τοὺς

. Ταῦτα ὀρθῶς] Initium deeſſe, ejuſque proximam partem fuiſſe dictum Themiſtoclis de Diebus Feſto et Poſtero, res ipſa prodit.

ATQUE hoc quidem recte reſpondit ipſum cutis ducibus Themiſto- quibus ille aditum ad res ndas patefecit, barbaro profligato, et liberata Græcia. Recte autem dicetur in eos idipſum, qui propter libros a ſe ſcriptos multum ſibi tribuunt. Si enim deſint qui res

καὶ Θεμιστογένει περὶ τούτων συντετάχθαι τοῦ Συρρακουσίου, ἵνα πιστότερος ᾖ διηγούμενος ἑαυτὸν ὡς ἄλλον, ἑτέρῳ τὴν τῶν λόγων δόξαν χαριζόμενος. Οἱ δὲ ἄλλοι πάντες ἱστορικοὶ, Κλεινόδημοι, Δίυλλοι, Φιλόχορος, Φύλαρχος, ἀλλοτρίων γεγόνασιν ἔργων, ὥσπερ δραμάτων, ὑποκριταὶ,
F τὰς τῶν στρατηγῶν καὶ βασιλέων πράξεις διατιθέμενοι, καὶ ταῖς ἐκείνων ὑποδυόμενοι μνήμαις, ἵνα ὡς αὐγῆς τινος καὶ φωτὸς μετάσχωσιν. Ἀνακλᾶται γὰρ ἀπὸ τῶν πραττόντων ἐπὶ τοὺς γράφοντας καὶ ἀναλάμπει δόξης εἴδωλον, ἀλλοτρίας ἐμφαινομένης διὰ τῶν λόγων τῆς πράξεως, ὡς ἐν ἐσόπτρῳ.

β'. Πολλῶν μὲν δὴ καὶ ἄλλων ἡ πόλις ἥδε μήτηρ καὶ τροφὸς εὐμενὴς τεχνῶν γέγονε, τὰς μὲν εὑραμένη καὶ ἀναφήνασα πρώτη, ταῖς δὲ δύναμιν προσθεῖσα καὶ τιμὴν καὶ αὔξησιν· οὐχ ἥκιστα δὲ ὑπ' αὐτῆς ζω-
46 γραφία προῆκται καὶ κεκόσμηται· καὶ γὰρ Ἀπολλό-

E. 8. Κλεινόδημοι] Forte Κλείδημοι. Probabilius etiam mox legendum eſſe Φύλαρχοι: tamen mutare nolui.
E. 9. ἔργων] Sic Pol. Leonic. Schott. Anon. T.V.B. Mez. Vulgo, ἱερῶν.

de iis compoſitam hiſtoriam eſſe a Themiſtogene Syracuſio: gloriam hanc alii deferens ſcriptionis, ut de ſeipſo tanquam alio ſcribens facilius fidem inveniret. Reliqui omnes hiſtorici, Clinodemi, Dylli, Philochori, Philarchi alienorum operum tanquam fabularum fuerunt hiſtriones, imperatorum et regum res geſtas diſponentes, ac ſub eorum memoriam ſubeuntes, ut ab ea in partem aliquam ſplendoris et lucis collocarentur. Quippe ab auctore factorum repellitur in ſcriptorem, atque in eo refulget imago gloriæ: ubi tanquam in ſpeculo apparet in oratione effigies alieni facinoris.

II. Profecto urbs hæc multarum etiam aliarum mater, nutrixque benigna fuit artium, quarum alias prima reperit inque lucem protulit, aliis honorem, vim, incrementa contulit: non minimam vero ei debet et inventionis et exornationis partem ars pingendi. Nam Apollodorus pictor, qui

ἱππομαχίαν οὐκ ἀνενθουσιάστως Εὐφράνωρ· τὸ δὲ ἔργον ἔσχεν οὕτως. Ἐπαμινώνδας Θηβαῖος ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ἀρθεὶς μέγας, ἐπεμβῆναι τῇ Σπάρτῃ πεσούσῃ καὶ πατῆσαι τὸ φρόνημα καὶ τὸ ἀξίωμα τῆς πόλεως ἐθέλησε· καὶ πρῶτα μὲν ἐμβαλὼν ἑπτὰ μυριάσι στρατοῦ, διεπόρθησε τὴν χώραν, καὶ τοὺς περιοίκους ἀπέστησεν αὐτῶν. ἔπειτα περὶ Μαντίνειαν ἀντιτεταγμένους εἰς μάχην
C προὐκαλεῖτο· μὴ βουλομένων δὲ μηδὲ τολμώντων, ἀλλὰ τὴν Ἀθήνηθεν ἐπικουρίαν ἐκδεχομένων, νυκτὸς ἄρας καὶ λαθὼν ἅπαντας, εἰς τὴν Λακωνικὴν κατέβη, καὶ μικροῦ ἔφθη τὴν πόλιν ἔρημον ἐξ ἐφόδου λαβεῖν καὶ κατασχεῖν. Αἰσθομένων δὲ τῶν συμμάχων, καὶ βοηθείας τάχος πρὸς τὴν πόλιν γενομένης, ὑπέδειξε μὲν ὡς αὖθις ἐπὶ λεηλασίαν καὶ φθορὰν τῆς χώρας τρεψόμενος· ἐξαπατήσας δὲ καὶ κατακοιμίσας οὕτω τοὺς πολεμίους, ἀνέζευξε νυκτὸς ἐκ τῆς Λακωνικῆς· καὶ διαδραμὼν εἰς τὴν μεταξὺ χώραν, ἐπε-

C. 9. εἰς τὴν μεταξὺ χώραν] F. τὴν μεταξὺ χώραν, ἔνθεν—. Paulo ante pro τάχος malim ταχέως.

phranor, non ſine divino quodam inſtinctu. Res ita habuit. Epaminondas Thebanus Leuctrica victoria elatus, cum inſultare Spartæ ruenti, faſtumque et dignitatem civitatis conculcare in animo haberet, principio cum ſeptuaginta millium exercitu facta impreſſione ditionem Laconicam vaſtavit, finitimoſque ad defectionem a Spartanis faciendam pertraxit. Deinde apud Mantineam cum ii aciem oppoſuiſſent, ad pugnam provocavit: cumque recuſarent, et congredi non auderent, ſed ab Athenis ſuppetias exſpectarent, noctu caſtra movit, hoſtibuſque deceptis in Laconicam deſcendit: parumque abfuit quin ipſo adventu ſuo Spartam deſertam caperet. Tamen ſociis Lacedæmoniorum id ſentientibus, et celeriter ad tutandam urbem auxilia ferentibus, præ ſe tulit rurſum ſe ire agros populatum: itaque deceptis et ſopitis hoſtibus noctu e Laconica movit, continentique itinere Manti-

πλείστοις· οἱ δὲ ἱππεῖς διασκευασάμενοι καὶ προσεξελάσαντες, ὑπὸ τὰς πύλας αὐτὰς καὶ τὸ τεῖχος ἔθεντο καρτερὰν ἱππομαχίαν, καὶ κρατήσαντες, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδα ἀφείλοντο τὴν Μαντίνειαν. Τοῦτο τὸ ἔργον Εὐφράνωρ ἔγραψε, καὶ πάρεστιν ὁρᾷν ἐν εἰκόνι, τῆς μάχης τὸ σύγγραμμα, καὶ τὴν ἀντέρεισιν ἀλκῆς καὶ
F θυμοῦ καὶ πνεύματος γέμουσαν. Ἀλλ' οὐκ ἂν οἶμαι τὴν ζωγράφου κρίσιν προσθείητε πρὸς τὸν στρατηγὸν, οὐδὲ ἀνάσχοισθε τῶν προτιμώντων τὸν πίνακα τοῦ τροπαίου, καὶ τὸ μίμημα τῆς ἀληθείας.

γʹ. Πλὴν ὁ Σιμωνίδης, τὴν μὲν ζωγραφίαν, ποίησιν σιωπῶσαν προσαγορεύει, τὴν δὲ ποίησιν, ζωγραφίαν λαλοῦσαν· ἃς γὰρ οἱ ζωγράφοι πράξεις ὡς γινομένας δεικνύουσι, ταύτας οἱ λόγοι γεγενημένας διηγοῦνται καὶ
7 συγγράφουσιν. Εἰ δὲ οἱ μὲν χρώμασι καὶ σχήμασιν, οἱ

E. 11. τὸ σύγγραμμα] Non dubitandum quin corrigi debeat σύμπηγμα ut vidit etiam Mez. et in mentem venit Reiſkio.

F. 2. τὴν ζωγράφου κρίσιν προσθείητε] Legendum τῷ ζωγράφῳ κρίσιν προσθείητε. Hoc et Græcum et Plutarcheum eſt.

F. 6. προσαγορεύει] Ita E. pro varia lectione annotatum habet. Vulgo προσαγορεύων.

tuti, ſtatim tamen aciem inſtruxerunt: equiteſque inſtructi et provecti uſque ſub ipſas portas muroſque Mantineæ, acre prœlium equeſtre commiſerunt, victoriaque potiti eam urbem e manibus Epaminondæ eripuerunt. Hanc rem Euphranor pinxit, videreque eſt in pugnæ ejus imagine, quanta vi ac fervore animorum pugna fuerit commiſſa atque peracta. Sed non puto vos pictoris artificium ducis virtuti comparaturos, aut paſſuros ſi quis tabulam tropæo, et imitationem ipſi rei vellet præferre.

III. Dixit quidem Simonides *picturam eſſe poeſin tacentem, poeſin picturam loquentem.* Nam quas res tanquam ſi coram agerentur pictores repræſentant, hæ ut præteritæ oratione enarrantur atque conſcribuntur. Et cum pictores

δ'. Καὶ γὰρ ἡ ποιητικὴ χάριν ἔσχε καὶ τιμὴν τοῖς πεπραγμένοις ἐοικότα λέγειν· ὡς Ὅμηρος ἔφη,

Ἴσκε ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα.

Λέγεται δὲ καὶ Μενάνδρῳ τῶν συνήθων τις εἰπεῖν, Ἐγγὺς οὖν Μένανδρε τὰ Διονύσια, καὶ σὺ τὴν κωμῳδίαν οὐ πεποίηκας; τὸν δὲ ἀποκρίνασθαι, Νὴ τοὺς θεοὺς ἔγωγε πεποίηκα τὴν κωμῳδίαν, ᾠκονόμηται γὰρ ἡ διάθεσις, δεῖ δὲ αὐτῇ τὰ στιχίδια ἐπᾳσαι, ὅτι καὶ αὐτοὶ τὰ πράγματα τῶν λόγων ἀναγκαιότερα καὶ κυριώτερα νομίζουσιν. Ἡ δὲ Κόριννα τὸν Πίνδαρον ὄντα νέον ἔτι καὶ τῇ λογιότητι σοβαρῶς χρώμενον, ἐνουθέτησεν ὡς ἄμουσον ὄντα καὶ μὴ ποιοῦντα μύθους, ὃ τῆς ποιητικῆς ἔργον εἶναι συμβέβηκε, γλώσσας δὲ καὶ καταχρήσεις καὶ μεταφορὰς καὶ μέλη καὶ ῥυθμοὺς ἡδύσματα τοῖς πράγμασιν ὑποτίθεται· σφόδρα οὖν ὁ Πίνδαρος ἐπιστήσας

F. 4. ἐπᾳσαι, ὅτι καὶ αὐτοὶ] Forte ἐπᾳσαι ἔτι· καὶ αὐτὸς—νομίζων.
F. 9. γλῶσσας] Sic E. Mez. Vulgo γλῶσσα. Poſtremum ὑποτίθεται ita corrigendum ut ſubaudiatur ἡ ποιητική: aut legendum ὑποθετέον.

IV. Etenim et poeſis gratiam honoremque invenit, factis ſimilia narrans, ut ait Homerus:

Plurima narrabat conficta, ſimillima veris.

Ferunt etiam Menandro familiarium quendam dixiſſe: inſtant Liberalia, et tu comœdiam nondum compoſuiſti? atque eum reſpondiſſe: *Ego mehercle comœdiam feci, argumento jam materiaque diſpoſitis: reſtat tantum ut ei verſus accinam.* Nam ipſi quoque poetæ exiſtimant res magis eſſe quam verba neceſſarias atque præcipuas. Corinna etiam Pindarum, juvenem adhuc et audacius eloquentia utentem, monuit, eſſe eum artis muſicæ rudem, quod nullas fabulas ſcriptis insereret, quod poetæ eſſet officium: cum elocutio, et figuræ, ornatuſque, et cantilena ac carminis modus tantum eo afferantur, ut rebus propoſitis ſuavitatem concilient: huic admonitioni Pindarus cum animum perat-

γαλέος ἔοικε ποιητὴς γεγονέναι διθυράμβων· καὶ αὐτὸς μὲν ἄγονος καὶ ἀκλεὴς γέγονε, σκωπτόμενος δὲ καὶ χλευαζόμενος ὑπὸ τῶν κωμῳδοποιῶν, οὐκ εὐτυχοῦς δόξης μετέσχηκε. Τῶν δὲ δραματοποιῶν, τὴν μὲν κωμῳδοποιίαν οὕτως ἄσεμνον ἡγοῦντο καὶ φορτικὸν, ὥστε νόμος
C ἦν μηδένα ποιεῖν κωμῳδίας ἀρεοπαγίτην. Ἤνθησε δὲ ἡ τραγῳδία καὶ διεβοήθη, θαυμαστὸν ἀκρόαμα καὶ θέαμα τῶν τότ' ἀνθρώπων γενομένη, καὶ παρασχοῦσα τοῖς μύθοις καὶ τοῖς πάθεσιν ἀπάτην, ὡς Γοργίας φησὶν, ἣν ὅ, τε ἀπατήσας, δικαιότερος τοῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς, σοφώτερος τοῦ μὴ ἀπατηθέντος. Ὁ μὲν γὰρ ἀπατήσας δικαιότερος, ὅτι τοῦτο ὑποσχόμενος πεποίηκεν· ὁ δὲ ἀπατηθεὶς σοφώτερος, εὐάλωτον γὰρ ὑφ' ἡδονῆς λόγων τὸ μὴ ἀναίσθητον. Τίνα οὖν αἱ καλαὶ τραγῳδίαι
D ταῖς Ἀθήναις ὄνησιν ἤνεγκαν; ὡς ἡ Θεμιστοκλέους δεινότης ἐτείχισε τὴν πόλιν, ὡς ἡ Περικλέους ἐπιμέλεια τὴν ἄκραν ἐκόσμησεν, ὡς Μιλτιάδης ἠλευθέρωσεν, ὡς Κίμων

iſſe dithyramborum conditor, homo ſterilis ingenii, et ignobilis: exagitatuſque a comœdiarum ſcriptoribus et deriſus, famam parum ſibi faventem expertus eſt. De dramatibus autem comœdiam ita cenſuerunt eſſe rem indecoram et importunam, ut lege Areopagitæ caverint, ne quis porro comœdiam ſcriberet. Floruit interim tragœdia, ac celebri fuit gloria, auditio et ſpectaculum quod ejus ætatis homines majorem in modum admirarentur, quia fabulis animorumque motibus *fraudem* faceret, *qua et qui deciperet*, ut dicebat Gorgias, *non decipiente juſtior, et qui deciperetur non decepto ſapientior eſſet.* Juſtior decipiens, quia præ ſe hoc tulerat: ſapientior deceptus, quia qui non plane ſunt ſtupidi, facile voluptate orationis capiuntur. Et tamen, quam utilitatem pulchræ iſtæ tragœdiæ Athenienſibus attulerunt? Themiſtoclis certe calliditas muris urbem muniit, Periclis induſtria arcem exornavit, Miltiades libertatem reddidit

ζοντας. Τραγῳδοὶ δὲ αὐτοῖς ὑποκριταὶ καὶ Νικόστρατοι,
F καὶ Καλλιππίδαι, καὶ Μυνίσκοι, καὶ Θεόδωροι, καὶ Πῶλοι συνίπωσαν, ὥσπερ γυναικὸς πολυτελοῦς, τῆς τραγῳδίας κομμωταὶ καὶ διφροφόροι, μᾶλλον δὲ ὡς ἀγαλμάτων ἐγκαυσταὶ καὶ χρυσωταὶ καὶ βαφεῖς παρακολουθοῦντες· σκευῶν δὲ καὶ προσώπων καὶ ξυστίδων ἁλουργῶν, καὶ μηχανῶν ἀπὸ σκηνῆς, καὶ χοροποιῶν, καὶ δορυφόρων δυσπραγμάτευτος λαὸς, καὶ χορηγία πολυτελὴς παρασκευαζέσθω. Πρὸς ἃ Λάκων ἀνὴρ ἀποβλέψας, οὐ κακῶς εἶπεν, ὡς Ἁμαρτάνουσιν Ἀθηναῖοι μεγάλα, τὴν σπουδὴν εἰς τὴν παιδιὰν καταναλίσκοντες, τουτέστι μεγάλων ἀποστόλων δαπάνας καὶ στρατευμάτων ἐφόδια
349 καταχορηγοῦντες εἰς τὸ θέατρον. Ἂν γὰρ ἐκλογισθῇ τῶν δραμάτων ἕκαστον ὅσου κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος εἰς Βάκχας καὶ Φοινίσσας καὶ Οἰδίποδας καὶ Ἀντιγόνην, καὶ τὰ Μηδείας κακὰ καὶ Ἠλέκτρας, ὧν ὑπὲρ τῆς ἡγεμονίας καὶ τῆς ἐλευθερίας πολεμῶν τοὺς βαρβάρους ἀνάλωσεν. Οἱ μὲν στρατηγοὶ πολλάκις

victoriarum præmia: una eant Tragi hiſtriones, et Nicoſtrati, et Callippidæ, et Meniſci, et Theodori, et Poli, tragœdiæ tanquam ſumptuoſæ mulieris comptores et geſtatores, aut potius tanquam ſtatuarum incruſtatores, deauratores et tinctores: ſequantur etiam vaſa, perſonæ, trabeæ purpureæ, machinæ a ſcena; tum choros conficientium et ſtipatorum negotioſiſſima turba: ſumptuſque in iſtas res magnificus paretur. Quæ omnia cernens Laco ille non inepte diceret, *Graviter peccare Athenienſes, res ſerias in ludicrum impendentes:* hoc eſt, magnarum claſſium et exercituum commeatum atque ſumptus in theatrum prodigentes. Si enim rationes ſubducantur quanti conſtiterint ſingulæ Athenienſibus fabulæ, apparebit eos in Bacchas, Phœniſſas, Œdipos, Antigonam, Medeæque et Electræ mala plus feciſſe ſumptuum quam in bella pro imperio et libertate contra barbaros geſta. Etenim imperatores ſæpe ad pugnandum

τούτους, ὅστις εὐτόλμως πρὸς ἔργα τοιαῦτα καὶ γνώμῃ C μὴ καθαρεύει· μηδὲ Μιλτιάδου τοῦ μηδοφόνου, μηδὲ τοῦ περσοκτόνου Θεμιστοκλέους, χειρὸς βακχεῖ' ἐτελέσθη. Ἀρήϊος ὁ κῶμος οὗτος, ἐκ γῆς ἅμα φάλαγξι, καὶ στόλοις ἐκ θαλάττης, καὶ μεμιγμένοις σκύλοις καὶ τροπαίοις βεβριθώς. Κλῦθι Ἐνυὼ Πολέμου θύγατερ, ἐγχέων προοίμιον. Ἀμφύετε ἄνδρες τὸν ἱερόθυτον θάνατον, ὡς ὁ Θηβαῖος Ἐπαμινώνδας εἶπεν, ὑπὲρ πατρίδος καὶ τάφων καὶ ἱερῶν ἐπιδιδόντες ἑαυτοὺς τοῖς καλλίστοις καὶ λαμπροτάτοις ἀγῶσιν, ὧν τὰς νίκας ὁρᾷν μοι δοκῶ προσερχομένας, οὐ βοῦν ἔπαθλον ἑλκούσας, ἢ τράγον, οὐδὲ ἀνεστεμμένας κιττῷ, καὶ Διονυσιακῆς τρυγὸς ὀδωδυίας· ἀλλ' D ὅλαι μὲν πόλεις αὐτῶν εἰσι καὶ νῆσοι καὶ ἤπειροι, καὶ νηχοτάλαντοι, καὶ δήμων ἀποικισμοὶ μυρίανδροι, τροπαίοις δὲ παντοδαποῖς ἀναστέφονται καὶ λαφύροις· ὧν ἀγάλματα

C. 4. μεμιγμένοις] Legendum ἡρμαγμένοις, ut et Reiſkius conjecit.

C. 7. Ἐπαμινώνδας] Puto corrigendum Πίνδαρος, ita quidem niſi forte exciderit dictum Epaminondæ. Loco Ἐνυὼ eſt Ἀλαλὰ alibi, ubi dictum hoc memoratum exſtat. Ἀμφύετε Mez. probabiliter mutat in ἀμφιεῖτε qualem ſententiam item quærebat Reiſkius.

D. 1. νηχοτάλαντοι] Plutarchei eſt coloris quod conjecit Bryan. ad Plut. Vit. t. i. p. 100. ναοὶ χιλιοτάλαντοι.

D. 3. ἀναστέφονται] Sic Leonic. Schott. Anon. T. B.

cedere quicunque nulla re domi militiæque geſta nihil tale audent, animoque non ſunt puro, neque Miltiadis Medicidæ, neque Perſicidæ Themiſtoclis manu orgiis ſunt initiati. Martia hæc eſt caterva in terra phalangibus, in mari claſſibus, ſpoliiſque et tropæis admixtis onuſta. *Audi Alala Belli ſoror: haſtarum hoc exordium.* *Adite viri ſacris mactantem mortem*, ut aiebat Epaminondas Thebanus, *pro patria*, *ſepulchris*, *et aris in pulcherrima vos et ſplendidiſſima date certamina.* Videre mihi videor victorias eorum accedere, non bovem trahentes præmium aut hircum, neque coronatas hedera, et fæcem Bacchicam redolentes. Totas ſecum urbes, inſulas, continentes, et oras maritimas adducunt, coloniaſque populorum ampliſſimas, undique tropæis et ſpoliis coronatæ: quarum ornamenta et monimenta

δόξης καὶ τροπαίων. Ταῦτα ἡ πόλις ἑορτάζει, καὶ ὑπὲρ τούτων θύει τοῖς θεοῖς, οὐκ ἐπὶ ταῖς Αἰσχύλου νίκαις ἢ
F Σοφοκλέους· οὐδὲ ὅτε Καρκίνος Ἀερόπῃ συνῆν, ἢ Ἕκτορι Ἀστυδάμας. Ἀλλὰ ἕκτῃ μὲν ἱσταμένη Βοηδρομιῶνος, ἔτι νῦν τὴν ἐν Μαραθῶνι νίκην ἡ πόλις ἑορτάζει· ἕκτῃ δὲ μηνὸς οἰνοχοεῖται τῆς Χαβρίου περὶ Νάξον ἐπινίκια ναυμαχίας· τῇ δὲ δωδεκάτῃ χαριστήρια ἔθυον ἐλευθερίας, ἐν ἐκείνῃ γὰρ οἱ ἀπὸ Φυλῆς κατῆλθον. Τρίτῃ δ' ἱσταμένου τὴν ἐν Πλαταιαῖς μάχην ἐνίκων· τὴν δὲ ἕκτην ἐπὶ δέκα τοῦ Μουνυχιῶνος, Ἀρτέμιδι καθιέρωσαν, ἐν ᾗ τοῖς Ἕλλησι περὶ Σαλαμῖνα νικῶσιν ἐπέλαμψεν ἡ θεὸς πανσέληνος. Τὴν δὲ δωδεκάτην τοῦ Σκιῤῥοφοριῶνος ἱερωτέραν ἐποίησεν ὁ Μαντινιακὸς ἀγών, ἐν ᾧ τῶν ἄλλων συμμάχων ἐκβιασθέντων καὶ τραπέντων, μόνοι τὸ καθ' ἑαυτοὺς νικήσαντες ἐστήσαντο τρόπαιον ἀπὸ τῶν νικώντων

F. 1. Ἀερόπῃ συνῆν] Forte Ἀλόπῃ ἐνίκα] Illud ſuadet H. Valeſ. ad Harpocrat. p. 43. cui addendus Valcken. Diatr. p. 13. Hoc Reiſkius. Mox ἱσταμένου pro ἱσταμένῃ P. Weſſeling. ad Herod. VI. 106. et Taylor Vit. Lyſ. p. 139. Porro ἕκτῃ μηνὸς in ἕκτῃ μεσοῦντος mutant idem Tayl. et Mez. Denique μὲν ante ἐν Πλαταιαῖς mutavi in τὴν ex E. et Mez.

ſpondebit. Ob hæc populus feſtos agitat dies, ac diis ſacrificat: non ob Æſchyli aut Sophoclis victorias: neque quando Carcinus cum Æropa rem habuit, aut cum Hectore Aſtydamas. Sed ſextam Boedromionis diem hodieque Athenæ feſtam celebrant, memoria Marathoniæ pugnæ. Sexta ultra decimam ejuſdem menſis, vinum funditur ob victoriam navalem Chabriæ apud Naxum ea die partam. Duodecima gratiarum ob receptam libertatem agendarum cauſa ſacrificabant, tunc enim a Phyla in urbem redierunt. Tertia autem ejuſdem menſis die apud Platæas prælio vicerunt. Decimam ſextam Munychionis Dianæ conſecraverunt, tunc enim Luna vincentibus apud Salaminam Græcis pleno orbe apparuit. Duodecimam Scirophorionis ſacram fecit pugna ad Mantineam, in qua pulſis cedentibuſque ſociorum copiis, ſoli a ſua parte vicerunt Athenienſes, tropæumque de vic-

τῆς Ἀριστείδου παραγγελίας νίκης; ἢ τὸν Λυσίου κατὰ τῶν τριάκοντα, τῆς Θρασυβούλου καὶ Ἀρχίου τυραννοκτονίας;
C ἢ τὸν Αἰσχίνου κατὰ Τιμάρχου ἑταιρήσεως, τῆς Φωκίωνος εἰς Βυζάντιον βοηθείας, δι᾽ ἧς ἐκώλυσε τοὺς τῶν συμμάχων υἱοὺς ἐνύβρισμά τε καὶ παροίνημα γενέσθαι Μακεδόνων; ἢ τοῖς κοινοῖς στεφάνοις οὓς τὴν Ἑλλάδα ἐλευθερώσας ἔλαβε, τὸν Δημοσθένους περὶ τοῦ στεφάνου παραβάλωμεν, ἐν ᾧ τοῦτο λαμπρότατον καὶ λογιώτατον ὁ ῥήτωρ πεποίηκεν, ὀμόσας τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, οὐ τοὺς ἐν ταῖς σχολαῖς τὰ μειράκια προδιδάσκοντας, ἐφ᾽ οἷς οὐ τοὺς Ἰσοκράτεις καὶ Ἀντιφῶντας καὶ Ἰσαίους, ἀλλὰ τούτους ἡ πόλις δημοσίαις ταφαῖς ἔθαψεν, ὑποδεξαμένη τὰ λείψανα τῶν σωμάτων· καὶ τούτους ἀπεθέωσε τοὺς ὅρκους ὁ ῥήτωρ ὀμνύων, οὓς οὐκ
D ἐμιμεῖτο. Ἰσοκράτης δὲ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας ὥσπερ ἀλλοτρίαις ψυχαῖς φήσας ἐναγωνί-

B. 11. Ἀρχίου] Legendum Ἀρχίνου ut ſupra p. 345. D.
C. 12. τοὺς ὅρκους] Mez. τοῖς ὅρκοις: quod Reiſkius etiam memorat ex Baſilienſi dubito an recte; niſi præter Baſ. et Xyl. alia ſit Baſilienſis, de qua nec mihi conſtat; nec ab alio monitum vidi.

ad Platæas geſtæ? aut Lyſiæ in triginta tyrannos orationem, Thraſybuli facto et Archini, tyrannum interficientium? aut Æſchinis in Timarchum de ſcortatione, Phocionis facinori Byzantio auxilium ferentis, quo fecit, ne confœderatorum filii ludibrio et contumeliis Macedonum eſſent obnoxii? aut publicis coronis quibus ob liberatam Græciam ille ornatus eſt, comparabimus Demoſthenis orationem pro corona? in qua id unum ſplendidiſſime ac doctiſſime fecit orator, quod majores ſuos juravit qui apud Marathonem pro libertate propugnaſſent: potius quam eos qui ſcholis adoleſcentulos docent, in quibus erant Iſocrates, Antiphontes, Iſæi: verum illos quorum civitas publica ſepultura reliquias dignata eſt, in deorum numerum retulit orator, jurans eos, quos non imitaretur. Iſocrates autem cum eos qui in Marathone periculum vitæ pro patria adiviſſent, *tanquam*

ἀνήλωσεν ἵνα γράψῃ τὸν Πανηγυρικὸν λόγον, οὐ στρατευσάμενος ἐν τούτοις τοῖς χρόνοις, οὐδὲ πρεσβεύσας, οὐδὲ πόλιν κτίσας, οὐδὲ ναύαρχος ἐκπεμφθείς, καίτοι μυρίους τοῦ τότε χρόνου πολέμους ἐνεγκάντος· ἀλλ᾽ ἐν ᾧ Τιμόθεος Εὔβοιαν ἠλευθέρου, καὶ Χαβρίας περὶ Νάξον ἐναυμάχει, καὶ περὶ Λέχαιον Ἰφικράτης κατέκοπτε τὴν Λακεδαιμονίων μοῖραν, καὶ πᾶσαν ἐλευθερώσας πόλιν ὁ
12 δῆμος, ἰσόψηφον αὐτοῖς τὴν Ἑλλάδα κατέστησεν, οἴκοι καθῆστο, βιβλίον ἀναπλάττων τοῖς ὀνόμασιν, ὅσῳ χρόνῳ τὰ προπύλαια Περικλῆς ἀνέστησε καὶ τοὺς ἑκατομπέδους. Καίτοι καὶ τοῦτον ὡς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων Κρατῖνος, οὕτω πως λέγει, περὶ τοῦ διὰ μέσου τείχους,

Λόγοισι γὰρ αὐτὸν προάγει Περικλέης,
Ἔργοισι δὲ οὐδὲ κινεῖ.

Σκόπει δὲ σοφιστικὴν μικροφροσύνην, τὸ ἔνατον μέρος

F. 9. μοῖραν] Rectius μόραν. Monitum Mez. et Reiſk.

da Panegyrica oratione: cum quidem tanto temporis ſpatio nunquam neque militaſſet, neque legationem obiviſſet, neque urbem condidiſſet, neque claſſi præfectus emiſſus eſſet: et tamen innumera bella in id tempus inciderunt. Verum interim dum Timotheus Eubœam liberat, Chabrias navali prœlio apud Naxum depugnat, Iphicrates apud Lechæum Lacedæmoniorum legionem (Moram ipſi dicunt) concidit, et populus omni in libertatem reſtituta urbe, ſecum ut ſentiret Græcia effecit: noſter ille domi deſedit, librum vocabulis ſuis effingens tanto tempore quanto Pericles Propylæa et Hecatompedum exſtruxit. Quanquam hunc ipſum quoque, ut opus tarde conficientem, dicterio impetens Cratinus, ita fere loquitur de ducendo per medium muro,

Verbis eum Pericles promovet quidem,
Ipſa tamen re proficit nihil.—

Ac mihi ſophiſticam conſidera puſillanimitatem, quæ nonam

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ

ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ.

PLUTARCHI

DE

ISIDE ET OSIRIDE.

α'. ΠΑΝΤΑ μὲν, ὦ Κλέα, δεῖ τἀγαθὰ τοὺς νοῦν ἔχοντας αἰτεῖσθαι παρὰ τῶν θεῶν, μάλιστα δὲ τῆς περὶ αὐτῶν ἐπιστήμης, ὅσον ἐφικτόν ἐστιν ἀνθρώποις, μετιόντες, εὐχόμεθα τυγχάνειν παρ' αὐτῶν ἐκείνων· ὡς οὐθὲν ἀνθρώπῳ λαβεῖν μεῖζον, οὐ χαρίσασθαι θεῷ
D σεμνότερον ἀληθείας. Τὰ ἄλλα μὲν γὰρ ἀνθρώποις ὁ

D. 1. Τὰ ἄλλα μὲν γὰρ—χρώμενος.] Locus mutilus, ita ſupplendus e veſtigiis ſcripturæ et Euſtratio in Ariſtot. Ethic. L. vi. p. 98, 6. Τὰ ἄλλα μὲν γὰρ ἀνθρώποις ὁ θεὸς ὧν δέονται δίδωσιν, νοῦ δὲ καὶ φρονήσεως μεταδίδωσιν, οἰκεῖα κεκτημένος ταῦτα καὶ χρώμενος. Latine reddidimus.

I. QUI ſapiunt, O Clea, iis omnia bona ſunt a diis immortalibus petenda: maxime autem cognitionem deorum, pro captu humanæ naturæ, conſectantes, ab ipſis petimus nobis eam concedi: quia neque majus homo accipere, neque dignius dare munus homini deus poteſt veritate. Reliqua quippe quæ precantur homines, deus iis

μάθησιν ἔχουσα καὶ τὴν ζήτησιν, ἁγνείας τε πάσης καὶ νεωκορίας ἔργον ὁσιώτερον, οὐχ ἥκιστα δὲ τῇ θεῷ ταύτῃ
F κεχαρισμένον, ἣν σὺ θεραπεύεις ἐξαιρέτως σοφὴν καὶ φιλόσοφον οὖσαν, ὡς τοὔνομά τε φράζειν ἔοικε παντὸς μᾶλλον αὐτῇ τὸ εἰδέναι καὶ τὴν ἐπιστήμην προσήκουσαν. Ἑλληνικὸν γὰρ ἡ Ἶσίς ἐστι, καὶ ὁ Τυφὼν πολέμιος τῇ θεῷ, καὶ δι᾽ ἄγνοιαν καὶ ἀπάτην τετυφωμένος, καὶ διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι, καὶ παραδίδωσι τοῖς τελουμένοις θειώσεως, σώφρονι μὲν ἐνδελεχῶς διαίτῃ, καὶ βρωμάτων πολλῶν
152 καὶ ἀφροδισίων ἀποχαῖς κολουούσαις τὸ ἀκόλαστον καὶ φιλήδονον, ἀθρύπτους δὲ καὶ στεῤῥὰς ἐν ἱεροῖς λατρείας ἐθιζούσαις ὑπομένειν, ὧν τέλος ἐστὶν ἡ τοῦ πρώτου καὶ κυρίου καὶ νοητοῦ γνῶσις, ὃν ἡ θεὸς παρακαλεῖ ζητεῖν παρ᾽

F. 4. πολέμιος τῇ θεῷ] Addendum ὤν, ut recte monuit Reiſk.

F. 7. θειώσεως] Minime ſincerum. In promptu eſt conficere θείως ὁσίως τε: veriſimilius tamen videtur, Plutarchum reliquiſſe Ἰσιακοῖς.

A. 1. κολουούσαις—ἐθιζούσαις] Prius et diſerte et recte habet Venet. unde conſequens erat ut alterum ipſi corrigeremus. Vulgo, κολουούσαις—ἐθιζούσῃ.

uſurpans inquiſitionem ac perceptionem: et res quavis caſtimonia, quovis æditui munere ſanctior: non leviter eadem grata iſti deæ, quam tu colis eximie ſapientem et rerum cognitioni deditam: et ipſo e nomine intelligitur, nulli alii numini magis convenire ſcientiam atque cognitionem. Græca enim Iſis vox eſt, a ſcientia demanans: et hujus deæ inimicus Typhon, a faſtu, qui *typhos* Græcis dicitur, nomen habet, quod inſcitia et erroribus inflatus, diſcerpat aboleatque ſacram doctrinam, quam Dea colligit, componit, traditque divinitati comparandæ initiatis: eoſque temperanti continenter victus rationi, et abſtinentiæ multorum ciborum ac rei Venereæ adſuefactos, qua libido et voluptatum appetentia reprimuntur, ſacra in templis luxus expertia et auſtera obire condocefacit: quorum finis eſt, primi, rerum domini, ac ſola mente percipiendi cognitio dei: quem

ὑποδηλοῦντα οἴησιν, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν
ἱερὰν ἀποφαίνεται. Διὸ καὶ τὸ κοσμεῖσθαι τούτοις τοὺς
ἀποθανόντας Ἰσιακοὺς σύμβολόν ἐστι τοῦ τε τὸν λόγον
C εἶναι μετ' αὐτῶν, καὶ τοῦτον ἔχοντας, ἄλλο δὲ μηδὲν,
ἐκεῖ βαδίζειν. Οὔτε γὰρ φιλοσόφους πωγωνοτροφίαι,
ὦ Κλέα, καὶ τριβωνοφορίαι ποιοῦσιν, οὔτε Ἰσιακοὺς αἱ
λινοστολίαι καὶ ξυρήσεις· ἀλλὰ Ἰσιακός ἐστιν ὡς ἀληθῶς,
ὁ τὰ δεικνύμενα καὶ δρώμενα περὶ τοὺς θεοὺς τούτους,
ὅταν νόμῳ παραλάβῃ, λόγῳ ζητῶν, καὶ φιλοσοφῶν περὶ
τῆς ἐν αὐτοῖς ἀληθείας.

δ'. Ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο
καὶ τὸ σμικρότατον λέληθεν, ἐφ' ὅτῳ τὰς τρίχας οἱ
ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν· οἱ μὲν οὐδ'
ὅλως φροντίζουσι εἰδέναι περὶ τούτων· οἱ δὲ τῶν μὲν
D ἐρίων, ὥσπερ τῶν κρεῶν, σεβομένους τὸ πρόβατον, ἀπέχεσθαι
λέγουσι, ξυρεῖσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ

B. 9. ὑποδηλοῦντα] ὑποδηλοῦντες legunt Mez. Bentl. Markl. Reiſk. item paulo ante καὶ περιστέλλοντες μὲν τὰ μέλανα. Mez. et Reiſk. Non magnopere opus correctione ſi ὑποδηλοῦντα ad λόγον referas.

C. 10. οἱ μὲν] Mez. et Reiſk. οἱ μὲν γάρ.

ſententiam monſtrantia amplectuntur. Quod ipſum veſte quoque ſacra ſignificatur. Itaque mortui Iſiaci hac ornantur, quod ſignum eſt eo iſtos abire, nulla alia re quam doctrina inſtructos. Non enim, O Clea, philoſophum barba et pallium, neque Iſiacum lini geſtatio aut raſura faciunt: ſed Iſiacus is vere eſt, qui quæ oſtenduntur et aguntur de diis iſtis, rite comparat cum rebus, et veritatem philoſophica inquiſitione indagat.

IV. Vulgo enim etiam uſitatiſſima iſta atque minima ſunt incognita, cur capillos ponant ſacerdotes, cur lineas gerant veſtes: quidam ne curant quicquam his de rebus cognoſcere: alii lanis eos, ut et carnibus ovium, religionis gratia putant abſtinere, radi capita ob luctum, linum gerere ob colorem quem flos lini

βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν, ἥκιστα δὲ φθειροποιόν, ὥς λέγουσι· περὶ ὧν ἕτερος λόγος.

ε. Οἱ δὲ ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλά, καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν· ἄλλας τε πλείονας αἰτίας ἔχοντας, καὶ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. Τὸ γάρ, ὡς Ἀρισταγόρας ἔλεγε, διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζώων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας, εὔηθές
353 ἐστι. Λέγονται δὲ καὶ τὸν Ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν, τοῦ δὲ Νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγουμένους τὸ ὕδωρ διὰ τὸν κροκόδειλον, ὡς ἔνιοι νομίζουσιν· οὐδὲν γὰρ οὕτω τίμιον Αἰγυπτίοις ὡς ὁ Νεῖλος· ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ

F. 9. ποτικωτέρους—ἐπιθήγοντας] Addatur τὸ ante ποτικωτέρους.—Ἐπιθήγοντας ex Ald. Baſ. Xyl. A. E. Flor. Vulgo ἐπιθιγόντας.

omnibus anni temporibus, minimeque pediculos gignit, ut aiunt: de quo alia eſt diſputatio.

V. Sacerdotes autem ita abhorrent ab excrementorum natura, ut non legumina modo pleraque averſentur, et carnes ovillas ac ſuillas, quæ multum ſupervacanei gignunt: ſed ſalem quoque cibis detrahant quo tempore ſanċte ac pure vivunt: cum aliis hoc de cauſis, tum quod ſal appetitu exacuendo magis bibulos et voraciores reddit. Stultum eſt enim ſalem propterea pro immundo haberi, quod, ut Ariſtagoras ait, dum is cogitur, multa animalcula deprehenſa ei immoriantur. Dicuntur etiam Apin peculiari e puteo potare, et a Nilo eum omnibus modis arcere: non quod pollutam Nili aquam propter crocodilum cenſeant, ut viſum quibuſdam: cum nihil in majore ſit Ægyptiis honore atque Nilus: ſed quia ejus aqua pota creditur pinguedinem carniſ-

C γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖ καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους. Ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων.

ζʹ. Ἰχθύων δὲ θαλαττίων, πάντες μὲν οὐ πάντων ἀλλ' ἐνίων ἀπέχονται· καθάπερ Ὀξυρυγχῖται τῶν ἀπ' ἀγκίστρου, σεβόμενοι γὰρ τὸν ὀξύρυγχον ἰχθὺν, δεδίασι μή ποτε τὸ ἄγκιστρον οὐ καθαρόν ἐστιν ὀξυρύγχου περιπεσόντος αὐτῷ. Συηνῖται δὲ φάγρου· δοκεῖ γὰρ ἐπιόντι
D τῷ Νείλῳ συνεπιφαίνεσθαι, καὶ τὴν αὔξησιν ἀσμένοις φράζειν αὐτάγγελος ὁρώμενος. Οἱ δ' ἱερεῖς ἀπέχονται πάντων· πρώτου δὲ μηνὸς ἐνάτῃ τῶν ἄλλων Αἰγυπτίων ἑκάστου πρὸ τῆς αὐλείου θύρας ὀπτὸν ἰχθὺν κατεσθίοντος, οἱ ἱερεῖς οὐ γεύονται μὲν, κατακαίουσι δὲ πρὸ τῶν θυρῶν τοὺς ἰχθῦς· δύο λόγους ἔχοντες, ὧν τὸν μὲν ἱερὸν καὶ

C. 2. ἔκφρονας ποιεῖ—προγόνων] Markl. πιεῖν. Squirius ultimam vocem mutat in πηληγόνων. Utrumque veriſimiliter.

permixtis putant vites eſſe ortas; itaque etiam ebrietas inſanos facit et abalienat mente, impletis hominibus ſanguine ſuorum majorum. Atque hæc Eudoxus ſecundo Circuitionis libro a ſacerdotibus ita narrari ſcribit.

VII. Piſcibus autem marinis non omnes omnibus, ſed quibuſdam abſtinent: ut Oxyrynchitæ hamo captis; quia enim Oxyrynchum piſcem, ſic ab acuto dictum roſtro, venerantur, metuunt ne hamus aliquando Oxyryncho tactus polluatur. Syenitæ etiam phagrum cavent: videtur enim una cum Nilo apparere, ejuſque exoptatum incrementum conſpectus ipſe nunciare. Sacerdotes omnibus abſtinent piſcibus. Primi autem menſis nono die, cum reliquorum Ægyptiorum unuſquiſque ante fores domus ſuæ aſſum piſcem edat: ſacerdotes non guſtant, ſed ante januam ædium comburunt piſces. Cujus rei duæ ſunt rationes: ſacra altera et

τῶν κρομμύων ἐπιδραττόμενον, ἐσχάτως ἀπίθανον· οἱ δὲ ἱερεῖς ἀφοσιοῦνται καὶ δυσχεραίνουσι καὶ τὸ κρόμμυον παραφυλάττοντες, ὅτι τῆς σελήνης φθινούσης μόνον, εὐτροφεῖν τοῦτο καὶ τεθηλέναι πέφυκεν. Ἔστι δὲ πρόσφορον οὔτε ἁγνεύουσιν οὔτε ἑορτάζουσι, τοῖς μὲν, ὅτι διψῆν, τοῖς δὲ, ὅτι δακρύειν ποιεῖ τοὺς προσφερομένους. Ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῶον ἡγοῦνται· ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης· καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας.
154 Τὸν δὲ λόγον, ὃν θύοντες ἅπαξ ὗν ἐν πανσελήνῳ, κατ-εσθίοντες ἐπιλέγουσιν, ὡς ὁ Τυφῶν ὗν διώκων πρὸς τὴν πανσέληνον, εὗρε τὴν ξυλίνην σορὸν, ἐν ᾗ τὸ σῶμα τοῦ Ὀσίριδος ἔκειτο, καὶ διέρριψεν, οὐ πάντες ἀποδέχονται παρακυσμάτων ὥσπερ ἄλλα πολλὰ νομίζοντες· ἀλλὰ τρυφήν γε καὶ πολυτέλειαν καὶ ἡδυπάθειαν οὕτω προβαλλέσθαι τοὺς

F. 3. καὶ τὸ κρόμμυον] καὶ delendum cum Squirio.

A. 1. ἅπαξ ὗν] Forte ἅπαξ τοῦ ἔτους ὗν: ut Squir. corrigit. Proxime κατισθίοντες recte mutandum in καὶ ἐσθίοντες judicat Bentleius.

A. 4. παρακυσμάτων] Forte παρακουσμάτιον ut Bentl. Baxt. Squir. Aliter Petav. ad Syneſ. p. 19. παράκυσμα τοῦτο. Alterutrum probandum.

treme eſt abſurdum. Sed ſacerdotes averſantur cæpam et cavent, quia ſola hæc planta Luna decreſcente vigere et augeſcere ſolet: et cæpæ uſus neque caſtimoniam exercentibus commodus eſt, neque dies feſtos celebrantibus, alteris quia ſitim creat, alteris quia lachrymas elicit. Suem quoque alienum a ſacris animal cenſent; quod maxime coeat Luna decreſcente, et lac ejus bibentium corpora lepram aſperamque ſcabiem efferant. Quod autem ſemel in plenilunio ſuem mactantes comedunt, rationemque hanc reddunt, Typhonem cum plena Luna ſuem perſequeretur reperiſſe ligneam arcam, in qua Oſiridis corpus jacebat, idque diſjeciſſe: id non omnes probant, ſed, ut et alia multa, non recte inauditam rem exiſtimant. Enimvero priſcos aiunt ita luxuriam, prodigalitatem, ac deliciarum ſtudium traduxiſſe, ut

ἔχουσιν, ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ, πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. Τὸ δ' ἐν Σάει τῆς Ἀθηνᾶς, ἣν καὶ Ἶσιν νομίζουσιν, ἕδος ἐπιγραφὴν εἶχε τοιαύτην, ΕΓΩ ΕΙΜΙ ΠΑΝ ΤΟ ΓΕΓΟΝΟΣ, ΚΑΙ ΟΝ, ΚΑΙ ΕΣΟΜΕΝΟΝ· ΚΑΙ ΤΟΝ ΕΜΟΝ ΠΕΠΛΟΝ ΟΥΔΕΙΣ ΠΩ ΘΝΗΤΟΣ ΑΠΕΚΑΛΥΨΕΝ. Ἔτι δὲ τῶν πολλῶν νομιζόντων ἴδιον παρ' Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν Ἀμοῦν, ὃ παράγοντες ἡμεῖς Ἄμμωνα λέγομεν, Μανεθὼς μὲν ὁ
D Σεβεννίτης τὸ κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς· Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης φησὶ τούτῳ καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς Αἰγυπτίους, ὅταν τινὰ προσκαλῶνται· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. Διὸ τὸν πρῶτον θεὸν τῷ παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα, προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι

D. 5. θεὸν τῷ παντὶ] Legendum θεὸν ἐν τῷ παντὶ ut conjiciunt Bentl. Markl. Squir.

habentibus, quod ſane ipſi declarant, ante templa Sphinges plerumque collocantes: quo innuunt, ſuam rerum ſacrarum doctrinam conſtare perplexa et ſub involucris latente ſapientia. Quod Sai eſt Minervæ, quam eandem atque Iſidem arbitrantur, fanum, hanc habebat inſcriptionem: *Ego ſum omne quod exſtitit, eſt, et erit: meumque peplum nemo adhuc mortalium detexit.* Porro cum plerique exiſtiment peculiare apud Ægyptios nomen Jovis eſſe *Amun*, quod nos producto vocabulo *Ammonem* dicimus: Manethos Sebennita ea voce occultatum, et occultationem judicat ſignificari: Hecatæus autem Abderita hoc verbo invicem uti Ægyptios ait cum alter alterum vocat; eſſe enim vocem invocativam, et cum principem deum eundem atque Univerſum putent, utpote obſcurum et abſconditum, vocari ab iis et orari *Amun* di-

καὶ τὸ τὴν μονάδα τοὺς ἄνδρας ὀνομάζειν Ἀπόλλωνα, καὶ δυάδα τὴν Ἄρτεμιν, Ἀθηνᾶν δὲ τὴν ἑβδομάδα, Ποσειδῶνα δὲ τὸν πρῶτον κύβον, ἐοικέναι τοῖς ἐπὶ τῶν ἱερῶν ἱδρυμένοις, καὶ δρωμένοις νὴ Δία καὶ γραφομένοις. Τὸν γὰρ βασιλέα καὶ κύριον Ὄσιριν ὀφθαλμῷ καὶ σκήπτρῳ
355 γράφουσιν· ἔνιοι δὲ καὶ τοὔνομα διερμηνεύουσι πολυόφθαλμον, ὡς τοῦ μὲν ΟΣ τὸ πολὺ· τοῦ δὲ ΙΡΙ τὸν ὀφθαλμὸν Αἰγυπτίᾳ γλώττῃ φράζοντος. Τὸν δὲ οὐρανὸν, ὡς ἀγήρω διὰ ἀϊδιότητα καρδίᾳ θυμὸν ἐσχάρας ὑποκειμένης. Ἐν δὲ Θήβαις εἰκόνες ἦσαν ἀνακείμεναι δικαστῶν ἄχειρες· ἡ δὲ τοῦ ἀρχιδικαστοῦ, καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν. Τοῖς δὲ μαχίμοις κάνθαρος ἦν γλυφὴ σφραγῖδος· οὐ γάρ ἐστι κάνθαρος θῆλυς, ἀλλὰ πάντες ἄρσενες· τίκτουσι δὲ τὸν

F. 6. τὸ τὴν μονάδα] τὸ neſcio quare omiſerit Steph. Eſt vero in Ald. Baſ. Xyl. A. E.

F. 8. ἐπὶ τῶν ἱερῶν] τῶν revocavimus ex Ald. Baſ. Xyl.

A. 2. ὡς τοῦ μὲν—φράζοντος] τοῦ ſumpſimus ex Ald. Baſ. Xyl. E. καὶ τοῦ μὲν habet Venet. Flor. Huic conſequens erat corrigere φράζοντος pro vulgato φράζοντες.

A. 4. θυμὸν ἐσχάρας ὑποκειμένης] Legendum videtur θυμιατηρίῳ ὑποκειμένῳ: ut partim Xyl.

A. 9. τίκτουσι δὲ τὸν γόνον—παρασκευάζοντες.] ὅλον abeſt in Ald. Baſ. Xyl. et

gorei unitatem appellant Apollinem, binarium Dianam, ſeptenarium Mineryam, primum cubum Neptunum, convenire cum his quæ fixa ſunt in templis, atque adeo aguntur et pinguntur. Regem enim et dominum Oſirin, oculo et ſceptro pictis exprimunt: et nomen quidam interpretantur Multioculum: quod *Os* Ægyptiorum ſermone, multum: *Iri*, oculum notet. Cœlum, quia ob perpetuitatem nunquam ſeneſcat, corde picto ſignificant, cui focus ardens ſubjectus ſit. Thebis ſimulachra fuerunt dedicata judicum manibus carentium, et princeps judicum oculos in terram dejectos habens: quo notabatur, juſtitiam donis et alloquiis non eſſe obnoxiam. Bellicoſis ſculptura annuli erat ſcarabeus: hoc enim inſectum ſexu femineo caret, omnes ſunt maſculi et ſemine in materiam in globum redactam immiſſo propagant

ἀποσφάξαντα καὶ καταδειπνήσαντα μετὰ τῶν φίλων,
ἐκάλεσαν Μάχαιραν, καὶ καλοῦσι μέχρι νῦν οὕτως ἐν
τῷ καταλόγῳ τῶν βασιλέων, οὐ κυρίως δήπου τὴν οὐσίαν
αὐτοῦ σημαίνοντες, ἀλλὰ τοῦ τρόπου τὴν σκληρότητα καὶ
κακίαν ὀργάνῳ φονικῷ παρεικάζοντες. Οὕτω δὴ τὰ
περὶ θεῶν ἀκούσασα καὶ δεχομένη παρὰ τῶν ἐξηγουμένων
τὸν μῦθον ὁσίως καὶ φιλοσόφως, καὶ δρῶσα μὲν ἀεὶ καὶ
διαφυλάττουσα τῶν ἱερῶν τὰ νενομισμένα, τοῦ δὲ ἀληθῆ
D δόξαν ἔχειν περὶ θεῶν, μηδὲν οἰομένη μᾶλλον μήτε θύσειν
μήτε ποιήσειν αὐτοῖς κεχαρισμένον, οὐδὲν ἔλαττον ἀπο-
φεύξοιο κακὸν ἀθεότητος δεισιδαιμονίαν.

ιβ΄. Λέγεται δὲ ὁ μῦθος οὗτος ἐν βραχυτάτοις ὡς ἔνεστι μάλιστα· τῶν ἀχρήστων σφόδρα καὶ περιττῶν ἀφαιρεθέντων. Τῆς Ῥέας φασὶ κρύφα τῷ Κρόνῳ συγγενομένης, αἰσθόμενον ἐπαράσασθαι τὸν Ἥλιον αὐτῇ μήτε μηνὶ, μήτε ἐνιαυτῷ τεκεῖν· ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ

D. 4. μῦθος οὗτος] Verius μῦθος οὕτως ut Baxter. et Squir.

Apin quoque ad extremum mactaſſet et cum amicis epulando abſumpſiſſet, *Gladium* vocaverunt, itaque etiamnum in recenſione regum appellant: non ſane ſubſtantiam ejus ita exprimentes, ſed morum aſperitatem ac malitiam inſtrumento cædibus parato adſimilantes. Hac itaque ratione ea quæ dicuntur de diis inaudiens atque accipiens ab iis qui fabulam pie ac philoſophice interpretantur, rituſque ſacrorum legitimos obiens et ſervans perpetuo, ac ſtatuens nullum diis te ſacrificium, nullum præſtare officium poſſe perinde gratum, ac ſi de iis recte ſentias, non levius impietate vitium ſuperſtitionem evitabis.

XII. Fabula ipſa, inutilibus omnino et otioſis quantum fieri poteſt amputatis, ſic breviſſime narratur. Rheæ aiunt occulte cum Saturno congreſſæ Solem, qui id flagitium deprehendiſſet, imprecatum fuiſſe ut neque in menſe neque in anno pareret: ſed Mercurium amore deæ captum, cum ea col-

καλοῦσι· τῇ τρίτῃ δὲ Τυφῶνα, μὴ καιρῷ, μηδὲ κατὰ χώραν, ἀλλ' ἀναῤῥήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξάλλεσθαι· τετάρτῃ δὲ τὴν Ἶσιν ἐν πανύγροις γενέσθαι· τῇ δὲ πέμπτῃ Νέφθυν, ἣν καὶ Τελευτὴν καὶ Ἀφροδίτην, ἔνιοι δὲ καὶ Νίκην ὀνομάζουσιν. Εἶναι δὲ τὸν μὲν Ὄσιριν ἐξ ἡλίου καὶ τὸν Ἀρούηριν, ἐκ δὲ Ἑρμοῦ τὴν Ἶσιν, ἐκ δὲ τοῦ Κρόνου τὸν Τυφῶνα καὶ τὴν Νέφθυν·
56 διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων, ἀποφράδα νομίζοντες οἱ βασιλεῖς, οὐκ ἐχρημάτιζον, οὐδὲ ἐθεράπευον αὑτοὺς, μέχρι νυκτός. Τιμᾶσθαι δὲ τῷ Τυφῶνι τὴν Νέφθυν. Ἶσιν δὲ καὶ Ὄσιριν ἐρῶντας ἀλλήλων, καὶ πρὶν ἢ γενέσθαι, κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. Ἔνιοι δέ φασι καὶ τὸν Ἀρούηριν οὕτω γεγονέναι, καὶ καλεῖσθαι πρεσβύτερον Ὧρον ὑπ' Αἰγυπτίων, Ἀπόλλωνα δὲ ὑπὸ Ἑλλήνων.

ιγ'. Βασιλεύοντα δὲ Ὄσιριν Αἰγυπτίους μὲν εὐθὺς

F. 5. Νέφθυν] Bis repoſui ex A. E. loco vulgati Νέφθην: et ita in ſequentibus in eodem nomine ex iiſdem libris.

A. 3. Τιμᾶσθαι] Non dubitandum quin vera lectio ſit γήμασθαι: ut jam Xyl. conjecit, et omnes probant correctores.

A. 5. Ἔνιοι δὲ φασι—ὑπὸ Ἑλλήνων] Puto hanc eſſe gloſſam, ortam ex antecedentibus.

ſeniorem dicunt. Tertiâ Typhonem, non ſuo tempore et loco, ſed latere ictu perrupto exſiluiſſe. Quarta Iſidem in Panygris. Quinta Nephthyn, quam et Finem, et Venerem, et Victoriam nominant. Patrem autem Oſiridis et Arueris fuiſſe Solem: Iſidis Mercurium; Typhonis et Nephthys Saturnum: itaque etiam tertium epactarum diem reges pro nefaſto habentes, non dabant reſponſa, neque ante noctem corpora curabant. Porro Nephthyn Typhoni nupſiſſe. Iſidem et Oſiridem mutuo impulſos amore, antequam ex alvo matris exirent, in tenebris corpora miſcuiſſe. Ac ſunt qui ſic natum putant Aruerin, et ab Ægyptiis ſeniorem Orum, a Græcis Apollinem nuncupatum.

XIII. Jam Oſirin regno inito ſtatim Ægyptios inopi et

σωθείη διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. Πειρωμένων δὲ
πάντων καθ᾽ ἕκαστον, ὡς οὐδεὶς ἐνηρμόττεν, ἐμβάντα τὸν
Ὄσιριν κατακλιθῆναι· τοὺς δὲ συνόντας ἐπιδραμόντας,
ἐπιῤῥίψαι τὸ πῶμα, καὶ τὰ μὲν γόμφοις καταλαβόντας
ἔξωθεν, τὰ δὲ θερμοῦ μολίβδου καταχεαμένων ἐπὶ τὸν
ποταμὸν ἐξενεγκεῖν, καὶ μεθεῖναι διὰ τοῦ Ταναϊτικοῦ
στόματος εἰς τὴν θάλασσαν, ὃ διὰ τοῦτο μισητὸν ἔτι νῦν,
καὶ κατάπτυστον ὀνομάζειν Αἰγυπτίους. Ταῦτα δὲ πραχ-
θῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς Ἀθὺρ, ἐν ᾧ τὸν
D σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ εἰκοστὸν ἐκεῖνο
βασιλεύοντος Ὀσίριδος. Ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐ-
τὸν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον.

ιδʹ. Πρώτων δὲ τῶν τὸν περὶ Χέννιν οἰκούντων τόπον Πανῶν καὶ Σατύρων τὸ πάθος αἰσθομένων, καὶ λόγον ἐμβαλλόντων περὶ τοῦ γεγονότος, τὰς μὲν αἰφνιδίους ταῦ-

C. 7. *συνόντας—θερμοῦ μολίβδου καταχεαμένων*] Legendum *συνωμότας—θερμὸν μόλιβδον καταχεαμένους*. Prius conjecerunt Mez. et Markl. poſterius Squirius.
D. 1. *ἐκεῖνο*] Hoc poſt Xyl. et Squir. recepi. Omnes libri habent *ἐκείνῳ*.
D. 4. *Χέννιν—λόγον*] Prius mutandum in *Χέμμιν* ut dedit Squir. monuitque L. Holſten. ad Steph. Byz. p. 355. Poſterius omnes habent Stephano anteriores qui primus, errore credo, invexit *λόγων*.

ſus quantitatem ejus exæquaret: cum omnes periculum feciſſent, neque cuiquam quadraret, Oſirin in eam ingreſſum decubuiſſe: ibi eos qui intererant, accurriſſe, et operculum arcæ injeciſſe, et qua clavis externe, qua liquido plumbo immiſſo cum obfirmaſſent, ad Nilum detuliſſe, et in mare demiſiſſe per Taniticum oſtium: quod eam ob rem hodie nominatu abominabile eſt Ægyptiis. Acta hæc eſſe decima ſeptima die menſis Athyr, quo menſe Sol Scorpium peragrat, annum regnante Oſiride duodetrigeſimum. Alii non regnaſſe, ſed vixiſſe tot annos eum perhibent.

XIV. Cum autem primi hoc ſenſiſſent Panes ac Satyri, qui loca circa Chennin ſita incolunt, et hoc de facto mentionem hominibus injeciſſent, ſubitas multitudinum pertur-

ὡς ἑαυτῇ τὸν Ὄσιριν, καὶ τεκμήριον ἰδοῦσαν, τὸν μελι-
F λώτινον στέφανον ὃν ἐκεῖνος παρὰ τὴν Νέφθυν κατέλιπε, τὸ παιδίον ζητεῖν· (ἐκθεῖναι γὰρ εὐθὺς τεκοῦσαν διὰ φόβον τοῦ Τυφῶνος)· εὑρεθὲν χαλεπῶς καὶ μόγις κυνῶν ἐπαγόντων τὴν Ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι φύλακα καὶ ὀπαδὸν αὐτῆς, Ἄνουβιν προσαγορευθέντα, καὶ λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες τοὺς ἀνθρώπους.

7 ιε'. Ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, ὡς πρὸς τὴν Βύβλον χώραν ὑπὸ τῆς θαλάττης ἐκκυμανθεῖσαν αὐτὴν ἐρίκῃ τινὶ μαλθακῶς ὁ κλύδων προσέμιξεν, ἡ δὲ ἐρίκη κάλλιστον ἔρνος ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς, θαυμάσας δὲ ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κόλπον, ἔρεισμα τῆς στέγης ὑπέστησε. Ταῦτά τε πνεύματι φασὶ δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς

A. 8. κόλπον] Markl. κόρμον.

Oſirin cum ſorore per errorem tanquam ſecum coiviſſe, et argumento rei viſo corona melilotina quam is apud Nephthyn reliquerat, puerulum quæſiviſſe: (nam præ metu Typhonis eum ſtatim mater expoſuerat) magnoque labore canibus indagantibus repertum enutriviſſe: eumque cuſtodem deinceps comitemque habuiſſe, Anubin appellatum, et creditum deos cuſtodire, ut canes hominibus cuſtodes eſſe aſſolent.

XV. Exinde inaudiviſſe arcam apud Byblum maris fluctibus ejectam, ericæ cuidam molliter inſediſſe, ericam autem brevi temporis ſpatio pulcherrimum atque maximum edidiſſe germen, eoque arcam circum amplexam occuluiſſe intra ſe, regem vero admiratum plantæ magnitudinem, præcidiſſe ſinum quo arca non viſa continebatur, ac tecto fulcri loco ſuppoſuiſſe. Hæc aiunt divinitus emiſſo famæ ſpiritu Iſidem edoctam Byblum

τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρις οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐγκραγοῦσαν ὡς εἶδε περικαιόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. Τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρίκην, εἶτα ταύτην μὲν ὀθόνῃ περικαλύψασαν, καὶ μύρον καταχεαμένην, ἐγχειρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέβεσθαι Βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. Τῇ
D δὲ σορῷ περιπεσεῖν, καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐνθανεῖν, τὸν δὲ πρεσβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. Τοῦ δὲ Φαίδρου ποταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ὑπὸ τὴν ἕω, θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον.

ιζ'. Ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν, αὐτὴν καθ' ἑαυτὴν γενομένην, ἀνοῖξαι τὴν λάρνακα, καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν, ἀσπάσασθαι καὶ δακρύειν·

D. 2. ἐνθανεῖν] Rectius erat ἐκθανεῖν, ut Reiſk.
D. 5. ἐκθρέψαντος] Sic Ald. Baſ. Xyl. A. E. Flor. Perperam Steph. ἐκτρέψαντος.

que lamentatam fuiſſe: tandem reginam re obſervata, clamore edito cum videret infantem amburi, eum immortalitate exuiſſe: Deam vero jam patefactam, poſtulaſſe columnam cui tectum incumbebat: eaque ſubducta, nullo negotio ericam amputaviſſe, hancque linteo velatam affuſo unguento regibus in manus tradidiſſe, colique etiamnum a Bybliis lignum iſtud in fano ſitum Iſidis. Ipſam ad arcam accidiſſe, tantoque uſam ejulatu, ut regis filiorum natu minor ex eo ſit mortuus: cum majore et arca Iſidem navi conſcenſa avectam: cumque Phædrus amnis ſub auroram ederet auram aſperiorem, iratam eum exſiccaviſſe.

XVII. Ut primum nacta fuit otium et ſolitudinem, arcam aperuiſſe, facieque faciei impoſita exoſculatam illachry-

νηκότος ἐν κιβωτίῳ περιφερόμενον, οὐκ ἔστιν ὑπόμνημα τοῦ περὶ Ὀσίριδος πάθους, ἥ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰομένους παρακαλεῖν αὐτοὺς χρῆσθαι τοῖς παροῦσιν καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, οὗ χάριν ἐπὶ κῶμον ἐπεισάγουσι.

ιή. Τῆς δὲ Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δὲ ἀγγεῖον ἐκποδὼν ἀποθεμένης, Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην
358 ἐντυχεῖν αὐτῷ, καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη, καὶ διαρρῖψαι· τὴν δὲ Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ, τὰ ἕλη διεκπλέουσαν· ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων, ἢ σεβομένων διὰ τὴν θεόν. Ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν

F. 6. οἰομένους] Acute et, ut puto, vere Marklandus corrigit οἰνωμένους. Ita enim ſane ſcripſerit, non οἰνουμένους, ut in Squirii editione exſtat.
A. 1. τεσσαρεσκαίδεκα] Rectius erat τεσσαρακαίδεκα.
A. 3. τὰ ἕλη] Ita Baſ. Xyl. Squir. Cæteri τὰ δὲ ἕλη.

etiam mortui ſimulachrum in ciſtella circumlatum, non ſit monimentum eorum quæ Oſiridi evenerunt, ut nonnulli exiſtimant: ſed quod cenſeant monendos convivas ita ut fruantur præſentibus, ut mox ipſi quoque tales futuri, ideo inferri eam in convivia imaginem.

XVIII. Cum autem Iſis ad Orum filium, qui Buti educabatur, iter faceret, et arcam extra conſpectum hominum depoſuiſſet, Typhonem, noctu venantem ad Lunam, incidiſſe in arcam eam, cadaverque agnitum in partes quatuordecim diſcerpſiſſe, eaſque disjeciſſe: Iſidem re comperta, paludes papyreo lembo pernavigaſſe et fruſta conquiſiviſſe: hinc eſſe, quod qui papyrinis navigiis vehuntur, ii a crocodilis non infeſtantur, aut metuentibus aut venerantibus eos propter Deam: atque hanc eſſe cauſam, quod multa ſunt in Ægypto ſepulchra Oſiridis, quia Iſis fruſtum quodque ita, ut inciderat,

τί χρησιμώτερον οἴεται ζῷον εἰς μάχην ἐξιοῦσι, τοῦ δὲ Ὥρου Ἵππον εἰπόντος, ἐπιθαυμάσαι καὶ διαπορῆσαι πῶς οὐ λέοντα μᾶλλον, ἀλλ' ἵππον· εἰπεῖν οὖν τὸν Ὧρον ὡς λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον· ἀκούσαντα οὖν ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρεσκευασμένου τοῦ Ὥρου. Λέγεται δὲ ὅτι πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὧρον, καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις, ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν
D περὶ τὸν Ὧρον κατεκόπη· καὶ νῦν διὰ τοῦτο σχοινίον τι προβάλοντες εἰς μέσον κατακόπτουσι. Τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον· τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν, οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δὲ Ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλλόντα τῇ

C. 4. ἀλλ' ἵππον· εἰπεῖν] Puto excidiſſe εἶπεν; ut plane ſcriptum fuerit, ἀλλ' ἵππον εἶπεν· εἰπεῖν.

D. 2. προβαλόντες] Sic E. Bentl. Markl. Squir. Vulgo προσβαλόντες.

tos, ulterius quæſiviſſe, *quodnam animal ad pugnam eunti cenſeret utilius:* cum *equum* reſpondiſſet Orus, miratum fuiſſe et in dubium vocaſſe, quod non leonem potius quam equum dixiſſet, reſpondiſſe Orum, *eſſe leonem utilem indigenti auxilio, equum autem facere ad inſtandum hoſti eumque interficiendum:* his auditis delectatum Oſirin fuiſſe, ut qui ſatis inſtructum ad pugnam Orum ſentiret. Narrant ſubinde compluribus ad Orum tranſeuntibus, pellicem quoque Typhonis, nomine Thueridem ad eum ſe contuliſſe, et anguem qui eam perſequebatur ab Ori hominibus fuiſſe occiſum: ideoque adhuc funiculum in medium projici et conſcindi. Prœlium porro per plures dies duraſſe, ac victoria Orum potitum. Iſidem, cum vinctum Typhonem eſſet nacta, non modo non interfeciſſe, ſed et ſolviſſe et miſſum feciſſe: idque Orum ita indigne tuliſſe, ut matri injece-

δ' οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ δια-
κένοις πλάσμασιν, οἷα ποιηταὶ καὶ λογογράφοι, καθάπερ
οἱ ἀράχναι, γεννῶντες ἀφ' ἑαυτῶν ἀπ' ἀρχῆς ἀνυποθέτου
ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ' ἔχει τινὰς ἀπορίας καὶ
παθῶν διηγήσεις αὐτῇ. Καὶ καθάπερ οἱ μαθηματικοὶ τὴν
ἶριν ἔμφασιν εἶναι τοῦ ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς
59 τὸ νέφος ἀναχωρήσει τῆς ὄψεως, οὕτως ὁ μῦθος ἐνταῦθα
λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διά-
νοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι
καὶ σκυθρωπὸν ἐμφαινόμενον, αἵ τε τῶν ναῶν διαθέσεις,
πῆ μὲν ἀνειμένων εἰς πτερὰ καὶ δρόμους ὑπαιθρίους καὶ
καθαρούς, πῆ δὲ κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων
στολιστήρια Θηβαίοις ἐοικότα καὶ σηκοῖς· οὐχ ἥκιστα δὲ ἡ

F. 4. ἀπ' ἀρχῆς ἀνυποθέτου] Recepi, poſt Squirium, correctionem Bentleii et Baxteri, loco vulgatæ ἀπαρχὰς ἀνυποθέτους.

F. 5. ἀλλ' ἔχει τινὰς ἀπορίας—αὐτῇ] ἔχει E. Flor. P. vulgo ἔχειν: ἀπορίας Marklandus mutat in ὑπονοίας: equidem ἱστορίας conjeceram cum Reiſkio: alterutrum probandum. In αὐτῇ aut aliud latet: aut legendum αὐτὴ ὁρᾷς cum Squirio: vel αὐτὴ οἶσθα cum Reiſkio.

A. 1. ἀναχωρήσει] Legendum ἀναχρώσει: vel ἀνακλάσει, ut Reiſk.

A. 7. Θηβαίοις] Varie tentant Viri docti. Credo veram lectionem eſſe Θήκαις ut Bentleius et Salmaſius voluiſſe videntur, ſcribentes Θήβαις, quod equidem non capio.

iſta non omnino germana eſſe fabularum et inanium figmentorum, qualia comminiſcuntur poetæ et fabularum ſcriptores aranearum inſtar ex ſeipſis gignentes initia nullo fundamento innixa, eaque pertexentes: ſed habere diſputationes quaſdam in ſe, et certorum narrationes eventorum. Et quemadmodum mathematici arcum cœleſtem Solis tradunt eſſe imaginem variatam viſus ad nubem reflexu: ſic fabula hoc loco indicium eſt orationis alio reflectentis intellectum. Declarant hoc ſacrificia lugubrem ac triſtem ſpeciem præ ſe ferentia: tum templorum diſpoſitiones, aliquando in pinnas, et ſtadia deſinentium ſub dio ſita ac pura, aliquando tenebricoſa et operta infra terram habentium ſacraria cellulis ſimilia et adytis. Non minimum huc faci-

C καί. Εὔδοξος δέ, πολλῶν τάφων ἐν Αἰγύπτῳ λε-
γομένων, ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι, καὶ γὰρ πατρίδα
ταύτην γεγονέναι τοῦ Ὀσίριδος· οὐκέτι μέντοι λόγου δεῖσθαι
τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν
Ὀσίριδος. Αἰνῶ δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου, καὶ
χοὰς χεομένας, διὰ τὸ πολλὰ τῶν μυστικῶν ἀναμε-
μίχθαι τούτοις. Οὐ μόνον δὲ τούτων οἱ ἱερεῖς λέγουσιν,
ἀλλὰ καὶ τῶν ἄλλων θεῶν, ὅσοι μὴ ἀγέννητοι μηδὲ ἄφ-
θαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι καμόντα καὶ
θεραπεύεσθαι, τὰς δὲ ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα,
D καὶ καλεῖσθαι κύνα μὲν τὴν Ἴσιδος ὑφ' Ἑλλήνων, ὑπ'
Αἰγυπτίων δὲ Σῶθιν, Ὠρίωνα δὲ τὸν Ὧρον, τὴν δὲ
Τυφῶνος, ἄρκτον. Εἰς δὲ τὰς ταφὰς τῶν τιμωμένων
ζώων, τοὺς μὲν ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ

C. 5. Αἰνῶ δὲ] Legendum Ἐῶ δέ: ſæpiſſime permutantur hæc verba. Marklandus quidem Ὀκνῶ δέ.

D. 2. τὸν Ὧρον] τὴν Ὧρω Xyl. Verſ. Bentl. Markl. Squir.

D. 3. ταφάς] Vulgo vitioſe γραφάς: unde Xyl. Mez. Squir. τροφὰς corrigunt: ταφὰς Salmaſ. Reiſk. Jablonſk. Panth. Æg. Part. I. p. 84. Hoc prætuli, quandoquidem alterutrum recipiendum erat.

XXI. Eudoxus, cum multa in Ægypto ſepulchra Oſiridis perhibeantur, corpus ſitum eſſe Buſiride ait: eam enim fuiſſe patriam ejus: jam de Taphoſiri diſputandum non eſſe, cum ipſum hoc nomen ſignificet *ſepulchrum Oſiridis.* Laudo autem ligni ſectūram, et lini ſciſſionem, et liba quæ inferiarum gratia funduntur; quod his multa admixta ſunt arcanum ſenſum ſacrorum innuentia. Neque horum modo, ſed et reliquorum deorum corpora pontifices aiunt apud ſe, obita morte, depoſita procurari: ſcilicet eorum deorum, qui ortus et interitus expertes non ſint: eorum autem animas in cœlo fulgere, et eſſe ſtellas; nam Iſidis vocari a Græcis Canem, ab Ægyptiis Sothin: Orionem eſſe Ori, Typhonis Urſam. Cum autem ad alenda quæ venerantur animalia ſumptum ſuppeditent conſtitutum Æ-

ὃ καλοῦσιν Ἕλληνες Ἀργώ, τῆς Ὀσίριδος νεὼς εἴδωλον F ἐπὶ τιμῇ κατηστερισμένον, οὐ μακρὰν φέρεσθαι τοῦ Ὠρίωνος καὶ τοῦ Κυνός, ὧν τὸ μὲν Ὥρου, τὸ δὲ Ἴσιδος ἱερὸν, Αἰγύπτιοι νομίζουσιν.

κγʹ. Ὀκνῶ δὲ μὴ τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν, καὶ πολεμεῖν οὐ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δὲ ἀνθρώπων ἔθνεσι καὶ γένεσι κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς τούτους ὁσιότητος οὐδὲν ἀπολιπόντας ἐξ οὐρανοῦ μεταφέρειν ἐπὶ γῆν ὀνόματα τηλικαῦτα, καὶ τιμὴν καὶ πίστιν ὀλίγου δεῖν ἅπασιν ἐκ πρώτης γενέσεως ἐνδεδυκυῖαν ἐξιστάναι καὶ ἀναλύειν μεγάλας μὲν τῷ ἀθέῳ λεῷ κλισιάδας ἀνοίγοντας καὶ ἐξανθρωπίζοντι τὰ θεῖα, λαμπρὰν δὲ τοῖς Εὐημέρου τοῦ Μεσσηνίου φενακισμοῖς παῤῥησίαν διδόντας, ὃς αὐτὸς ἀντίγραφα συνθεὶς ἀπίστου

F. 5. οὐ τῷ πολλῷ χρόνῳ] οὐ revocavimus ex Ald. Baſ. Xyl. Amiot. Mez. Squir. A. E. Venet. In Stephaniana eſt ἐν credo errore operarum: quem propagarunt ſequentes.

A. 2. ἐξανθρωπίζοντι] Markl. ἐξανθρωπίζοντας: recte. Mox ἀνώμαλα legendum cum Bentl. Baxter. Squir. Tum ἀναγεγραμμένων pro ἀναδεγραμμένοις ex Salmaſ. Reiſk. Weſſeling. ad D. S. I. p. 364.

dicitur, inter ſidera relatam in honorem navis Oſiridis, non procul ab Orione et Cane ferri: quorum ſiderum alterum Oro, alterum Iſidi ſacrum Ægyptii cenſent.

XXIII. Vereor autem ne ſit hoc immobilia movere, et *bellum inferre* non tantum, ut Simonides aiebat, *longo tempori*, ſed multis hominibus, gentibus, et familiis, quas religioſus horum deorum cultus quaſi furore divino correptas tenuit: neque aliud mihi fere hoc eſſe videtur, quam tanta nomina e cœlo in terras deducere, honoremque et fidem omnibus propemodum hominibus ab ipſo ortu ingeneratam exturbare atque diſſipare: ac, cum magnas aperire valvas impiæ turbæ, quæ res deorum inhumanas convertit, tum ſplendidam licentiam conciliare impoſturis Euemeri Meſſenii. Is enim commentario conſcripto incredibilium et vanarum fabularum, omne impietatis genus per totum ſpar-

μεγαλαυχίας, ὥς φησιν ὁ Πλάτων, ἅμα νεότητι καὶ ἀνοίᾳ φλεγόμενοι τὴν ψυχὴν μεθ' ὕβρεως ἐδέξαντο θεῶν ἐπωνυμίας, καὶ ναῶν ἱδρύσεις, βραχὺν ἤνθησεν ἡ δόξα χρόνον, εἶτα κενότητα καὶ ἀλαζονείαν μετ' ἀσεβείας καὶ παρανομίας προσοφλόντες,

Ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,

καὶ νῦν, ὥσπερ ἀγώγιμοι δραπέται, τῶν ἱερῶν καὶ τῶν βωμῶν ἀποσπασθέντες οὐδὲν ἀλλ' ἢ τὰ μνήματα καὶ τοὺς τάφους ἔχουσιν. Ὅθεν Ἀντίγονος ὁ γέρων, Ἑρμοδότου
D τινὸς ἐν ποιήμασιν αὐτὸν ἡλίου παῖδα καὶ θεὸν ἀναγορεύοντος, Οὐ τοιαῦτά μοι, εἶπεν, ὁ λασανοφόρος σύνοιδεν. Εὖ δὲ καὶ Λύσιππος ὁ πλάστης Ἀπελλῆν ἐμέμψατο τὸν ζωγράφον, ὅτι τὴν Ἀλεξάνδρου γράφων εἰκόνα, κεραυνὸν ἐνεχείρισεν· αὐτὸς δὲ λόγχην, ἧς τὴν δόξαν οὐδὲ εἷς ἀφαιρήσεται χρόνος, ἀληθινὴν καὶ ἰδίαν οὖσαν.

κε'. Βέλτιον οὖν, οἱ τὰ περὶ τὸν Τυφῶνα καὶ Ὄσιριν καὶ Ἶσιν ἱστορούμενα, μήτε θεῶν παθήματα, μήτε

qui faſtu elati, et, ut Plato ait, ſimul juventute et inſcitia animis inflammatis per laſciviam deorum cognomina acceperunt, ac templa ſibi poni voluerunt, eorum gloria brevi floruit tempore, deinde præter vanitatem et arrogantiam impietatis etiam ac injuſtitiæ culpam ſuſtinentes,

Evolitaverunt tenues ceu fumus in auras
Præpete ſurrepti fato,

et nunc tanquam fugitivi ſervi, in quos jus abducendi eſt dominis, avulſi a templis et aris, nihil præter monumenta et ſepulchra habent. Itaque Antigonus ſenior, cum Hermodotus quidam in carmine ipſum Solis filium et deum prædicaviſſet, *Non talium ſibi conſcium eſſe rerum*, dixit, *ſervum qui matulam geſtaret*. Recte etiam Lyſippus fictor Apellem pictorem reprehendit, quod is imaginem Alexandri fulmen manu tenentem pinxiſſet, ipſe haſtam, hujus inquiens gloriam, quæ vera Alexandro et propria eſſet, nullo tempore abolitum iri.

XXV. Melius ergo faciunt, qui quæ de Typhone, Oſiride, Iſide narrantur, ne-

ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες, αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι.

D κζ΄. Τούτων δὲ καὶ τῶν τοιούτων ἀδελφὰ λέγεσθαί φασι περὶ Τυφῶνος, ὡς δεινὰ μὲν ὑπὸ φθόνου καὶ δυσμενείας εἰργάσατο· καὶ πάντα πράγματα ταράξας, ἐνέπλησε κακῶν γῆν ὁμοῦ τε πᾶσαν καὶ θάλασσαν, εἶτα δίκην ἔδωκεν· ἡ δὲ τιμωρὸς Ὀσίριδος ἀδελφὴ καὶ γυνὴ τὴν Τυφῶνος σβέσασα καὶ καταπαύσασα μανίαν καὶ λύσσαν, οὐ περιεῖδε τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας οὓς ἀνέτλη, καὶ πλάνας αὐτῆς, καὶ πολλὰ μὲν ἔργα σοφίας, πολλὰ δὲ ἀνδρίας, ἀμνηστίαν ὑπολαβοῦσα καὶ σιωπὴν, ἀλλὰ ταῖς ἁγιωτάταις ἀναμίξασα τελεταῖς, εἰκόνας καὶ ὑπονοίας καὶ μίμημα τῶν τότε παθημάτων, εὐσεβείας ὁμοῦ
E δίδαγμα καὶ παραμύθιον ἀνδράσι καὶ γυναιξὶν ὑπὸ συμφορῶν ἐχομένοις ὁμοίων καθωσίωσεν· αὕτη δὲ καὶ Ὄσιρις ἐκ

D. 9. ὑπολαβοῦσα] Legendum ὑπολαβοῦσαν cum Mez. ſenſu quem reddidimus in verſione.

E. 2. ὁμοίων] Corrigunt ita Salmaſ. et Markl. quibus accedit auctoritas codicum A. et E. Vulgo ὁμοίως.

donec ſuppliciis expiati ac luſtrati priſtinæ naturæ locoque ſuo reſtituantur.

XXVII. Horum ac ſimilium germana ſunt, quæ de Typhone feruntur, qui cum odio impulſus et malignitate atrocia patraſſet facinora, omnibuſque conturbatis rebus terras omnes omniaque maria malis impleviſſet, tandem pœnas dederit: Ultrix autem Oſiridis ſoror atque uxor poſtquam Typhonis furias et rabiem compeſcuit atque exſtinxit, non commiſit ut ſilentium et oblivio ſuſciperent certamina ærumnaſque ſuas et errores quibus fuerat jactata, neque paſſa eſt tam multa ſapienter, multa fortiter abs ſe geſta ſilentio obliterari: ſed ſanctiſſimis ſacrificiis admiſcens imagines, indicia, et exempla ſuorum eventorum, ſimul et pietatis documentum, et ſolatium viris mulieribuſque adverſa fortuna utentibus conſecravit. Ipſa autem et Oſiris de bonis geniis ob virtutem in

σιλεὺς ἰδεῖν ἔδοξεν· ἔπεμψεν οὖν Σωτέλη καὶ Διόνυσον,
οἳ χρόνῳ πολλῷ καὶ μόλις, οὐκ ἄνευ μέντοι θείας προ-
62 νοίας, ἤγαγον ἐκκλέψαντες. Ἐπεὶ δὲ κομισθεὶς ὤφθη,
συμβαλόντες οἱ περὶ Τιμόθεον τὸν ἐξηγητὴν καὶ Μανέ-
θωνα τὸν Σεβεννύτην Πλούτωνος ὂν ἄγαλμα, τῷ Κερβέρῳ
τεκμαιρόμενοι καὶ τῷ δράκοντι, πείθουσι τὸν Πτολεμαῖον,
ὡς ἑτέρου θεῶν οὐδενός, ἀλλὰ Σαράπιδός ἐστιν. Οὐ γὰρ
ἐκεῖθεν οὕτως ὀνομαζόμενος ἧκεν, ἀλλ᾽ εἰς Ἀλεξάνδρειαν
κομισθεὶς τὸ παρ᾽ Αἰγυπτίοις ὄνομα τοῦ Πλούτωνος ἐκ-
τήσατο τὸν Σάραπιν. Καὶ μέντοι Ἡρακλείτου τοῦ φυ-
σικοῦ λέγοντος Ἅδης καὶ Διόνυσος οὗτος, ὅτε οὖν μαίνονται
καὶ ληραίνουσιν, εἰς ταύτην ὑπάγουσι τὴν δόξαν· οἱ γὰρ
B ἀξιοῦντες ᾅδην λέγεσθαι τὸ σῶμα τῆς ψυχῆς, οἷον πα-
ραφρονούσης καὶ μεθυούσης ἐν αὐτῷ, γλίσχρως ἀλληγοροῦσι.
Βελτίον δὲ τὸν Ὄσιριν εἰς ταὐτὸ συνάγειν τῷ Διονύσῳ,

A. 1. ὤφθη] Sic Baſ. Xyl. A. E. Flor. Pet. At vero Ald. et hinc Stephanus ὤφθην.
A. 6. οὕτως] Recepi a Salmaſ. Markl. Squir. Vulgo οὗτος.
A. 8. Ἡρακλείτου] Legendum Ἅιδης καὶ Διόνυσος ωὑτὸς, ὅτεῳ μαίνονται καὶ ληραίνουσιν: partim ex Clem. Alex. Protr. p. 22. ubi plenius exſtat Heracliti dictum.

imaginatus fuerat: miſſi itaque Soteles et Dionyſus, longo tempore et ægre, neque ſine providentia divina, furtim ablatum coloſſum ad regem pertulerunt: qui ubi conſpectus fuit, Timotheus interpres, et Manetho Sebennita a Cerbero et dracone conjecturis ductis collegerunt Plutonis eſſe ſimulachrum, Ptolemæoque perſuaſerunt, non eſſe alius dei, quam Sarapidis. Non enim iſthinc hoc nomen gerens venerat: ſed allatus Alexandriam, Sarapidis nomen, quo Ægyptii Plutonem afficiunt, invenit. Jam quod Heraclitus phyſicus dicit, *Pluto et Liber idem, nam qui inſaniunt iidem delirant*, in hanc concedunt ſententiam. Qui enim Ditem exiſtimant corpus animæ dici tanquam deſipientis et ebriæ, in eo interpretatione nimis exili utuntur. Præſtat autem Oſirin cum Baccho eundem facere, et

σορὸν οὕτως ὀνομάζεσθαι, καὶ χαλκᾶς τινας ἐν Μέμφει πύλας Λήθης καὶ Κωκυτοῦ προσαγορευομένας, ὅταν θάπτωσι τὸν Ἆπιν ἀνοίγεσθαι, βαρὺ καὶ σκληρὸν ψοφούσας· διὸ παντὸς ἠχοῦντος ἡμᾶς χαλκώματος ἐπιλαμβάνεσθαι. Μετριώτερον δὲ οἱ παρὰ τὸ ΣΕΥΕΣΘΑΙ καὶ τὸ ΣΟΥΣΘΑΙ τὴν τοῦ παντὸς ἅμα κίνησιν εἰρῆσθαι φάσκοντες. Οἱ δὲ πλεῖστοι τῶν ἱερέων εἰς τὸ αὐτό φασι τὸν Ὄσιριν συμπεπλέχθαι καὶ τὸν Ἆπιν, ἐξηγούμενοι καὶ
D διδάσκοντες ἡμᾶς ὡς εὔμορφον εἰκόνα χρὴ νομίζειν τῆς Ὀσίριδος ψυχῆς τὸν Ἆπιν. Ἐγὼ δέ, εἰ μὲν Αἰγύπτιόν ἐστι τοὔνομα τοῦ Σαράπιδος, εὐφροσύνην αὐτὸ δηλοῦν οἴομαι καὶ χαρμοσύνην, τεκμαιρόμενος ὅτι τὴν ἑορτὴν Αἰγύπτιοι τὰ χαρμόσυνα ΣΑΙΡΕΙ καλοῦσιν· καὶ γὰρ Πλά-

C. 6. καὶ χαλκᾶς τινας—ἐπιλαμβάνεσθαι] Perperam hanc dictionem, ut additam a librario et e margine in contextum invectam, notat Squirius. Saltem ultimum verbum cum Xyl. mutetur in ἐπιλανθάνεσθαι.

C. 10. δὲ οἱ—εἰρῆσθαι] Sic Baſ. et Xyl. in εἰρῆσθαι item conſentiunt Ald. Baſ. Xyl. A. E. Vulgo δὲ—αἱρεῖσθαι: quorum ultimum neſcio quomodo et unde Stephanus arripuerit.

D. 1. εὔμορφον εἰκόνα—τῆς Ὀσίριδος ψυχῆς] Forte rectius ἔμψυχον εἰκόνα—τοῦ Ὀσίριδος: ut infra 368. B.

Græce eſt Soros, Apidis ſic nominari: et apud Memphin æreas quaſdam portas, quæ Lethes et Cocyti, hoc eſt oblivionis atque lamentationis appellentur, aperiri cum Apin ſepeliunt, gravem aſperumque edentes ſonitum: ſcilicet quia quovis æreo opere reſonante nos oblivio invadat. Tolerabilius ſentiunt, qui a *ſeueſthai* et *ſuſthai* deducentes, ſignificant *rapido motu citari Univerſum*. Plerique ſacerdotum in idem aiunt recidere Oſirin et Apin, enarrantque et docent nos, Apin eſſe intelligendum formoſam animæ Oſiridis imaginem. Ego autem, ſiquidem Ægyptia vox eſt *Sarapis*, gaudium ea et lætitiam ſignificari cenſeo: hoc adductus argumento, quod Charmoſyna, id eſt feſtum lætitiæ diem, *Sairei* appellant Ægyptii. Nam et Plato *Aden*, id eſt

καὶ περιπηλακίζοντες, ὄνον δὲ καὶ κατακρημνίζοντες, ὡς Κοπτῖται, διὰ τὸ πυῤῥὸν γεγονέναι τὸν Τυφῶνα καὶ ὀνώδη τὴν χρόαν· Βουσιρῖται δὲ καὶ Λυκοπολῖται σάλπιγξιν οὐ χρῶνται τοπαράπαν, ὡς ὄνῳ φθεγγομέναις ἐμφερές· καὶ ὅλως τὸν ὄνον, οὐ καθαρὸν ἀλλὰ δαιμονικὸν ἡγοῦνται ζῶον εἶναι, διὰ τὴν πρὸς ἐκεῖνον ὁμοιότητα· καὶ πόπανα ποιοῦντες ἐν θυσίαις, τοῦ τε Παϋνὶ καὶ τοῦ Φαωφὶ μηνὸς
163 ἐπιπλάττουσι παράσημον ὄνον δεδεμένον· ἐν δὲ τῇ τοῦ ἡλίου θυσίᾳ τοῖς ἐσομένοις τὸν θεὸν παρεγγυῶσι μὴ φορεῖν ἐπὶ τῷ σώματι χρυσία, μηδὲ ὄνῳ τροφὴν διδόναι. Φαίνονται δὲ καὶ οἱ Πυθαγορικοὶ τὸν Τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν· λέγουσι γὰρ ἐν ἀρτίῳ μέτρῳ ἕκτῳ καὶ πεντηκοστῷ γεγονέναι Τυφῶνα· καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου, Ἅδου καὶ Διονύσου καὶ Ἄρεος εἶναι· τὴν δὲ τοῦ τετραγώνου, Ῥέας, καὶ Ἀφροδίτης καὶ Δήμητρος καὶ

A. 2. ἐσομένοις] Corrigendum σεβομένοις ut correxerunt Xyl. Bentl. Markl. Squir. Mox μηδὲ ὄνῳ Steph. ex Pol. Leonic. Schott. Anon. Antea μὴ δεομένῳ Ald. Baſ. A. E.

minioſe tractant rufos, aſinumque de præcipitio dejiciunt, ut Coptitæ ſolent: propterea quod rufus et aſinino colore fuerit Typho, et Buſiritæ ac Lycopolitæ omnino uſu tubarum abſtinent, quod harum ſonus voci aſininæ ſit ſimilis: planeque animal illud non mundum, ſed geniis peculiare putant ob ſimilitudinem qua ei cum Typhone convenit: et menſibus Payni ac Phaophi cum in ſacrificiis placentas condant, aſinum vinctum in iis effingunt: in Solis item ſacrificio eos qui deum venerantur, hortantur ne in corpore aurum ferant, neve aſino alimentum præbeant. Apparet etiam Pythagoricos Typhoni vim genii adſignaſſe: natum enim eum aiunt eſſe menſura pari, quinquageſima ſexta nimirum: rurſumque triangulam figuram Ditis, Bacchi, et Martis eſſe aiunt: quadratam Rheæ, Veneris, Cereris, Veſ-

χείρονα, ἀπολαύειν τι καὶ τὸν ὄνον ὥσπερ εἴρηται τῆς ὁμοιότητος, διὰ τὴν ἀμαθίαν καὶ τὴν ὕβριν οὐχ ἧττον ἢ διὰ τὴν χρόαν οἴονται. Διὸ καὶ τῶν Περσικῶν βασιλέων ἐχθραίνοντες μάλιστα τὸν Ὦχον, ὡς ἐναγῆ καὶ μιαρὸν, Ὄνον ἐπωνόμασαν· κἀκεῖνος εἰπὼν, Ὁ μέντοι ὄνος οὗτος ὑμῶν κατευωχήσεται τὸν βοῦν, ἔθυσε τὸν Ἄπιν, ὡς Δείνων ἱστόρηκεν. Οἱ δὲ λέγοντες ἐκ τῆς μάχης ἐπὶ ὄνου τῷ Τυφῶνι τὴν φυγὴν ἑπτὰ ἡμέραις γενέσθαι, καὶ
D σωθέντα γεννῆσαι παῖδας, Ἱεροσόλυμον καὶ Ἰουδαῖον, αὐτόθεν εἰσὶ κατάδηλοι τὰ Ἰουδαϊκὰ παρέλκοντες εἰς τὸν μῦθον.

λβ'. Ταῦτα μὲν οὖν τοιαύτας ὑπονοίας δίδωσιν· ἀπ' ἄλλης δὲ ἀρχῆς τῶν φιλοσοφώτερόν τι λέγειν δυναμένων τοὺς ἁπλουστάτους σκεψώμεθα πρῶτον. Οὗτοι δέ εἰσιν οἱ λέγοντες, ὥσπερ Ἕλληνες Κρόνον ἀλληγοροῦσι τὸν χρόνον, Ἥραν δὲ τὸν ἀέρα, γένεσιν δὲ Ἡφαίστου, τὴν εἰς πῦρ ἀέρος μεταβολήν· οὕτω παρ' Αἰγυπτίοις Νεῖλον εἶναι τὸν Ὄσιριν, Ἴσιδι συνόντα τῇ γῇ· Τυφῶνα δὲ τὴν

arbitrantur ſimilitudinis, uti docuimus, pœnas dare, non minus ob inertiam et petulantiam quam ob colorem. Itaque etiam de Perſicis regibus maxime exoſi Ochum, ut ſceleſtum et impurum, *Aſinum* appellarunt: et Ochus hoc fatus, *At enim hic Aſinus veſtrum bovem epulabitur*, Apim mactavit: ut narrat Deino. Qui autem dicunt e prœlio Typhonem aſino vectum per ſeptem dies fugiſſe, elapſumque filios genuiſſe Hieroſolymum et Judæum: facile patet eos Judaicas res in fabulam hanc adſciſcere.

XXXII. Hæc itaque tales ſententias verbis tectas præbent. Nunc alio principio facto, de his quæ magis philoſophice dici videntur, primum ſimpliciſſimas perpendamus opiniones. Sunt qui dicant, quemadmodum apud Græcos Cronos (qui Latinis eſt Saturnus) tempus, Juno aerem, Vulcani ortus mutationem aeris in ignem, notat: ſic apud Ægyptios Oſiride intelligi Nilum, qui cum terra, quam Iſis deſignat, coeat: Typhonem mare eſſe, in quod

ἐστὶ καὶ δευτέρας ἔχει τιμὰς μετὰ τὸν Ἆπιν. Ἔτι τὴν Αἴγυπτον ἐν τοῖς μάλιστα μελάγγειον οὖσαν, ὥσπερ τὸ μέλαν τοῦ ὀφθαλμοῦ, Χημίαν καλοῦσιν· καὶ καρδίᾳ παρεικάζουσι· θερμὴ γάρ ἐστι καὶ ὑγρὰ καὶ τοῖς νοτίοις μέρεσι τῆς οἰκουμένης, ὥσπερ ἡ καρδία τοῖς εὐωνύμοις τοῦ ἀνθρώπου, μάλιστα ἐγκέκλειται καὶ προσκεχώρηκεν.

λδ΄. Ἥλιον δὲ καὶ σελήνην οὐχ ἅρμασιν ἀλλὰ πλοίοις ὀχήμασι χρωμένους περιπλεῖν ἀεὶ, αἰνιττόμενοι D τὴν ἀφ᾽ ὑγροῦ τροφὴν αὐτῶν καὶ γένεσιν. Οἴονται δὲ καὶ Ὅμηρον, ὥσπερ Θαλῆν, μαθόντα παρ᾽ Αἰγυπτίων, ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι· τὸν γὰρ Ὠκεανὸν Ὄσιριν εἶναι, τὴν δὲ Τηθὺν Ἶσιν, ὡς τιθηνουμένην πάντα καὶ συνεκτρέφουσαν. Καὶ γὰρ Ἕλληνες τὴν τοῦ σπέρματος πρόεσιν, ΑΠΟΥΣΙΑΝ καλοῦσι, καὶ ΣΥΝΟΥΣΙΑΝ τὴν μίξιν· καὶ τὸν ‘ΥΙΟΝ ἀπὸ τοῦ ὕδατος καὶ τοῦ ὗσαι· καὶ τὸν Διόνυσον ‘ΥΗΝ, ὡς κύριον τῆς ὑγρᾶς φύσεως, οὐχ

C. 5. Χημίαν] Ita Squir. et confirmat Venetus. Vulgo Χημία.
C. 10. περιπλεῖν] Salmaſ. περιπολεῖν.
D. 6. πρόεσιν] Non dubitavi recipere poſt Squirium: monentibus Salmaſ. Mez. Bentl. Markl. Vulgo πρόθεσιν.

dum Apin colitur honoribus. Præterea Ægyptum quæ vel maxima nigram habet terram, tanquam nigram oculi partem, *Chemia* vocant, et cordi comparant: calida enim eſt et humida, et auſtrinis mundi partibus, ut cor ſiniſtris hominis, includitur atque accedit.

XXXIV. Solem quoque et Lunam dicunt non curribus ſed navigiis vectos curſus ſuos continuare: ſignificantes humore ali res atque procreari. Exiſtimant etiam Homerum itidem ut Thaletem ab Ægyptiis doctum, principium et ortum omnium rerum poſuiſſe aquam: eſſe enim Oceanum Oſirin, Tethyn Iſin, quæ omnia enutriat una atque educat. Etenim Græci ſeminis emiſſionem *apuſiam*, et coitum *ſynuſiam* vocant, et filium *hyom*, ab aqua et pluvia, quæ ſunt *hydor* et *hyein*: et Bacchum *Hyem* appellant, ut humidæ dominum naturæ: qui ſane non

ματα πολλοὶ τῶν Ἑλλήνων· αἱ δὲ Ἠλείων γυναῖκες καὶ παρακαλοῦσιν εὐχόμεναι, ποδὶ βοείῳ τὸν θεὸν ἐλθεῖν πρὸς αὐτάς. Ἀργείοις δὲ βουγενὴς Διόνυσος ἐπίκλην ἐστίν· ἀνακαλοῦνται δ' αὐτὸν ὑπὸ σαλπίγγων ἐξ ὕδατος, ἐμβάλλοντες εἰς τὴν ἄβυσσον ἄρνα τῷ πυλαόχῳ, τὰς δὲ σάλπιγγας ἐν θύρσοις ἀποκρύπτουσιν, ὡς Σωκράτης ἐν τοῖς περὶ Ὁσίων εἴρηκεν. Ὁμολογεῖ δὲ καὶ τὰ Τιτανικὰ, καὶ νὺξ τελεία τοῖς λεγομένοις Ὀσίριδος διασπασμοῖς, καὶ ταῖς ἀναβιώσεσι καὶ παλιγγενεσίαις· ὁμοίως δὲ
165 καὶ τὰ περὶ τὰς ταφάς. Αἰγύπτιοί τε γὰρ Ὀσίριδος πολλαχοῦ θήκας, ὥσπερ εἴρηται, δεικνύουσι, καὶ Δελφοὶ τὰ τοῦ Διονύσου λείψανα παρ' αὐτοῖς παρὰ τὸ χρηστήριον ἀποκεῖσθαι νομίζουσι· καὶ θύουσιν οἱ Ὅσιοι θυσίαν ἀπόρρητον ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος, ὅταν αἱ Θυάδες ἐγείρωσι τὸν Λικνίτην. Ὅτι δὲ οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγὸν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι, λέγων,

F. 9. νὺξ τελεία] Legendum videtur νυκτέλια: et recepit adeo Squirius.

ri forma: et Eleorum mulieres vota facientes precantur *ut ad ſe deus veniat bubulo pede:* et Argivis Bacchus eſt bovigena, et evocant eum tubis ex aqua, Janitori ovem in abyſſum injicientes, et tubas inter thyrſos occultant, ut Socrates ſcripſit in libris de Hoſiis, ſive ſacris. Conveniunt et Titanica, et nox quæ perfecta dicitur, his quæ dicuntur de diſcerpto Oſiride et redivivo ac renato: necnon et ſepulturæ. Nam et Ægyptii multis in locis ſepulchrum Oſiridis monſtrant, ut ſupra oſtendimus: et Delphi reliquias Bacchi apud ſe juxta oraculum ſitas putant, arcanumque ſacrificium Hoſii in fano Apollinis peragunt, quo tempore Thyades Licnitam (id Bacchi eſt nomen) excitant. Quod autem Liberum Græci non vini tantummodo, ſed et omnis humidæ naturæ dominum atque principem faciant, teſtimonio Pindari ſufficit docere, ſic dicentis,

Δισμοὶ μὲν τρεῖς τόσσοι ἀπείρονες.

Εἰ μὴ νὴ Δία κυρίως ἐμφαίνεται τὸ τριπλάσιον ὑπὸ τῶν παλαιῶν· ἡ γὰρ ὑγρὰ φύσις, ἀρχὴ καὶ γένεσις οὖσα πάντων ἐξ ἀρχῆς, τὰ πρῶτα τρία σώματα, γῆν, ἀέρα, καὶ πῦρ ἐποίησε· καὶ γὰρ ὁ προστιθέμενος τῷ μύθῳ λόγος, ὡς τοῦ Ὀσίριδος ὁ Τυφῶν τὸ αἰδοῖον ἔῤῥιψεν εἰς τὸν ποταμὸν, ἡ δ' Ἶσις οὐχ εὗρεν, ἀλλ' ἐμφερὲς ἄγαλμα θεμένη καὶ κατασκευάσασα, τιμᾶν καὶ φαλληφορεῖν ἔταξεν, ἐνταῦθα δὲ περιχωρεῖ, διδάσκων ὅτι τὸ γόνιμον καὶ τὸ σπερματικὸν τοῦ θεοῦ πρῶτον ἔχει ὕλην τὴν ὑγρότητα, καὶ δι' ὑγρότητος ἐνεκράθη τοῖς πεφυκόσι μετέ-
D χειν γενέσεως. Ἄλλος δὲ λόγος ἐστὶν Αἰγυπτίων, ὡς Ἄποπις ἡλίου ὢν ἀδελφὸς ἐπολέμει τῷ Διῒ, τὸν δὲ Ὄσιριν ὁ Ζεὺς συμμαχήσαντα καὶ συγκαταστρεψάμενον αὐτῷ τὸν πολέμιον, παῖδα θέμενος, Διόνυσον προσηγόρευσεν. Καὶ τούτου δὲ τοῦ λόγου τὸ μυθῶδές ἐστιν ἀπο-

C. 11. ἐνταῦθα δὲ] Vel delendum δὲ cum Squirio: vel corrigendum ἐνθάδε cum Reiſkio.

Ter tot vincla.—
Niſi potius ita ſentiendum eſt, triplum a veteribus proprie fuiſſe uſurpatum. Humida enim natura cum ab initio principium et ortus omnium eſſet rerum, tria prima effecit corpora terram, aerem, ignem. Quæ enim fabula rei additur, membrum Oſiridis in flumen fuiſſe a Typhone abjectum, et Iſidem cum id non inveniret, ſimulachrum ejus adornaſſe, idque ut honoraretur et phallus geſtaretur inſtituiſſe: ea huc facit, docetque genitalem vim et ſemen dei pro materia prima habuiſſe humorem, et humoris interventu coaluiſſe cum his quæ naſcendi facultate erant prædita. Alia etiam apud Ægyptios fertur fabula, Apopin Solis fratrem bellum moviſſe adverſus Jovem, et Oſiridem a Jove, cui in hoſte debellando auxilium tuliſſet, adoptatum filii loco, Dionyſiumque, id eſt Bacchum, fuiſſe appellatum. Hanc quoque fabulam veritati et naturæ con-

δὲ τοῦτο καὶ ὁ Ἑρμαῖος, ἐν τῇ πρώτῃ περὶ τῶν Αἰγυπτίων· ὄμβριμον γάρ φησι μεθερμηνευόμενον εἶναι τὸν Ὄσιριν. Ἐῶ δὲ Μνασέαν τῷ Ἐπάφῳ προστιθέντα τὸν Διόνυσον καὶ τὸν Ὄσιριν, καὶ τὸν Σάραπιν· ἐῶ καὶ Ἀντικλείδην, λέγοντα τὴν Ἶσιν Προμηθέως οὖσαν θυγατέρα, Διονύσῳ συνοικεῖν. Αἱ γὰρ εἰρημέναι περὶ τὰς ἑορτὰς καὶ τὰς θυσίας οἰκειότητες ἐναργεστέραν τῶν μαρτύρων τὴν πίστιν ἔχουσι.

λη΄. Τῶν τε ἄστρων τὸν σείριον, Ἴσιδος νομίζουσι,
66 ὑδραγωγὸν ὄντα. Καὶ τὸν λέοντα τιμῶσι, καὶ χάσμασι λεοντείοις τὰ τῶν ἱερῶν θυρώματα κοσμοῦσιν, ὅτι πλημμυρεῖ Νεῖλος

Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.

Ὡς δὲ Νεῖλον Ὀσίριδος ἀπορροὴν, οὕτως Ἴσιδος σῶμα γῆν ἔχουσι καὶ νομίζουσιν, οὐ πᾶσαν, ἀλλ᾽ ἧς ὁ Νεῖλος ἐπιβαίνει σπερμαίνων καὶ μιγνύμενος. Ἐκ δὲ τῆς συνουσίας ταύτης γεννῶσι τὸν Ὧρον· ἔστι δὲ Ὧρος ἡ πάντα σώζουσα

F. 4. Μνασέαν] Ita Mez. Salmaſ. Valckenarius loco memorato. Squir. Reiſk. Vulgo Μνάσαν.
A. 6. ἔχουσι] Fortaſſe, λέγουσι.

mo de Ægyptiis libro, *validum* eſſe ſi interpretetur Oſirin inquiens. Omitto Mnaſean, qui Epapho apponit Liberum, Oſiridem, et Sarapin: omitto Anticleidam, qui Iſidem Promethei filiam, Liberi uxorem facit. Nam quas retuli feſtorum et ſacrificiorum ſimilitudines, apertius quam teſtes rei fidem faciunt.

XXXVIII. Et de ſideribus Seirium Iſidi adſcribunt, cum aquam ducat: et Leonem venerantur, rictibuſque leoninis januas templorum ornant, quia Nilus exundat

Titanis primum curru tangente Leonem.

Sicut autem Nilum Oſiridis defluxum, ita corpus Iſidis terram putant, non univerſam, ſed quam Nilus invadens ac coiens fœtam reddit. Hoc ex coitu Orum naſci perhibent. Eſt autem Orus tempeſtas ac

χὸς, ἀλλὰ περὶ τῆς θεοῦ λέγουσιν, αἰνιττόμενοι τὸ παντελὲς τῆς γῆς ἄγονον καὶ ἄκαρπον ὑπὸ στερρότητος.

λθ'. Ἡ δὲ Τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς, αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος, καὶ διαφορήσαντος τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξουσαν. Ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται πνοὰς νοτίους ἐξ Αἰθιοπίας· ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατή-

D σωσι τὰ νέφη πρὸς τὴν Αἰθιοπίαν ἐλαυνόντων, καὶ κωλύσωσι τοὺς τὸν Νεῖλον αὔξοντας ὄμβρους καταρραγῆναι, κατέχων ὁ Τυφὼν ἐπιφλέγει, καὶ τότε κρατήσας παντάπασι τὸν Νεῖλον εἰς ἐναντίον ὑπὸ ἀσθενείας συσταλέντα καὶ ῥυέντα, κοῖλον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. Ἡ γὰρ λεγομένη κάθειρξις εἰς τὴν σορὸν Ὀσίριδος, οὐδὲν ἔοικεν ἀλλ' ἢ κρύψιν ὕδατος καὶ ἀφανισμὸν αἰνίττεσθαι· διὸ μηνὸς Ἀθὺρ ἀφανισθῆναι τὸν Ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων παντάπασιν ὁ μὲν

E Νεῖλος ὑπονοστεῖ, γυμνοῦται δὲ ἡ χώρα· μηκυνομένης

C. 5. παντιλὲς] Malim ἀλιτενές: qualem ſententiam et Squirius deſideravit.
D. 4. εἰς ἐναντίον] εἰς ἑαυτὸν e ſua et Bentleii correctione recepit Squirius.

terram ſoliditatis ſuæ cauſa omnino ſterilem fuiſſe et infrugiferam.

XXXIX. Jam Typhonis inſidiæ ac tyrannis vim ſignificat ſiccitatis obtinentis, et conſumentis humorem quo naſcitur et augetur Nilus. Regina vero Æthiopum quæ Typhonem adjuverit, flatus auſtrinos ex Æthiopia notat: qui ſi vincant Eteſias a quibus verſus Æthiopiam nubes pelluntur, prohibeantque imbres decidere quibus Nilus augetur, tum prævalens Typhon æſtu urit, ac plane obtinens, Nilum in diverſam partem ob imbecillitatem fluentem, cavo alveo et humili in mare expellit. Quod enim incluſus in arcam dicitur Oſiris, eo nihil aliud ſignificatur quam aquæ occultatio et defectus. Itaque menſe Athyr periiſſe Oſiridem dicunt, quando Eteſiis omnino deficientibus Nilus recedit, et ſolum nudatur. Quando

παρόντων, ὡς εὑρημένου τοῦ Ὀσίριδος· εἶτα τὴν κάρπιμον
φυρῶσι τῷ ὕδατι, καὶ συμμίξαντες ἀρώματα καὶ θυμιά-
ματα τῶν πολυτελῶν, ἀναπλάττουσι μηνοειδὲς ἀγαλ-
μάτιον καὶ τοῦτο στολίζουσι καὶ κοσμοῦσιν, ἐμφαίνοντες ὅτι
γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομίζουσι.

μ'. Τῆς δὲ Ἴσιδος πάλιν ἀναλαμβανούσης τὸν Ὄσιριν,
67 καὶ αὐξανούσης τὸν Ὧρον, ἀναθυμιάσεσι καὶ ὁμίχλαις καὶ
νέφεσι ῥωννύμενον, ἐκρατήθη μὲν, οὐκ ἀνῃρέθη δὲ ὁ
Τυφών· οὐ γὰρ εἴασεν ἡ κυρία τῆς γῆς θεὸς ἀναιρεθῆναι
παντάπασι τὴν ἀντικειμένην τῇ ὑγρότητι φύσιν, ἀλλ'
ἐχάλασε καὶ ἀνῆκε, βουλομένη διαμένειν τὴν κρίσιν· οὐ
γὰρ ἦν κόσμον εἶναι τέλειον, ἐκλείποντος καὶ ἀφανισθέντος
τοῦ πυρώδους. Εἰ δὲ ταῦτα μὴ λέγεται παρ' αὐτοῖς
εἰκότως, οὐδὲ ἐκεῖνον ἄν τις ἀποῤῥίψειε τὸν λόγον, ὡς
Τυφὼν μὲν ἐκράτει πάλαι τῆς Ὀσίριδος μοίρας· θάλασσα γὰρ

F. 6. τὴν κάρπιμον] γῆν κάρπιμον Xyl. Bentl. Squir.
A. 5. τὴν κρίσιν] Legendum τὴν κρᾶσιν ut vertit Xyl. correxit Bentl. recepit Squir.
A. 7. μὴ λέγεται παρ' αὐτοῖς εἰκότως] Malim πῆ, vel δὴ, λέγεται παρ' αὐτοῖς εἰκότως,—. Alii aliter corrigunt.

qui adſunt, vociferantibus Oſiridem eſſe inventum: exinde tellurem frugiferam aqua permiſcent, additiſque mixturæ aromatibus et ſuffimentis ſumptuoſis, effingunt imaguncalam luniformem, et hanc amiciunt et ornant, ſignificantes deos iſtos ab ipſis putari eſſe naturam terræ et aquæ.

XL. Rurſum ubi Oſirin Iſis recepit, et Orum educat, exhalationibus, et nebulis ac nubibus creſcentem ac roboratum; ſuperatus quidem, non tamen etiam interfectus eſt Typhon: non enim paſſa eſt Dea, quæ terræ domina eſt, undiquaque aboleri naturam humori contrariam: ſed dimittit eam et laxat, cupiens temperiem relinqui; quia non poterat mundus eſſe perfectus, abolita ignea natura. Quod ſi hæc ab iis non abſurde dicuntur, par eſt ne hanc quidem repudiari rationem, qua dicitur antiquitus Typhon partem Oſiridi debitam obtinuiſſe. Nam Ægyptus olim mari fuit

τρέφοντι τὴν ἤπειρον ἀναςαλείσης. Ἀλλὰ ταῦτα μὲν ὅμοια τοῖς ὑπὸ τῶν Στωϊκῶν θεολογουμένοις ἐστί. Καὶ γὰρ ἐκεῖνοι τὸ μὲν γόνιμον πνεῦμα καὶ τρόφιμον, Διόνυσον εἶναι λέγουσι· τὸ πληκτικὸν δὲ καὶ διαιρετικὸν, Ἡρακλέα· τὸ δὲ δεκτικὸν, Ἄμμωνα· Δήμητραν δὲ καὶ Κόρην, τὸ διὰ τῆς γῆς καὶ τῶν καρπῶν διῆκον· Ποσειδῶνα δὲ, τὸ διὰ τῆς θαλάττης.

μα'. Οἱ δὲ τοῖς δὲ τοῖς φυσικοῖς καὶ τῶν ἀπ' ἀςρολογίας μαθηματικῶν ἔνια μιγνύντες, Τυφῶνα μὲν οἴονται
D τὸν ἡλιακὸν κόσμον, Ὄσιριν δὲ τὸν σεληνιακὸν λέγεσθαι· τὴν μὲν γὰρ σελήνην γόνιμον τὸ φῶς καὶ ὑγροποιὸν ἔχουσαν, εὐμενῆ καὶ γοναῖς ζώων καὶ φυτῶν εἶναι βλαςήσεσι· τὸν δὲ ἥλιον ἀκράτῳ πυρὶ κεκληρωκότα θάλπειν τε καὶ καταυαίνειν τὰ φυόμενα καὶ τεθηλότα, καὶ τὸ πολὺ μέρος τῆς γῆς παντάπασιν ὑπὸ φλογμοῦ ποιεῖν ἀοίκητον, καὶ κατακρατεῖν πολλαχοῦ καὶ τῆς σελήνης. Διὸ τὸν

D. 4. κεκληρωκότα] Hoc ſi retineas, delendum erit καὶ ante τὸ πολύ: quæ ratio vel ſic non ſatis placet. Forte aliud latet, aut legendum καὶ σκληροτάτῳ.

jecta eſt. Verum enimvero hæc ſimilia ſunt eorum quæ Stoici de ſacris rebus diſputant. Nam genitabilem et alendo aptum ſpiritum Bacchi nomine afficiunt illi: qui vim percellendi ac dividendi habet, Herculis: qui recipiendi facultatem, Ammonis: id quod per tellurem et fruges penetrat, Cererem ac Proſerpinam: quod per mare, Neptunum nominant.

XLI. Qui autem naturalibus iſtis etiam mathematica quædam aſtrologica admiſcent, ii putant Typhonem eſſe mundum ſolarem, Oſiridem lunarem. Lunam enim quæ lumen habet genitabile et humectans, proſperam eſſe et animalium procreationi, et ſtirpium pullulationi. Solem hoc ſortitum, ut intemperato igni calefaciat exſiccetque natas et florentes ſtirpes: et ſuo ardore magnam partem terræ feciſſe habitationibus ineptam, ac ſæpe etiam Lunam ab eo ſuperari. Itaque Ægyptii Typhonem

περιεχομένοις ὑπ' αὐτῶν χωρίοις, μέσος ὁ τῶν ἑπτα-
καίδεκα παρεμπίπτων, ἀντιφράττει καὶ διαζεύγνυσιν ἀπ'
ἀλλήλων, καὶ διαιρεῖ τὸν ἐπόγδοον λόγον εἰς ἄνισα δια-
στήματα τεμνόμενος. Ἐτῶν δ' ἀριθμὸν οἱ μὲν βιῶσαι
τὸν Ὄσιριν, οἱ δὲ βασιλεῦσαι λέγουσιν ὀκτὼ καὶ εἴκοσιν·
68 τοσαῦτα γάρ ἐστι φῶτα τῆς σελήνης, καὶ τοσαύταις
ἡμέραις τὸν αὐτῆς κύκλον ἐξελίσσει. Τὸ δὲ ξύλον ἐν
ταῖς λεγομέναις Ὀσίριδος ταφαῖς τέμνοντες, κατασκευ-
άζουσι λάρνακα μηνοειδῆ· διὰ τὸ τὴν σελήνην, ὅταν
τῷ ἡλίῳ πλησιάζῃ, μηνοειδῆ γινομένην ἀποκρύπτεσθαι.
Τὸν δὲ εἰς δεκατέσσαρα μέρη τοῦ Ὀσίριδος διασπασμὸν
αἰνίττονται πρὸς τὰς ἡμέρας ἐν αἷς φθίνει μετὰ πανσέ-
ληνον ἄχρι νουμηνίας τὸ ἄστρον. Ἡμέραν δὲ ἐν ᾗ φαί-
νεται πρῶτον ἐκφυγοῦσα τὰς αὐγὰς καὶ παρελθοῦσα τὸν
B ἥλιον, ΑΤΕΛΕΣ ΑΓΑΘΟΝ προσαγορεύουσιν· ὁ γὰρ Ὄσιρις
ἀγαθοποιός, καὶ τοὔνομα πολλὰ φράζει, οὐχ ἥκιστα δὲ
κράτος ἐνεργοῦν καὶ ἀγαθοποιόν, ὃ λέγουσι. Τὸ δ' ἕτερον

F. 7. διαιρεῖ] Forte διατηρεῖ. Sed de hac re, in Animadverſionibus dicetur.
A. 5. μηνοειδῆ γινομένην] Sic Baſ. Xyl. P. Mez. Squir. Vulgo μονοειδῆ γινομένην.
B. 3. ἐνεργοῦν—ὃ λέγουσι] Forte εὐεργετοῦν—ὡς λέγουσι. Prius Marklando placuerat.

habent areis ſuis æquales, medius interveniens ſeptemdecim obſtruit et disjungit eos invicem, inque partes ſciſſus inæquales, ſeſquioctavam proportionem conſtituit. Annos viginti et octo alii vixiſſe, alii regnaſſe Oſiridem dicunt: toties enim lucet Luna, totque diebus ſuam circuitionem abſolvit. Lignum autem in ſepultura, ut vocant, Oſiridis ſecantes, arcam apparant lunata forma: quia Luna Soli appropinquans falcatur et occulitur. Quod autem in quatuordecim partes diſcerptus dicitur Oſiris, referendum eſt ad dies quibus a plenilunio uſque ad novilunium deficit Luna. Diem, qua primum conſpicitur evitatis et præteritis radiis Solis, *imperfectum bonum* nominant. Eſt enim Oſiris beneficus: et nomen hoc multa ſignificans, præcipue *vim efficacem et beneficam* deſignat. Alterum dei hujus nomen quod

σελήνῃ τίθενται, τὴν Ἶσιν αὐτοῦ γένεσιν οὖσαν συνεῖναι λέγουσι· διὸ καὶ μητέρα τὴν σελήνην τοῦ κόσμου καλοῦσι, καὶ φύσιν ἔχειν ἀρσενόθηλυν οἴονται, πληρουμένην ὑπὸ ἡλίου καὶ κυϊσκομένην, αὐτὴν δὲ πάλιν εἰς τὸν ἀέρα προϊεμένην γεννητικὰς ἀρχὰς καὶ καταςπείρουσαν· οὐ
D γὰρ ἀεὶ τὴν φθορὰν ἐπικρατεῖν τὴν Τυφώνειον, πολλάκις δὲ κρατουμένην ὑπὸ τῆς γενέσεως καὶ συνδεομένην, αὖθις ἀναδύεσθαι καὶ διαμάχεσθαι πρὸς τὸν Ὧρον· ἔστι δ' οὗτος ὁ περίγειος κόσμος, οὔτε φθορᾶς ἀπαλλαττόμενος παντάπασιν, οὔτε γενέσεως.

μδ΄. Ἔνιοι δὲ καὶ τῶν ἐκλειπτικῶν αἴνιγμα ποιοῦνται τὸν μῦθον· ἐκλείπει μὲν γὰρ ἡ σελήνη πανσέληνος, ἐναντίαν τοῦ ἡλίου στάσιν ἔχοντος πρὸς αὐτὴν, εἰς τὴν σκιὰν ἐμπίπτουσα τῆς γῆς, ὥσπερ φασὶ τὸν Ὄσιριν εἰς τὴν σορόν· αὐτὴ δὲ πάλιν ἀποκρύπτει καὶ ἀφανίζει ταῖς
E τριακάσιν, οὐ μὴν ἀναιρεῖται παντάπασι τὸν ἥλιον, ὥσπερ

C. 9. τίθενται] Legendum vel τιθέντες, vel τίθενται καί.
D. 3. ἀναδύεσθαι] Forte ἀναλύεσθαι.

ei uxorem, ex qua prolem procreet, adſcribunt. Ideo et Lunam *mundi matrem* appellant, et naturam ex utroque mixtam ſexu adſignant ei: quod impleta et gravida facta a Sole, rurſum a ſe in aerem emittat ac diſſeminet genitabilia principia. Non enim ſemper obtinere corruptelam Typhonicam, ſed ſæpe victam a vi procreatrice atque vinctam, rurſum emergere, et cum Oro decertare. Orus autem eſt mundus terreſtris, neque interitus unquam omnino expers, neque ortus.

XLIV. Neque deſunt, qui defectus hac fabula per ambages notari cenſeant. Etenim in plenilunio deficit Luna, Sole ipſi ex adverſo ſtante in terræ umbram incidens: ſicut in arcam fertur incidiſſe Oſiris. Rurſum ipſa Solem occultat et conſpectui ſubtrahit ultima menſis die, neque tamen Solem omnino interimit,

ἀλλ' ἢ μόνος ὁ κύων, ἀπώλεσε τὸ πρῶτος εἶναι καὶ μά-
λιστα τιμᾶσθαι τῶν ἑτέρων ζώων. Εἰσὶ δέ τινες οἱ τὸ
σκίασμα τῆς γῆς, εἰς ὃ τὴν σελήνην ὀλισθαίνουσαν ἐκ-
λειπεῖν νομίζουσι, Τυφῶνα καλοῦντες.

9 με'. Ὅθεν οὐκ ἀπέοικεν εἰπεῖν, ὡς ἰδίᾳ μὲν οὐκ
ὀρθῶς ἕκαστος, ὁμοῦ δὲ πάντες ὀρθῶς λέγουσιν· οὐ γὰρ
αὐχμὸν, οὐδὲ ἄνεμον, οὐδὲ θάλατταν, οὐδὲ σκότος,
ἀλλὰ πᾶν ὅσον ἡ φύσις βλαβερὸν καὶ φθαρτικὸν ἔχει
μόριον, τοῦ Τυφῶνός ἐστιν. Οὔτε γὰρ ἐν ἀψύχοις σώμασι
τὰς τοῦ πάντος ἀρχὰς θετέον, ὡς Δημόκριτος καὶ Ἐπί-
κουρος· οὔτε ἀποίου δημιουργὸν ὕλης, ἕνα λόγον καὶ μίαν
πρόνοιαν, ὡς οἱ Στωϊκοὶ, περιγινομένην ἁπάντων καὶ
κρατοῦσαν· ἀδύνατον γὰρ ἢ φλαῦρον ὁτιοῦν, ὅπου πάν-
B των, ἢ χρηστὸν, ὅπου μηδενὸς ὁ θεὸς αἴτιος, ἐγγενέσθαι·

A. 7. ἀποίου] Vera eſt hæc correctio Mez. Bentl. Squir. item Lennepii ad Phalar. p. 149. Vulgo ἄποιον, οὐ.

A. 9. ἢ φλαῦρον ὁτιοῦν, ὅπου πάντων] Vulgo ἢ καὶ φλαῦρον ὁτιοῦν ὁμοῦ πάντων. Ex mea et Meziriaci correctione dedi ὅπου: delevi καὶ auctoritate codicum E. Flor. P.

jecti cadaver nullum extra canem animal adiit vel guſtavit; primos inter animalia honores canis perdidit. Sunt qui umbram terræ, in quam delapſam Lunam deficere putant, Typhonis nomine accipiant.

XLV. Itaque ergo abſurdum dictu non eſt, ſingulos non recte, univerſos recte, pronunciaſſe. Non enim ſiccitas duntaxat, aut ventus, mare, tenebræ: ſed quæcunque naturæ pars damnoſa eſt et corrumpendis rebus apta, Typhonis eſt. Quippe nec in corporibus animæ exſortibus principia Univerſi ſunt conſtituenda, ut fecere Democritus et Epicurus: neque qualitatis expers materiæ opifex providentia unica, quæ omnia ſuperet atque contineat, hunc titulum meretur, qui fuit Stoicorum error; neque enim poſſit, ſi Deus omnium ſit rerum auctor, una eſſe mala, aut ſi nullius rei ſit auctor, una eſſe bona. Nam, Heraclito teſte, ut lyræ et arcus, ita

διανέμων ἀνακεράννυσιν ἡμῖν· ἀλλ᾽ ἀπὸ δυεῖν ἐναντίων
ἀρχῶν, καὶ δυεῖν ἀντιπάλων δυνάμεων, τῆς μὲν ἐπὶ τὰ
δεξιὰ καὶ κατ᾽ εὐθεῖαν ὑφηγουμένης, τῆς δ᾽ ἔμπαλιν
D ἀναστρεφούσης καὶ ἀνακλώσης, ὅ, τε βίος μικτὸς, ὅ, τε
κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ᾽ ὁ περίγειος οὗτος καὶ μετὰ
σελήνην, ἀνώμαλος καὶ ποικίλος γέγονε, καὶ μεταβολὰς
πάσας δεχόμενος. Εἰ γὰρ οὐθὲν ἀναιτίως πέφυκε γενέσθαι,
αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν
ἰδίαν καὶ ἀρχὴν, ὥσπερ ἀγαθοῦ καὶ κακοῦ, τὴν φύσιν ἔχειν.

μς΄. Καὶ δοκεῖ τοῦτο τοῖς πλείστοις καὶ σοφωτάτοις.
Νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο, καθάπερ ἀντιτέχνους,
τὸν μὲν γὰρ ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν· οἱ δὲ
τὸν μὲν ἀμείνονα, ΘΕΟΝ, τὸν δὲ ἕτερον, ΔΑΙΜΟΝΑ κα-
E λοῦσιν· ὥσπερ Ζωρόαστρις ὁ μάγος, ὃν πεντακισχιλίοις
ἔτεσι τῶν Τρωϊκῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. Οὗτος
οὖν ἐκάλει τὸν μὲν, ΩΡΟΜΑΖΗΝ, τὸν δὲ, ΑΡΕΙΜΑΝΙΟΝ·
καὶ προσαπεφαίνετο, τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν

que miſceat; ergo a duobus principiis contrariis adverſiſque duabus facultatibus, quarum altera ad dextram et recta ducat, altera retrorſum avertatur atque reflectat, cum vitam eſſe mixtam, tum ipſum mundum (ſi non univerſum, eum ſaltem qui ad terram eſt et Lunæ ſubjacet) inæqualiter ferri, variiſque et omnis generis motibus agitari. Si enim nihil abſque cauſa fit, et mali cauſam bonum non præbet; neceſſe eſt in natura ut boni, ita etiam mali ortum peculiarem, ſuumque principium exſtare.

XLVI. Atque hæc quidem ſententia pleriſque, et iiſdem ſapientiſſimis probatur. Exiſtimant enim alii duos eſſe deos, quaſi contrariis deditos artibus, ut bona alter, alter mala opera conficiat: alii eum qui eſt melior, *Deum*, qui deterior, *Dæmonem* dicunt. In qua ſententia fuit Zoroaſtres magus, quem narrant quinquies mille annis antiquiorem bello Trojano exſtitiſſe. Is ergo Zoroaſtres melioris nomen *Oromazen*, pejoris *Arimanium* perhibuit; addiditque hoc enunciatum, de rebus ſub

70 νῶς, πολεμοῦσιν ἀλλήλοις· καὶ ὁ μὲν ἓξ θεοὺς ἐποίησε, τὸν μὲν πρῶτον, εὐνοίας, τὸν δὲ δεύτερον, ἀληθείας, τὸν δὲ τρίτον, εὐνομίας· τῶν δὲ λοιπῶν, τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς ἡδέων δημιουργόν· ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν. Εἶθ᾽ ὁ μὲν Ὡρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον ὅσον ὁ ἥλιος τῆς γῆς ἀφέστηκε, καὶ τὸν οὐρανὸν ἄστροις ἐκόσμησεν· ἕνα δὲ ἀστέρα πρὸ πάντων, οἷον φύλακα καὶ προόπτην ἐγκατέστησε, τὸν σείριον· ἄλλους δὲ ποιήσας τέσσαρας καὶ εἴκοσι θεοὺς, εἰς ὠὸν ἔθηκεν. Οἱ δὲ ἀπὸ τοῦ Ἀρειμανίου γενόμενοι, καὶ αὐτοὶ τοσοῦτοι, διατρήσαντες τὸ ὠὸν γανωθὲν, ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. Ἔπεισι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν Ἀρειμάνιον, λοιμὸν ἐπάγοντα καὶ λιμὸν, ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν

B (margin mark beside the line "τρήσαντες τὸ ὠὸν γανωθὲν")

A. 6. ὁ μὲν Ὡρόμαζης] Supplendum ὡς ὁ μὲν Ὡρόμαζης.
B. 1. τὸ ὠὸν γανωθὲν] Forte quædam exciderunt: forte corrigendum, διέτρησαν τὸ ὠόν· ὅθεν—: quale Xylander conjecit.

inter ſe gerere: ſex deos feciſſe Oromazen: primum benevolentiæ, ſecundum veritatis, tertium æquitatis, reliquos ſapientiæ, divitiarum et voluptatis quæ honeſta conſequitur opificem. Arimanium totidem numero his adverſa efficientes. Deinde Oromazen ſeſe triplicaſſe, et a Sole tanto ſe intervallo removiſſe, quanto a terra Sol abeſt, ac cœlum ſtellis decoraſſe, unamque ante alias tanquam cuſtodem et ſpeculatorem conſtituiſſe Sirium: alios porro viginti et quatuor deos condidiſſe et in ovo poſuiſſe. At totidem numero factos ab Arimanio ovum illud perforaſſe, hinc mala bonis eſſe permixta. Appetere porro fatale tempus, quo neceſſe ſit, peſte et fame ab his adducta, Arimanium omnino perdi atque aboleri, terraque æquabili et plana facta, unam vitam u-

τὴν μερίδα, τὴν δὲ ἀποτροπαίαν, Ἅιδου ποιουμένων· ἐκ D δὲ Ἀφροδίτης καὶ Ἄρεως Ἁρμονίαν γεγονέναι μυθολογοῦνται· ὧν ὁ μὲν ἀπηνὴς καὶ φιλόνεικος, ἡ δὲ μειλίχιος καὶ γενέθλιος. Σκόπει δὲ τοὺς φιλοσόφους τούτοις συμφερομένους. Ἡράκλειτος μὲν γὰρ ἄντικρυς πόλεμον ὀνομάζει πατέρα καὶ βασιλέα καὶ κύριον πάντων, καὶ τὸν μὲν Ὅμηρον, εὐχόμενον "ἔκ τε θεῶν ἔριν, ἔκ τ' ἀνθρώ-"πων ἀπολέσθαι," λανθάνειν φησὶ τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων· ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ μή, γλώττας μιν δίκης ἐπικούρους ἐξευρήσειν. E Ἐμπεδοκλῆς δέ, "τὴν μὲν ἀγαθουργὸν ἀρχήν, Φιλό-"τητα καὶ Φιλίαν, πολλάκις δὲ Ἁρμονίαν καλεῖσθαι "Μέροπι, τὴν δὲ χείρονα, Νεῖκος οὐλόμενον καὶ Δῆριν "αἱματόεσσαν." Οἱ μὲν Πυθαγορικοὶ διὰ πλειόνων

D. 10. γλώττας] ἐρίνυας alio loco ubi hoc dictum memoratur a Plutarcho, infra p. 604. A. Mez. μοίρας vel ποινάς.

E. 3. Μέροπι] Legendum Θεμερῶπιν ut Bentleius oſtendit Epiſt. ad Mill. p. 76. et uberius exponemus infra ad p. 474. B.

E. 4. Οἱ μὲν Πυθαγορικοὶ] μὲν mutandum in δὲ, judice Mez. Mox in τὸ πεπερασμένον, recepi τὸ ex E.

lympio, malam Diti averrunco adſignant: et Harmoniam (quaſi concinnitatem) e Venere et Marte natam fabulantur: quorum hic ſævus eſt et contentioſus, illa comis et genitabilis. Jam philoſophos vide cum his conſentientes. Heraclitus enim aperte *bellum* nominat *patrem et regem et dominum omnium: et Homerum*, *dum optat*,

> *Ex divum atque hominum ut pereat*
> *diſcordia cœtu*,

occulte exſecrari univerſorum ortum, quia naſcuntur ex contentione et adverſatione: et Solem non tranſgreſſurum poſitos ſibi limites: alioqui fore ut in linguas incidat juſtitiæ patrocinantes. Empedocles principium boni efficax amorem ac amicitiam, ſæpe etiam harmoniam appellat: deterius autem

> *Rixam perniciosam, et litem ſanguinolentam.*

Pythagorici pluribus utrumque principium afficiunt no-

αὐτῆς, ὥσπερ ἔνιοι νομίζουσιν, ἀλλ' ἀνακειμένην ἀμφοῖν
371 ἐκείναις· ἐφιεμένην δὲ τῆς ἀμείνονος ἀεὶ, καὶ ποθοῦσαν,
καὶ διώκουσαν, ὡς τὰ ἐπιόντα δηλώσει τοῦ λόγου, τὴν
Αἰγυπτίων θεολογίαν μάλιστα ταύτῃ τῇ φιλοσοφίᾳ συν-
οικειοῦντος.

μθʹ. Μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις καὶ
σύστασις ἐξ ἐναντίων, οὐ μὴν ἰσοσθενῶν, δυνάμεων, ἀλλὰ
τῆς βελτίονος τὸ κράτος ἐστίν· ἀπολέσθαι δὲ τὴν φαύλην
παντάπασιν ἀδύνατον, πολλὴν μὲν ἐμπεφυκυῖαν τῷ σώ-
ματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς, ἀεὶ πρὸς τὴν
βελτίονα καὶ δυσμαχοῦσαν. Ἐν μὲν οὖν τῇ ψυχῇ νοῦς
καὶ λόγος ὁ τῶν ἀρίστων πάντων ἡγεμὼν καὶ κύριος, Ὄσιρίς
ἐστιν· ἐν δὲ γῇ καὶ πνεύμασι καὶ ὕδασι καὶ οὐρανῷ καὶ
B ἄστροις τὸ τεταγμένον καὶ καθεστηκὸς καὶ ὑγιαῖνον, ὥραις
καὶ κράσεσι καὶ περιόδοις, Ὀσίριδος ἀπορροὴ καὶ εἰκὼν
ἐμφαινομένη· Τυφὼν δὲ, τῆς ψυχῆς τὸ παθητικὸν καὶ

A. 9. ἀεὶ πρὸς τὴν βελτίονα καὶ δυσμαχοῦσαν] Tranſponenda καὶ et ἀεὶ ita: καὶ πρὸς τ. β. ἀεὶ δ. Markl.

neque ex ſeſe immobilem, ut nonnulli putant, ſed utrique harum expoſitam: ita ut ſemper appetat ac deſideret meliorem et ſectetur: id quod ſequens oratio explicabit, ubi Ægyptiorum theologiam maxime ad hanc accommodabimus philoſophiam.

XLIX. Mixta eſt enim hujus mundi origo atque compages ex contrariis facultatibus: ſed quarum non ſint æquales vires: melior enim prævalet quidem: deteriorem autem funditus aboleri nefas eſt, cum et in corpore ea valide inhæreat, et in anima univerſi, et meliori ſemper repugnet. In anima ergo mens et ratio optimorum omnium princeps atque dominus, Oſiris eſt: in terra autem, ſpiritibus, aquis, cœlo, et ſtellis quod ordinatum eſt, æquabile, et ſanum, id defluxus et imago eſt Oſiridis, tempeſtatum, temperamentorum, ac converſionum vicibus conſpicua. Typhon autem animæ pars rationis va-

κροκόδειλον καὶ τὸν ποτάμιον ἵππον. Περὶ μὲν τοῦ ὄνου προδεδηλώκαμεν. Ἐν Ἑρμουπόλει δὲ Τυφῶνος ἄγαλμα δεικνύουσιν ἵππον ποτάμιον· ἐφ' οὗ βέβηκεν ἱέραξ, ὄφει μαχόμενος· τῷ μὲν ἵππῳ τὸν Τυφῶνα δεικνύντες,
D τῷ δὲ ἱέρακι δύναμιν καὶ ἀρχὴν, ἣν βίᾳ κτώμενος ὁ Τυφὼν πολλάκις οὐκ ἀνιᾶται ταραττόμενος ὑπὸ τῆς κακίας καὶ ταράττων· διὸ καὶ θύοντες ἑβδόμῃ τοῦ Τυβὶ μηνὸς, ἣν καλοῦσιν ΑΦΙΞΙΝ ΙΣΙΔΟΣ ΕΚ ΦΟΙΝΙΚΗΣ, ἐπιπλάττουσι τοῖς ποπάνοις ἵππον ποτάμιον δεδεμένον. Ἐν δὲ Ἀπόλλωνος πόλει νενομισμένον ἐστὶ κροκοδείλου φαγεῖν πάντως ἕκαστον· ἡμέρᾳ δὲ μιᾷ θηρεύσαντες ὅσους ἂν δύνωνται, καὶ κτείναντες ἀπαντικρὺ τοῦ ἱεροῦ προβάλλουσι, καὶ λέγουσιν ὡς ὁ Τυφὼν τὸν Ὧρον ἀπέδρα κροκόδειλος γενόμενος, πάντα καὶ ζῶα καὶ φυτὰ καὶ πάθη
E τὰ φαῦλα καὶ βλαβερὰ, Τυφῶνος ἔργα καὶ μέρη καὶ κινήματα ποιούμενοι.

C. 8. Περὶ μὲν τοῦ ὄνου] Supplendum vel cum Mez. Καὶ περὶ μὲν: vel cum Markl. Περὶ μὲν οὖν: vel cum Reiſk. Ὧν περὶ μέν.
D. 2. οὐκ ἀνιᾶται] Forte αὖ κινεῖται: vel ἐξανίςαται.

ma, crocodilum et equum fluvialem. Ac de aſino quidem dictum eſt ſupra. Cæterum apud Hermupolin ſimulachrum oſtenditur Typhonis, equus fluvialis, cui accipiter inſiſtit in ſerpentem pugnans; equo Typhonem indicante, accipitre vim et principium, quibus vi potitus ille ſæpenumero non defatigatur præ malitia turbatus atque turbans: itaque etiam ſeptima menſis Tybi ſacrificantes, quam diem nominant *Iſidis e Phœnice adventum*, placentis adfingunt equum fluvialem vinctum. In urbe Apollinis ſtatutum eſt ut quiſque omnino de crocodilo edat: certa autem die quadam venati quotquot poſſunt crocodilos, interficiunt, et ex adverſo templi abjiciunt, Typhonem dicentes in crocodilum mutatum Oro ſe fuga eripuiſſe: ita omnia animalia, ſtirpes, et eventa mala atque damnoſa Typhonis opera et effecta putant.

τὰς εἰκόνας, ἥλιον σῶμα τῆς τἀγαθοῦ δυνάμεως ὡς ὁρατὸν οὐσίας νοητῆς ἡγούμενοι. Διὸ καὶ καταφρονεῖν ἄξιόν ἐστι τῶν τὴν ἡλίου σφαῖραν Τυφῶνι προσνεμόντων, ᾧ λαμπρὸν οὐδὲν οὐδὲ σωτήριον, οὐδὲ τάξις, οὐδὲ γένεσις, οὐδὲ κίνησις μέτρον ἔχουσα καὶ λόγον, ἀλλὰ τἀναντία, προσήκει· καὶ αὐχμὸν οἷς φθείρει πολλὰ τῶν ζώων καὶ βλαστανόντων, οὐχ ἡλίου θετέον ἔργον, ἀλλὰ τῶν ἐν γῇ καὶ ἀέρι μὴ καθ' ὥραν κεραννυμένων πνευμάτων καὶ ὑδάτων, ὅταν ἡ τῆς ἀτάκτου καὶ ἀορίστου δυνάμεως ἀρχὴ πλημμελήσασα κατασβέσῃ τὰς ἀναθυμιάσεις.

B νβ'. Ἐν δὲ τοῖς ἱεροῖς ὕμνοις τοῦ Ὀσίριδος ἀνακαλοῦνται τὸν ἐν ταῖς ἀγκάλαις κρυπτόμενον τοῦ ἡλίου· καὶ τῇ τριακάδι τοῦ Ἐπιφὶ μηνὸς, ἑορτάζουσιν Ὀφθαλμῶν Ὥρου γενέθλιον, ὅτε σελήνη καὶ ἥλιος ἐπὶ μιᾶς εὐθείας γεγόνασιν, ὡς οὐ μόνον τὴν σελήνην, ἀλλὰ καὶ τὸν ἥλιον ὄμμα τοῦ Ὥρου καὶ φῶς ἡγούμενοι· τῇ δὲ ὀγδόῃ φθί-

A. 2. ἡγούμενοι] Hoc ſi mutaveris in σημαίνει, cum Mez. plana erit oratio.

velantur, Solem exprimit, quem corpus adſpectabile Boni Principii intelligibilis, exiſtimant. Itaque merito contemptui habentur, qui globum Solis Typhoni adſcribunt: cui nihil ſplendoris, nihil ſalutare, nullus ordo, nulla procreatio aut motio ratione modoque conſtans, contraria omnia conveniunt: et æſtus, quo multa animalium ac terra naſcentium corrumpuntur, non Solis opus exiſtimari debet, ſed ſpirituum aquarumque in terra et aere intempeſtive confuſarum, quando principium incompoſitæ et infinitæ facultatis errore commiſſo exhalationes exſtinxerit.

LII. Porro in ſacris de Oſiride canticis invocant eum, qui in Solis occultatur ulnis: et ultima die menſis Epiphi, Sole et Luna in eadem linea coeuntibus, ferias agunt natalitias oculorum Ori; quippe non Lunam modo, ſed et Solem oculum lumenque Ori cenſentes. Vigeſima ſecunda die

ὕστερον ἀφηγήσομαι. Τὸν δὲ ἥλιον πᾶσι τούτοις περιτρέπεσθαι καὶ θεραπεύειν οἴονται. Καὶ τί δεῖ πολλὰ τοιαῦτα συνάγειν; Εἰσὶ γὰρ οἱ τὸν Ὄσιριν ἄντικρυς ἥλιον εἶναι καὶ ὀνομάζεσθαι Σείριον ὑφ' Ἑλλήνων λέγοντες, εἰ καὶ παρ' Αἰγυπτίοις ἡ πρόσθεσις τοῦ ἄρθρου τοὔνομα πεποίηκεν ἀμφιγνοεῖσθαι· τὴν δὲ Ἶσιν οὐχ ἑτέραν τῆς σελήνης ἀποφαίνοντες, ἐν καὶ τῶν ἀγαλμάτων αὐτῆς, τὰ μὲν κερασφόρα τοῦ μηνοειδοῦς γεγονέναι μιμήματα, τοῖς
E δὲ μελανοστόλοις ἐμφαίνουσι τὰς κρύψεις καὶ τοὺς περισκιασμοὺς, ἐν οἷς διώκει ποθοῦσα τὸν ἥλιον. Διὸ καὶ πρὸς τὰ ἐρωτικὰ τὴν σελήνην ἐπικαλοῦνται, καὶ τὴν Ἶσιν Εὔδοξός φησι βραβεύειν τὰ ἐρωτικά. Καὶ τούτοις μὲν ἄλλως γέ πως τοῦ πιθανοῦ μέτεστι· τῶν δὲ Τυφῶνα ποιούντων τὸν ἥλιον, οὐδὲ ἀκούειν ἄξιον. Ἀλλ' ἡμεῖς αὖθις τὸν οἰκεῖον ἀναλάβωμεν λόγον.

νγ'. Ἡ γὰρ Ἶσις ἐστὶ μὲν τὸ τῆς φύσεως θῆλυ,

D. 9. ἐν καὶ τῶν] Delendum ἐν cum Mez.
E. 1. ἐμφαίνουσι] Rectius ſit ἐμφαίνεσθαι, ut Markl. Mox ἄλλως γέ πως malim mutatum in ἄμως γε πως.

quam habeat rationem, infra exponam: ſingulis quidem iſtis conciliare ſe et venerari Solem opinantur. Quanquam quid refert multa colligere talia? Sunt qui Oſirin diſerte dicant eſſe Solem, et a Græcis Sirium appellari, articulum O præpoſitum huic nomini apud Ægyptios obſcuritatem dubitationemque de vocabulo genuiſſe. Iſidem vero eandem ac Lunam eſſe pronuntiantes, etiam eadem utramque imagine repræſentant: in qua cornuta Lunæ indicant illuminationes falcatas, nigræ autem veſtes occultationes ejus et obumbrationes deſignant, quibus Solem deſiderans ſectatur. Itaque et ad res amatorias Lunam invocant: et iis rebus præeſſe Iſidem Eudoxus affirmat. Atque hæc quidem veri ſaltem aliquam habent ſimilitudinem: qui autem Typhonem faciunt Solem, indigni ſunt qui audiantur. Sed nos eo, unde abiit oratio, revertamur.

LIII. Eſt ergo Iſis naturæ

νωμένην καὶ ζητεῖν καὶ συναρμόττειν πάλιν. Τὸ γὰρ
ὂν καὶ νοητὸν καὶ ἀγαθὸν, φθορᾶς καὶ μεταβολῆς κρεῖττόν
ἐστι· τινὰς δὲ ἀπ' αὐτοῦ τὸ αἰσθητὸν καὶ σωματικὸν εἰκό-
νας ἐκμάττεται, καὶ λόγους, καὶ εἴδη καὶ ὁμοιότητας
ἀναλαμβάνει, καθάπερ ἐν κηρῷ σφραγῖδες, οὐκ ἀεὶ
διαμένουσιν, ἀλλὰ καταλαμβάνει τὸ ἄτακτον αὐτὰς
καὶ ταραχῶδες, ἐνταῦθα τῆς ἄνω χώρας ἀπεληλαμένον
B καὶ μαχόμενον πρὸς τὸν Ὧρον, ὃν ἡ Ἶσις εἰκόνα τοῦ
νοητοῦ κόσμου αἰσθητὸν ὄντα γεννᾷ. Διὸ καὶ δίκην φεύγειν
λέγεται νοθείας ὑπὸ Τυφῶνος, ὡς οὐκ ὢν καθαρὸς,
οὐδὲ εἰλικρινὴς, οἷος ὁ πατὴρ λόγος αὐτὸς καθ' ἑαυτὸν
ἀμιγὴς καὶ ἀπαθὴς, ἀλλὰ νενοθευμένος τῇ ὕλῃ διὰ τὸ
σωματικόν· περιγίνονται δὲ καὶ νῖκαι, τοῦ Ἑρμοῦ, τουτέστι
τοῦ λόγου, μαρτυροῦντος καὶ δεικνύοντος ὅτι πρὸς τὸ νοη-
τὸν ἡ φύσις μετασχηματιζομένη τὸν κόσμον ἀποδί-

A. 6. ἐστι· τινὰς δὲ] Lege ἐστιν· ἃς δὲ. Ita nil requiras ad integritatem loci.
B. 6. περιγίνονται δὲ καὶ νῖκαι] Scribendum περιγίνεται δὲ καὶ νικᾷ ut jam Xyl. vertit: poſtea Marklandus conjecit: Squirius recepit.

Iſide vagante conquiri, rurſumque componi. Id enim quod re vera eſt, ſolaque cernitur mente Bonum, extra interitus mutationiſque aleam ſitum habetur: ejus imagines quaſdam ſenſilis atque corporea natura impreſſas gerit, rationeſque ejus et formas ac ſimilitudines in ſe recipit, quomodo in cera ſigillorum ſimulachra finguntur: verum iſta non ſemper permanent, ſed confuſione et tumultibus excipiuntur in hac regione, ſuperiore expulſa, et adverſus Orum pugnantia, quem Iſis gignit ſenſile exemplum mundi ſola mente videndi. Eam ob rem pro ſpurio accuſatus a Typhone dicitur, utpote non purus, neque ſincerus ut pater ipſius forma per ſe mixtionis et motionis expers, ſed corporea materiei natura adulteratus. Cauſam tamen in judicio obtinet Orus, Mercurio, id eſt ratione, demonſtrante mundum a natura conformari imitatione ſubſtantiæ ſola in-

οὐκ ἀπώλεσεν, ἀλλ' ἀνεπλήρωσε δύναμιν. Ὅθεν ἐκείνη
μὲν ἀσθενὴς καὶ ἀδρανὴς ἐνταῦθα, φυρομένη καὶ προσ-
πλεκομένη τοῖς παθητικοῖς καὶ μεταβολικοῖς μέλεσι,
σεισμῶν μὲν ἐν γῇ καὶ τρόμων, αὐχμῶν, δὲ ἐν ἀέρι καὶ
πνευμάτων ἀτόπων, αὖθις δὲ πρηστήρων καὶ κεραυνῶν
δημιουργός ἐστι· φαρμάττει δὲ καὶ λοιμοῖς ὕδατα καὶ
πνεύματα, καὶ μέχρι σελήνης ἀνατρέχει καὶ ἀναχαι-
τίζει, συνέχουσα καὶ μελαίνουσα πολλάκις τὸ λαμπρὸν,
ὡς Αἰγύπτιοι νομίζουσι, καὶ λέγουσιν ὅτι τοῦ Ὥρου νῦν μὲν
E ἐπάταξε, νῦν δὲ ἐξελὼν κατέπιεν ὁ Τυφὼν τὸν ὀφθαλ-
μὸν, εἶτα τῷ ἡλίῳ πάλιν ἀπέδωκε· πληγὴν μὲν αἰνιτ-
τόμενοι τὴν κατὰ μῆνα μείωσιν τῆς σελήνης, πήρωσιν δὲ
τὴν ἔκλειψιν, ἣν ὁ ἥλιος ἰᾶται διαφυγούσης τὴν σκιὰν
τῆς γῆς εὐθὺς ἀντιλάμπων. Ἡ δὲ κρείττων καὶ θειοτέρα

D. 3. ἀνεπλήρωσε] Forte ἀνεπήρωσε ut Baxter. Bentl. Markl. et Squirius recepit. Nec tamen auſim vulgatam loco movere. Mox Squir. μέρεσι, pro μέλεσι, corrigit.
D. 6. τρόμων, αὐχμῶν, δὲ ἐν ἀέρι καὶ πνευμάτων] Ita recepimus ex Baſ. et Xyl. Vulgo τρόμων καὶ αὐχμῶν καὶ ἐν ἀέρι δὲ καὶ πνευμάτων—
D. 10. συνέχουσα] Corrigendum συγχέουσα Baxt. Bentl. Markl.
E. 3. πήρωσιν δὲ] Ita vulgatum πλήρωσιν δὲ corrigunt Mez. Bentl. Markl. et recepi, quando in A, quamvis a ſecunda manu, notatum reperi.
E. 4. διαφυγούσης] Non vitioſum: melius tamen διαφυγούσῃ Bentl. Markl. Squir.

interimendi non aboleviſſe ſed impleviſſe. Quo fit, ut ea imbecillis atque languida in hoc mundo rebus mutationum affectionumque variarum capacibus adhæreſcat: et in terra quidem concuſſiones tremoreſque, in aere æſtus ventoſque intempeſtivos, tum turbines igneos atque fulmina moliatur: aquas etiam et ſpiritus peſtilenti lue inficiat: et uſque ad Lunam excurrat ſeque efferat, ſæpe ſplendidum obfuſcans aerem: quod ſentientes Ægyptii, Typhonem dicunt alias percuſſiſſe, alias erutum deglutiſſe oculum Ori, deinde Soli reddidiſſe: ictu menſtruam Lunaris luminis diminutionem ſignificantes, impletione autem defectum, cui Sol medetur, Lunam, ubi ea umbram terræ evitavit, adverſus illuſtrans. Jam præſtantior ac divinior natura e tribus con-

μὲν γὰρ τρία, πρῶτος περισσός ἐστι καὶ τέλειος· τὰ δὲ τέτταρα, τετράγωνος ἀπὸ πλευρᾶς ἀρτίου τῆς δυάδος· τὰ δὲ πέντε, πῆ μὲν τῷ πατρί, πῆ δὲ τῇ μητρὶ προσέοικεν, ἐκ τριάδος συγκείμενα καὶ δυάδος· καὶ τὰ ΠΑΝΤΑ τῶν ΠΕΝΤΕ γέγονεν παρώνυμα, καὶ τὸ ἀριθμήσασθαι ΠΕΜΠΑΣΑΣΘΑΙ λέγουσιν. Ποιεῖ δὲ τετράγωνον ἡ πεντὰς ἀφ' ἑαυτῆς, ὅσον τῶν γραμμάτων παρ' Αἰγυπτίοις τὸ
B πλῆθός ἐστι, καὶ ὅσον ἐνιαυτῶν ἔζη χρόνον ὁ Ἆπις. Τὸν μὲν οὖν Ὧρον εἰώθασιν ΚΑΙΜΙΝ προσαγορεύειν, ὅπερ ἐστὶν ὁρώμενον· αἰσθητὸν γὰρ καὶ ὁρατὸν ὁ κόσμος. Ἡ δ' Ἶσις ἔστιν ὅτε καὶ ΜΟΥΘ καὶ πάλιν ΑΘΥΡΙ καὶ ΜΕΘΥΕΡ προσαγορεύεται· σημαίνουσι δὲ τῷ μὲν πρώτῳ τῶν ὀνομάτων μητέρα· τῷ δὲ δευτέρῳ οἶκον Ὥρου κόσμιον, ὡς καὶ Πλάτων χώραν γενέσεως καὶ δεξαμενήν· τὸ δὲ τρίτον σύνθετόν ἐστιν ἔκ τε τοῦ πλήρους καὶ τοῦ αἰτίου· πλήρης

B. 1. χρόνον ὁ Ἆπις. Τὸν μὲν οὖν] Omnes libri exceptis Baſ. et Xyl. monſtroſe χρόνον, ὃ ἄπιςων μὲν οὖν.
B. 5. προσαγορεύεται] Item ex ſolis Baſ. et Xyl. Cæteri προσαγορεύουσι.
B. 8. τοῦ αἰτίου—τοῦ ἀγαθοῦ] Markl. et Squir. τοῦ αἰτίου mutandum cenſent in τοῦ ἀγαθοῦ, ob ſequens τοῦ ἀγαθοῦ. Immo ob prius αἰτίου mutandum poſterius τοῦ ἀγαθοῦ in τοῦ αἰτίου. Nam τοῦ αἰτίου ſanum eſſe patet e Jablonſkii animadverſione Panth. Æg. P. I. p. 224. et P. II. p. 123.

rius quippe primus eſt impar ac perfectus numerus: quaternio eſt quadratum lateris paris binarii: quinarius qua patri, qua matri, congruit, conflatus e binario et ternione, is Græcis eſt *pente* a qua voce manaſſe videtur *panta*, quo Univerſum, et *pempaſaſthai*, quo numerare intelligitur vocabulo: quadratum porro quinarius producit a ſe, quantus eſt numerus litterarum apud Ægyptios, et quot annos vixit Apis. Orum ſolent ii *Kæmin* appellare, quod eſt *viſui expoſitum*: eſt enim mundus res ſenſilis et adſpectabilis. Iſis aliquando *Muth*, nonnunquam *Athyri*, quandoque *Methyer* nominatur: prima voce *mater* intelligitur, ſecunda *domus Ori mundana*, ſicut et Plato locum ortus et receptaculum fecit, tertia ex *plenitudine* et *cauſa* componi-

χομένης ἑτέρου, καὶ περὶ ἕτερον λιπαρούσης, γεγεννημένον. Ὁ γὰρ Πόρος οὐχ ἕτερός ἐστιν τοῦ πρώτου ἐραστοῦ καὶ ἐφετοῦ καὶ τελείου καὶ αὐτάρκους. Πενίαν δὲ τὴν ὕλην προσεῖπεν, ἐνδεᾶ μὲν οὖσαν αὐτὴν καθ' ἑαυτὴν τοῦ ἀγαθοῦ, πληρουμένην δὲ ὑπ' αὐτοῦ, καὶ ποθοῦσαν ἀεὶ καὶ μεταλαμβάνουσαν· ὁ δὲ γινόμενος ἐκ τούτων κόσμος καὶ Ὧρος, οὐκ ἀΐδιος οὐδὲ ἀπαθὴς, οὐδὲ ἄφθαρτος, ἀλλ'
E ἀειγενὴς ὢν, μηχανᾶται ταῖς τῶν παθῶν μεταβολαῖς καὶ περιόδοις ἀεὶ νέος καὶ μηδέποτε φθαρησόμενος διαμένειν.

νη'. Χρηστέον δὲ τοῖς μύθοις, οὐχ ὡς λόγοις πάμπαν οὖσιν, ἀλλὰ τὸ προσφορον ἑκάστου τὸ κατὰ τὴν ὁμοιότητα λαμβάνοντας. Ὅταν οὖν ὕλην λέγωμεν, οὐ δεῖ πρὸς ἐνίων φιλοσόφων δόξας ἀποφερομένους ἄψυχόν τι σῶμα καὶ ἄποιον ἀργόν τε καὶ ἄπρακτον ἐξ ἑαυτοῦ διανοεῖσθαι. Καὶ γὰρ ἔλαιον ὕλην μύρου καλοῦμεν, καὶ

E. 4. ἑκάστου τὸ] Delendum τό.

ac ob paupertatem ſemper aliorum appetente natus eſſet. Porus enim ille nihil eſt aliud quam id quod primo amatur atque appetitur perfectum et ſeipſo contentum. Materiæ autem nomen paupertatis indidit, quæ ſuapte natura indiga eſt boni, ab eoque impletur, et id ſemper expetit atque recipit. Ex his natus Orus ſive mundus, non ſempiternus eſt, neque mutationum exſors et interitus, ſed identidem naſcens, vicibus mutationum ſubinde atque affectionum novus recuditur, permanetque ut nunquam periturus.

LVIII. Porro autem fabulis utendum eſt, non quaſi eæ rem prorſus doceant, ſed quod ob ſimilitudinem cum re ipſa aliquam commodum ad ejus explicationem offertur, deſumendum inde eſt. Ergo ubi materiam nominamus, non debemus philoſophorum quorundam opiniones ſecuti, corpus aliquod animæ expers ac qualitatum, et otioſum ſuapte natura atque inefficax imaginari; nam et oleum unguenti materiam vocamus, et aurum

νθʹ. Ὅπου δὲ ὁ Τυφὼν παρεμπίπτει τῶν ἐσχάτων
ἁπτόμενος, ἐνταῦθα δοκοῦσαν ἐπισκυθρωπάζειν καὶ πενθεῖν
λεγομένην, καὶ λείψανα ἄττα καὶ σπαράγματα τοῦ
Ὀσίριδος ἀναζητεῖν καὶ στολίζειν, ὑποδεχομένην τὰ
φθειρόμενα καὶ ἀποκρύπτουσαν, ὥσπερ ἀναφαίνει πάλιν τὰ
B γινόμενα, καὶ ἀνίησιν ἐξ ἑαυτῆς. Οἱ μὲν γὰρ ἐν οὐρανῷ
καὶ ἄστροις λόγοι καὶ εἴδη καὶ ἀπόρροαι τοῦ θεοῦ μένουσι,
τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα, γῇ καὶ θαλάττῃ καὶ
φυτοῖς καὶ ζώοις, διαλεγόμενα, καὶ φθειρόμενα καὶ θαπ-
τόμενα, καὶ πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται
ταῖς γενέσεσι. Διὸ τὸν Τυφῶνα τῇ Νέφθυϊ συνοικεῖν
φησὶν ὁ μῦθος, τὸν δὲ Ὄσιριν κρύφα συγγενέσθαι· τὰ γὰρ
ἔσχατα μέρη τῆς ὕλης ἃ Νέφθυν καὶ Τελευτὴν κα-
λοῦσιν, ἡ φθαρτικὴ μάλιστα κατέχει δύναμις· ἡ δὲ γό-
νιμος καὶ σωτήριος ἀσθενὲς σπέρμα καὶ ἀμαυρὸν εἰς ταῦτα
C διαδίδωσιν, ἀπολλυμένη, ὑπὸ τοῦ Τυφῶνος, πλὴν

B. 4. διαλεγόμενα] Placet præ cæteris conjecturis, Baxteri διαλυόμενα. Modo: malim ἐνδιεσπαρμένα. Mox in καὶ πολλάκις, deleam καί.

C. 1. ἀπολλυμένη] Immo ἀπολλυμένων: nimirum σπέρμα. Ita Bentleius.

LIX. Ubi autem Typhon extrema tangens incidit, ibi videri eam mœſtam, ac dici lugere, et reliquias quaſdam fruſtaque diſcerpti Oſiridis conquirere ac velare, dum ea quæ intereunt excipit atque occultat, ut rurſum ex ſeſe edat atque emittat res naſcentes. Etenim quæ in cœlo et ſideribus ſunt formæ ac defluxus dei, permanent: quæ autem ſparſa ſunt in res motibus obnoxias, terram, mare, ſtirpes, animalia, ea mutantur, intereunt, ſepeliunturque, et ſæpenumero rurſum exſiſtunt, in lucemque emicant orta. Itaque fabula Typhonem maritum Nephthyos facit, et cum hac occulte coiiſſe Oſirin. Extremas enim materiæ partes, quæ Nephthyos et Finis nomine intelliguntur, vis maxime interitum rebus adferens continet: vis autem genitalis et conſervatrix rerum, imbecillum ſemen et languidum in

οὖσαν, ἱεμένου καὶ φερομένου, καὶ τοῦ συνιέναι καὶ τἀγαθὸν ὅλως, καὶ ἀρετὴν ἐπὶ τοῖς εὐροῦσι καὶ θέουσι θέσθαι· καθάπερ αὖ πάλιν τοῖς ἀντιφωνοῦσιν ὀνόμασι λοιδορεῖσθαι τὸ κατὰ τὴν φύσιν ἐμποδίζον καὶ συνδέον καὶ ἴσχον καὶ κωλῦον ἵεσθαι καὶ ἰέναι, κακίαν, ἀπορίαν, δειλίαν, ἀνίαν προσαγορευόντων.

E ξα΄. Ὁ δὲ Ὄσιρις ἐκ τοῦ ὍΣΙΟΥ καὶ ἹΕΡΟΥ τοὔνομα μεμιγμένον ἔσχηκε· κοινὸς γάρ ἐστι τῶν ἐν οὐρανῷ καὶ τῶν ἐν ᾅδου λόγος· ὧν τὰ μὲν, ἱερὰ, τὰ δὲ, ὅσια τοῖς παλαιοῖς ἦν προσαγορεύειν. Ὁ δὲ ἀναφαίνων τὰ οὐράνια καὶ τῶν ἄνω φερομένων Ἄνουβις λόγος, ἔστι δὲ, ὅτε καὶ Ἑρμάνουβις ὀνομάζεται, τὸ μὲν, ὡς τοῖς ἄνω, τὸ δὲ, ὡς τοῖς κάτω προσῆκον· διὸ καὶ θύουσιν αὐτῷ τὸν μὲν λευκὸν ἀλεκτρυόνα, τὸν δὲ κροκίαν, τὰ μὲν, εἰλικρινῆ καὶ φανὰ, τὰ δὲ, μικτὰ καὶ ποικίλα νομίζοντες. Οὐ δεῖ δὲ θαυμάζειν τῶν ὀνομάτων τὴν εἰς τὸ Ἑλληνικὸν

E. 4. τοῖς παλαιοῖς ἦν] Lego τοῖς πάλαι ἔθος ἦν. Mox προσήκων habet Venet.

vocaſſe itidem, quaſi mentis agitationem, vocibus omnibus ab *ienai* (quod eſt ire) deductis, hinc *ſynienai* intelligere eſt: et omnino ſimili ratione ab eo boni, virtutiſque explicantur vocabula: ſicut contrariis notantur traducunturque appellationibus ea quæ naturam impediunt ejuſque progreſſionibus moram obſtando injiciunt, ut malum, indigentia, timiditas, moleſtia.

LXI. Sic ergo Oſiris nomen habet ex *hoſio* et *hiero* (quod eſt *ſancto* et *ſacro*) conflatum: communis enim eſt ratio eorum quæ in cœlo et apud inferos ſunt, quorum altera hiera, altera hoſia veteres nuncupabant. Jam qui cœleſtia oſtendit Anubis, ſuperiorum quaſi ratio, (*ano* enim ſupra eſt) aliquando etiam Hermanubis uſurpatur: altero nomine ſuperioribus, altero inferis ſcilicet conveniente: itaque ei immolant alias album, alias flavum gallum; ſupera ſincera et manifeſta, infera mixta et varia eſſe docentes. Neque vero mira debet videri

τοῦτο δὲ Ἑλληνικόν, ἄμφω δὲ ἑνὸς θεοῦ καὶ μιᾶς δυνάμεως ἡγούμενος.

ξβ'. Ἔοικε δὲ τούτοις καὶ τὰ Αἰγύπτια· τὴν μὲν γὰρ Ἶσιν πολλάκις τῷ τῆς Ἀθηνᾶς ὀνόματι καλοῦσι, φράζοντι τοιοῦτον λόγον, ΗΛΘΟΝ ΑΠ' ἘΜΑΥΤΗΣ· ὅπερ ἐστὶν αὐτοκινήτου φορᾶς δηλωτικόν· ὁ δὲ Τυφών, ὥσπερ
B εἴρηται, ΣΗΘ, καὶ ΒΕΒΩΝ, καὶ ΣΜΥ ὀνομάζεται, βίαιόν τινα καὶ κωλυτικὴν ἐπίσχεσιν, ὑπεναντίωσιν, ἢ ἀναστροφὴν ἐμφαίνειν βουλομένων τῶν ὀνομάτων. Ἔτι τὴν σιδηρῖτιν λίθον, ὀστέον Ὥρου, Τυφῶνος δὲ τὸν σίδηρον, ὡς ἱστορεῖ Μάνεθος, καλοῦσιν. Ὥσπερ γὰρ ὁ σίδηρος πολλάκις μὲν ἑλκομένῳ καὶ ἑπομένῳ πρὸς τὸν λίθον ὅμοιός ἐστι, πολλάκις δὲ ἀποστρέφεται καὶ ἀποκρούεται πρὸς τοὐναντίον, οὕτως ἡ σωτήριος καὶ ἀγαθὴ καὶ λόγον ἔχουσα τοῦ κόσμου κίνησις ἐπιστρέφεταί τε καὶ προσάγεται καὶ μαλακώτερον ποιεῖ, πείθουσα τὴν σκληρίαν ἐκείνην καὶ

A. 10. Ἀθηνᾶς ὀνόματι] Xyl. nomen proprium excidiſſe putans, locum in verſione aſteriſcis notavit. Atqui non opus fuit Plutarcho, nomen diſerte ponere. Νηΐθ voluiſſe videtur Jablonſkio Panth. Æg. P. I. p. 76.

B. 10. μαλακώτερον—ἀναχεθεῖσα] Legendum μαλακωτέραν—συναχθεῖσα εἰς ἑαυτήν. Non mutem σκληρίαν: at ἀπειρίαν, *infinitatem*, malim pro ἀπορίαν.

Græcum, ambo unius dei ſeu facultatis vocabula cenſeo.

LXII. His conveniunt etiam Ægyptia. Iſidem enim ſæpenumero nomine Minervæ ſignificant, quæ vox ſignificat motum a ſeipſo profectum. Typhon autem, ſicut monſtratum fuit, *Seth*, *Bebon*, et *Smy* appellatur: quibus verbis indicatur violenta quædam inhibitio, contrarietas, aut inverſio. Præterea magnetem lapidem offis Ori, ferrum offis Typhonis nomine afficiunt, ut Manethos narrat. Sicut enim ferrum ſæpe ſimile eſt tracti a lapide et eum ſequentis, ſæpe avertitur in diverſam partem, ita motus mundi ſalutaris, bonus, et ratione conſtans aliquando verſat, ad ſe ducit atque molliorem reddit obſequentem ſibi duram illam ac

περιέχει τὰ σειόμενα τέτταρα· καὶ γὰρ ἡ γεννωμένη καὶ φθειρομένη μοῖρα τοῦ κόσμου, περιέχεται μὲν ὑπὸ τῆς σεληνιακῆς σφαίρας, κινεῖται δὲ ἐν αὐτῇ πάντα καὶ μεταβάλλεται διὰ τῶν τεττάρων στοιχείων, πυρὸς, καὶ γῆς, καὶ ὕδατος, καὶ ἀέρος. Τῇ δὲ ἀψῖδι τοῦ σείστρου κατὰ κορυφὴν ἐντορεύουσιν αἴλουρον ἀνθρώπου πρόσωπον ἔχοντα· κάτω δὲ ὑπὸ τὰ σειόμενα, πῆ μὲν Ἴσιδος, πῆ δὲ
E Νέφθυος πρόσωπον, αἰνιττόμενοι τοῖς μὲν προσώποις γένεσιν καὶ τελευτὴν, αὗται γάρ εἰσι τῶν στοιχείων μεταβολαὶ καὶ κινήσεις, τῷ δὲ αἰλούρῳ τὴν σελήνην, διὰ τὸ ποικίλον καὶ νυκτουργὸν καὶ γόνιμον τοῦ θηρίου· λέγεται γὰρ ἓν τίκτειν, εἶτα δύο καὶ τρία καὶ τέσσαρα καὶ πέντε, καὶ καθ' ἓν οὕτως ἄχρι τῶν ἑπτὰ προστίθησιν, ὥστε ὀκτὼ καὶ εἴκοσι τὰ πάντα τίκτειν, ὅσα καὶ τῆς σελήνης φῶτά
F ἐστιν. Τοῦτο μὲν οὖν ἴσως μυθωδέστερον· αἱ δὲ ἐν τοῖς ὄμμασιν αὐτοῦ κόραι πληροῦσθαι μὲν καὶ πλατύνεσθαι

D. 5. γεννωμένη] Sic Ald. Baſ. Xyl. A. E. At γενομένη Steph.

periore parte rotundi apex admonet de quatuor corporibus quæ concutiuntur; nam quæ pars mundi ortui et obitui eſt obnoxia, ea continetur globo Lunæ: inque ea omnia moventur ac mutantur ratione quatuor elementorum, ignis, terræ, aquæ, et aeris. Apici ſiſtri autem in vertice infigunt felem humana facie, imæ parti infra ea quæ quatiuntur, aliquando Iſidis, interdum Nephthyos faciem: his faciebus notant ortum et interitum, quæ ſunt elementorum mutationes atque motus: fele Lunam repræſentante, ob animalis iſtius varietatem, ac vim noctu agendi et fœcunditatem; dicitur enim unum principio catulum parere, deinceps duos, tres, quatuor, unoque ſubinde plures donec ſeptem uno partu edat, itaque duodetriginta in ſumma parit, qui eſt numerus dierum Lunæ. Verum hoc fortaſſe fabulæ ſit ſimilius: ſed felis oculorum pupillæ impleri dilatarique videntur ſub pleni-

τοὺς θεοὺς τούτους περὶ πᾶσαν ἀγαθοῦ μοῖραν ἡγούμεθα τετάχθαι, καὶ πᾶν ὅσον ἔνεστι τῇ φύσει καλὸν καὶ ἀγαθὸν, διὰ τούτους ὑπάρχειν, τὸν μὲν, διδόντα τὰς ἀρχὰς,
B τὴν δὲ, ὑποδεχομένην καὶ διαμένουσαν.

ξέ. Οὕτω δὲ καὶ τοῖς πολλοῖς καὶ φορτικοῖς ἐπιχειρήσομεν, εἴτε ταῖς καθ' ὥραν μεταβολαῖς τοῦ περιέχοντος, εἴτε ταῖς καρπῶν γενέσεσι καὶ σποραῖς καὶ ἀρότοις χαίρουσι, τὰ περὶ τοὺς θεοὺς τούτους συνοικειοῦντες, καὶ λέγοντες θάπτεσθαι μὲν τὸν Ὄσιριν ὅτε κρύπτεται τῆς γῆς σπειρόμενος ὁ καρπὸς, αὖθις δὲ ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι ὅτε βλαστήσεως ἀρχή· διὸ καὶ λέγεσθαι, τὴν Ἶσιν αἰσθομένην ὅτι κύει, περιάψασθαι φυλακτήριον, ἕκτῃ μηνὸς ἱσταμένου Φαωφί· τίκτεσθαι δὲ τὸν Ἁρποκράτην περὶ τροπὰς χειμερινὰς, ἀτελῆ καὶ νεαρὸν ἐν τοῖς
C προανθοῦσι καὶ προβλαστάνουσι· διὸ καὶ φακῶν αὐτῷ φυο-

B. 1. διαμένουσαν] In promptu eſt correctio διανέμουσαν, quæ Squirium non latuit.

B. 4. ἀρότοις] Sic A. E. Flor. P. Vulgo ἀρότροις. Mox pro ἀρχὴ Reiſk. ἄρχει : bene. Tum τῆς γῆς mutandum in τῇ γῇ cum Bentl. Markl. Squir.

enim ratione communi hos deos omni bonorum portioni præeſſe cenſemus, et quidquid in natura pulchrum bonumve ineſt, iis acceptum ferimus: illo principia ſuppeditante, hac vim excipiente et conſervante.

LXV. Eodem pacto vulgares quoque et moleſtas ſententias refellemus eorum, qui vel aeris ſecundum anni partes mutationibus, vel frugum procreationi, ſementi, arationi gaudent accommodare ea quæ de his diis memorantur: ut cum dicunt Oſiridem ſcpeliri quando ſemen terra occulitur: in vitam redire et rurſum apparere quando pullulare incipit; ideoque dici, Iſin cum ſe ſentiret eſſe gravidam, appendiſſe ſibi amuletum, ſexta die menſis Phaophi, et peperiſſe Harpocratem ſub ſolſtitium hybernum, imperfectum ac recentem, quod tum prævii flores et germina prima enaſcuntur: ideoque ei fabarum naſcentium

μὴ λάθωσιν εἰς πνεύματα, καὶ ῥεύματα, καὶ σπόρους, καὶ ἀρότους, καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγράφοντες τὰ θεῖα καὶ διαλύοντες, ὥσπερ οἱ Διόνυσον τὸν οἶνον,
E Ἥφαιστον δὲ τὴν φλόγα· Φερσεφόνην δέ φησί που Κλεάνθης τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα· ποιητής δέ τις ἐπὶ τῶν θεριζόντων,

Τῆμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν.

Οὐδὲν γὰρ τούτου διαφέρουσι τῶν ἱστία καὶ κάλους καὶ ἄγκυραν ἡγουμένων κυβερνήτην, καὶ νήματα καὶ κρόκας ὑφάντην, καὶ σπονδεῖον ἢ μελίκρατον ἢ πτισάνην ἰατρόν· ἀλλὰ δεινὰς καὶ ἀθέους ἐμποιοῦσι δόξας, ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις ἀναγκαίως ὑπ' ἀνθρώπων δεομένων καὶ χρωμένων φύσεσι καὶ πράγμασιν ὀνόματα θεῶν ἐπιφέροντες. Ταῦτα μὲν γὰρ αὐτὰ νοῆσαι θεοὺς οὐκ ἔστιν.

F ξζ'. Οὐ γὰρ οὖν οὐδὲ ἄψυχον ἀνθρώποις ὁ θεὸς

D. 8. ἀρότους—διαγράφοντες] Prius dedimus ex A. E. P. Poſterius ex A. E. Venet. P. Mez. Vulgo ἀρότρους—διαγνάφοντες.

F. 1. Οὐ γὰρ οὖν—ἐνομίσαμεν] Locus ita e conjectura refingatur. Οὐ γὰρ ἄνουν, οὐδὲ ἄψυχον, οὐδὲ ἀνθρώποις ὁ θεὸς ὑποχείριον· ἀπὸ τούτων δὲ (ſcil. καρπῶν) τοὺς χαριζομένους αὐτὰ καὶ δωρουμένους ἡμῖν—ἐνομίσαμεν. Aliter alii: ἄνουν etiam Reiſkius vidit.

ſpiritus, fluxus, ſementes, arationes, terræque adfectiones et tempeſtatum mutationes permutent atque diſſipent: ut ii qui Bacchum pro vino, Vulcanum pro flamma accipiunt: ſic et Cleanthes alicubi Proſerpinam (quæ Græcis eſt Pherſephone) ait eſſe ſpiritum qui per fruges dum fertur, interimitur: et quidam poeta de meſſoribus dixit:

Cum lecti juvenes Cereris jam membra ſecarent,

Hi ſane nihil ab iis differunt, qui vela, rudentes et anchoram pro gubernatore, et fila ac ſtamina pro textore, et cyathum, mulſum, vel ptiſanam pro medico habent. Adde quod peſſimas et impias iſti opiniones excitant, qui deorum nomina rebus ſenſu animaque carentibus, et uſu hominum neceſſario pereuntibus imponunt: quæ ut dii ſint, nullo modo intelligi poteſt.

LXVII. Non enim deus res eſt animæ expers, et ma-

σοφίας μυσταγωγὸν ἀναλαβόντας, ὁσίως διανοεῖσθαι τῶν
B λεγομένων καὶ δρωμένων ἕκαστον· ἵνα μὴ, καθάπερ Θεόδωρος εἶπε, τοὺς λόγους αὐτοῦ τῇ δεξιᾷ προτείνοντος, ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν, ἑτέρως ὑπολαμβάνοντες, ἐξαμάρτωμεν. Ὅτι γὰρ ἐπὶ τὸν λόγον ἀνοιστέον ἅπαντα, καὶ παρ' αὐτῶν ἐκείνων ἔστι λαβεῖν. Τῇ μὲν γὰρ ἐνάτῃ ἐπὶ δέκα τοῦ πρώτου μηνὸς ἑορτάζοντες τῷ Ἑρμῇ, μέλι καὶ σῦκον ἐσθίουσιν, ἐπιλέγοντες, ΓΛΥΚΥ Ἡ ΑΛΗΘΕΙΑ. Τὸ δὲ τῆς Ἴσιδος φυλακτήριον, ὃ περιάπτεσθαι μυθολογοῦσιν αὐτὴν, ἐξερμηνεύεται ΦΩΝΗ ΑΛΗΘΗΣ. Τὸν δὲ Ἁρποκράτην οὔτε θεὸν ἀτελῆ
C καὶ νήπιον, οὔτε χεδροπῶν τινα νομιστέον, ἀλλὰ τοῦ περὶ θεῶν ἐν ἀνθρώποις λόγου νεαροῦ καὶ ἀτελοῦς καὶ ἀδιαρθρώτου προστάτην καὶ σωφρονιστήν· διὸ τῷ στόματι τὸν

B. 5. ἑτέρως] Sic Baſ. Xyl. E. Mez. Squir. Vulgo ἑτέρους.

B. 9. ἐπὶ τὸν λόγον ἀνοιστέον] Ita præbuit Exempl. Turneb. quocum conſentit varia lectio in margine Venet. codicis ἀνοιστέον. Meziriacus haud inepte περὶ τῶν λόγων ἀνοιστέον. Vulgo περὶ τὸν λόγον ἀνυστέον.

B. 11. θεὸν ἀτελῆ] Sic E. Ald. Baſ. Xyl. Vulgo θεῶν.

apprime ratione e philoſophia deſumpta, quæ nos ſacris initiet, ſancte eorum quæ aguntur dicunturque unumquodque conſiderare; ne, quomodo Theodorus dicebat, ſe orationes dextra porrigente, auditorum nonnullos læva eas accipere: ſic nos quæ leges de ſacrificiis et feſtivitatibus bene præcipiunt, aliter quam rectum eſt intelligentes, peccemus. Etenim omnia eſſe ad rationem referenda, ex ipſis illis poteſt deprehendi. Undevigeſima die primi menſis, diem Mercurio feſtum celebrantes, mel et ficos edunt, ſimul dicentes, *Dulce eſt veritas.* Iſidis amuletum, quod appendiſſe eam ſibi fabulantur, interpretatum ſonat *Vocem veram.* Harpocrates neque deus imperfectus et infans putandus eſt, neque ullum leguminum: ſed præſes atque corrector recentis, imperfectæ, et incompoſitæ hominum de diis ſen-

δόξας, καὶ συνταράττειν ὑποψίαις ἀτόποις; Καὶ παρ' Ἕλλησιν ὅμοια πολλὰ γίνεται περὶ τὸν αὐτὸν ὁμοῦ τι χρό-
E νον, οἷς Αἰγύπτιοι δρῶσιν ἐν τοῖς ὁσίοις. Καὶ γὰρ Ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν Θεσμοφορίοις χαμαὶ καθήμεναι. Καὶ Βοιωτοὶ τὰ τῆς Ἀχαιᾶς μέγαρα κινοῦσιν, Ἐπαχθῆ τὴν ἑορτὴν ἐκείνην ὀνομάζοντες, ὡς διὰ τὴν τῆς κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης· ἔστι δὲ ὁ μὴν οὗτος περὶ πλειάδα σπόριμος, ὃν Ἀθὺρ Αἰγύπτιοι, Πυανεψιῶνα δὲ Ἀθηναῖοι, Βοιωτοὶ δὲ Δαμάτριον καλοῦσι. Τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν, τὸν μὲν χειμῶνα Κρόνον, τὸ δὲ θέρος, Ἀφροδίτην, τὸ δὲ ἔαρ, Περσεφόνην· ἐκ δὲ
F Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. Φρύγες δὲ τὸν θεὸν οἰόμενοι χειμῶνος καθεύδειν, θέρους δ' ἐγρηγορέναι, τοτὲ μὲν κατευνασμοὺς τοτὲ δὲ ἀνεγέρσεις βακχεύοντες

E. 3. *μέγαρα κινοῦσιν*] Tuetur Squir. eo ſenſu, ut *parva quædam fana Cereris Achææ circumtulerint*. Spanhem. ad Callim. Cer. 12. corrigit Μεγαλάρτια κινοῦσιν. Toup. Append. ad Theocrit. p. 44. *μέγαρα οἰκοῦσιν*. Adhuc ſub judice lis eſt. Unus E. a vulgato aliud habet, idque a prima manu, *κονοῦσι*, quod forte ſit *pulvere adſpergunt*: corrector vulgatum *κινοῦσι* repoſuit.

neque opiniones de diis confundendæ et cum ſuſpicionibus abſurdis miſcendæ ſunt. Atqui quo tempore Ægyptii ſacris operantur, multa eodem tempore ſimilia apud Græcos aguntur. Nam et Athenis mulieres Theſmophoria obeuntes jejunant humi deſidentes. Et Bœoti Achææ Megara movent, feſtivitatemque eam *moleſtam* nominant, quod nimirum Ceres ob Proſerpinæ filiæ deſcenſum in dolore ſit. Fiunt hæc menſe ſationis circa Virgiliarum ortum, quem menſem Athyr Ægyptii, Pyanepſionem Athenienſes, Bœoti Damatrium, id eſt Cerealem nuncupant. Theopompus narrat eos qui ad Solis occaſum habitant, cenſere et appellare hyemem Saturnum, æſtatem Venerem, ver Proſerpinam: et omnia naſci ex Saturno atque Venere. Phryges deum opinantes hyeme dormire, æſtate vigilare, hyeme ſopitiones

νάνδρου ποιήματα ὑποτιθέμενον, οὕτως ἐκεῖνοι τοῖς τῶν
θεῶν ὀνόμασι τὰ τῶν θεῶν δῶρα καὶ ποιήματα καλεῖν
B οὐκ ἐφείδοντο, τιμῶντες ὑπὸ χρείας καὶ σεμνύνοντες·
οἱ δὲ ὕστερον, ἀπαιδεύτως δεχόμενοι καὶ ἀμαθῶς ἀναστρέ-
φοντες ἐπὶ τοὺς θεοὺς τὰ πάθη τῶν καρπῶν, καὶ τὰς
παρουσίας τῶν ἀναγκαίων καὶ ἀποκρύψεις, θεῶν γενέσεις
καὶ φθορὰς οὐ προσαγορεύοντες μόνον, ἀλλὰ καὶ νομί-
ζοντες, ἀτόπων καὶ παρανόμων καὶ τεταραγμένων δοξῶν
αὑτοὺς ἐνέπλησαν, καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν
ἐν ὀφθαλμοῖς ἔχοντες, οὐ μόνον Ξενοφάνης ὁ Κολοφώ-
νιος, ἢ ἑξῆς οἱ τοὺς Αἰγυπτίους εἰ θεοὺς νομίζουσι, μὴ
θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν, ἀλλ' ὅτι γε-
C λοῖον ἅμα θρηνοῦντας εὔχεσθαι, τοὺς καρποὺς πάλιν ἀνα-
φαίνειν καὶ τελειοῦν ἑαυτοῖς, ὅπως πάλιν ἀναλίσκωνται
καὶ θρηνῶνται.

οα'. Τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν

B. 8. ἔχοντες, οὐ μόνον—νομίζειν, ἀλλ' ὅτι γελοῖον ἅμα θρηνοῦντας] Corrigo: ἔχοντες. Ὁ μὲν οὖν Ξενοφάνης ὁ Κ. ἠξίωσε τοὺς Αἰγυπτίους—νομίζειν· ἄλλα δὲ ἐγίλων, ἅμα θρηνοῦντας: vel in poſtremis ita νομίζειν· ἄλλως δὲ γελοῖον ἅμα θρ. Verſionem correxi.
C. 2. ἑαυτοῖς] Recte Squir. ἑαυτοὺς. Itaque Latina emendavimus.

illi nomina deorum liberaliter donis ac operibus deorum tribuerunt, ob utilitatem ea honorantes atque exornantes. Sed poſteri horum indocte iſta accipientes, imperiteque in ipſos deos detorquentes, ea quæ frugibus accidunt alias exorientibus alias occultatis, deorum ortus interituſque non vocando duntaxat, ſed etiam ſic habere rem arbitrando, ſeipſos abſurdis, impiis, tumultuoſiſque opinionibus obruerunt, quanquam abſurditatem rei in conſpectu habentes. Igitur Xenophanes Colophonius, Ægyptios monuit, ut aut ne lugerent eos quos deos cenſerent eſſe, aut pro diis non haberent quos lugendos crederent: ſed et ridiculum lugendo obſecrare fructus ut ipſi ſe iterum proferant et naſcantur, quo iterum conſumantur et lugeantur.

LXXI. Verum res aliter

Ἀθηνᾶς, καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης,

E Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἴσῃ.

Αἰγυπτίων δὲ οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῶα, καὶ περιέποντες ὡς θεούς, οὐ γέλωτος μόνον οὐδὲ χλευασμοῦ καταπεπλήκασι τὰς ἱερουργίας· ἀλλὰ τοῦτο τῆς ἀβελτηρίας ἐλάχιστόν ἐστι κακόν· δόξα δὲ ἐμφύεται δεινή, τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείδουσα τὴν δεισιδαιμονίαν, τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐμπίπλουσα καὶ θηριώδεις λογισμούς. Ἧ, καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι.

οβʹ. Τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῶα τοὺς θεοὺς τὸν
F Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύπτοντας ἑαυτοὺς σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων, πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν· καὶ τὸ ταῖς ψυχαῖς τῶν θανόντων ὅσαι διαμένουσιν, εἰς ταῦτα μόνα γίνεσθαι τὴν

E. 1. κύων ἴσῃ] Secutus ſum Xyl. Salm. Markl. Squir. Vulgo κύων ἴσοι.
E. 6. ὑπερείδουσα] Legendum ὑπερείπουσα. Frequentiſſima confuſio verborum. Vidit et Reiſk. Proxima ſana ſunt nec mutanda.

corvum Apollinis, canem Dianæ, ſicut Euripides de Hecuba,

Hecates ſimulacbrum luciferæ fies canis.

Sed Ægyptiorum plerique colentes ipſa animalia et tractantes tanquam deos, non ſannis modo et irriſioni totam pœne ſacrorum objecerunt rationem: hoc enim a ſtultitia illa malum provenit minimum: ſed et vehemens ingeneratur animis opinio, quæ infirmis atque ſimplicibus meram inducit ſuperſtitionem, vehementiores atque audaciores ad negandum deos, belluinaſque cogitationes propellit. Quo fit, ut de his ipſis etiam aliquid probabiliter diſſerere non ſit alienum.

LXXII. Nam quod traditur deos Typhonis metu in iſta animalia tranſiiſſe latendi cauſa, et corporis ibium, canum, accipitrum ſe occuluiſſe: id quovis prodigioſo commento, quavis fabula, eſt vanius: neque plus fidei meretur, quam animas mortuorum eas quæ

B ἐρᾶς ἀπαύςου πρόφασιν· τῶν γὰρ θηρίων, ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾶν καὶ σέβεσθαι, δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων, καὶ τροφὴν ἑτέραν ἑτέρους προσίεσθαι πεφυκότας, ἀμυνόντας ἀεὶ τοῖς οἰκείοις ἕκαστοι καὶ χαλεπῶς ἀδικουμένοι φέροντες ἐλάνθανον ταῖς τῶν θηρίων ἔχθραις συνελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. Μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δὲ Ὀξυρυγχῖται καθ' ἡμᾶς, τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον ἰχθὺν ἐσθιόντων, κύνας συλλαβόντες καὶ C θύσαντες, ὡς ἱερεῖον κατέφαγον· ἐκ δὲ τούτου καταςάντες εἰς πόλεμον, ἀλλήλους τε διέθηκαν κακῶς, καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν.

ογ'. Πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῶα τὴν τοῦ Τυφῶνος αὐτοῦ διαρέσθαι ψυχὴν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς τοῦ

B. 3. τροφὴν—συνελκόμενοι] Legendum: τροφὴν ἑτέρων ἕτερα προσίεσθαι πεφυκότων, ἀμύνοντες ἀεὶ—ἔχθραις συνεφελκόμενοι.
C. 5. διάρεσθαι] An διῃρῆσθαι *diſtributam eſſe*.

liſſe: cum enim aliis aliorum animalium cultum injunxiſſet, quæ inter ſe inimicitias exercent, et unum ab alio cibi gratia expetitur: dum ſua ſingulæ defendunt animalia, et eorum injurias ægre ferunt, factum eſſe ut ob animalium inimicitias ipſæ gentes, re non obſervata, infeſtæ ſibi invicemque hoſtes redderentur. Sane ſoli omnium Ægyptiorum Lycopolitæ ovem edunt; quia idem lycos, id eſt lupus, facit, quem pro deo habent. Et noſtra adeo tempeſtate cum Cynopolitæ piſcem oxyrinchum ederent, Oxyrinchitæ canes comprehenſos ac mactatos victimæ in morem comederunt: eaque de cauſa conflato bello, cum ipſæ gravibus ſeſe invicem damnis affecerunt urbes, tum adfectæ a Romanis pœnam iis infligentibus fuerunt.

LXXIII. Porro cum multi dicant ipſam Typhonis animam in has beſtias avolaſſe: fabulæ involucro tegi hoc po-

μέναι, τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι,
E καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια, πάντων παρόντων, συνεμβάλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον. Ὁ γὰρ Ἄπις δοκεῖ μετ' ὀλίγων ἄλλων ἱερὸς εἶναι τοῦ Ὀσίριδος· ἐκείνῳ δὲ τὰ πλεῖστα προσνέμουσι. Κἂν ἀληθὴς ὁ λόγος οὗτος, σημαίνειν ἡγοῦμαι τὸ ζητούμενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς τιμάς, οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς ὁ Ἆπις, οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον καλοῦσι.

F οδ'. Λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικόν, ὧν ἔνια θατέρου, πολλὰ δ' ἀμφοῖν μετέσχηκε. Βοῦν μὲν οὖν καὶ πρόβατον καὶ ἰχνεύμονα δῆλον ὅτι χρείας ἕνεκα καὶ ὠφελείας ἐτίμησαν· ὡς Λήμνιοι κορύδους, τὰ τῶν ἀττελάβων εὑρίσκοντας ὠὰ καὶ κόπτοντας· Θεσσαλοὶ δὲ

D. 10. ταφὰς ἔχωσι] Xyl. ſupplet Ἄπιδος. Proxima mire turbata: quædam corrigere licet: legendum συνεμβάλλουσι: porro ἐκείνῳ accipiendum de Typhone: σημαίνειν mutandum in συμβαίνειν cum Markl. Tum poſt αὐτὸς ὁ Ἆπις excidiſſe videtur ὁ Πᾶν, vel aliud ejus numinis nomen ὁ Μένδης, vel ὁ Θμοῦϊς, judice Weſſelingio ad Diod. Sic. I, 84.

ignotæ: niſi quod ſepulturam Apidis celebrantes, atque illa producentes, quædam omnibus præſentibus una in ſepulchrum conjiciunt: exiſtimantes hoc pacto ſe Typhoni voluptatem percipienti viciſſim moleſtiam objicere, lætitiamque ejus infringere. Etenim Apis videtur cum paucis aliis ſacer eſſe Oſiridi: ei autem pleraque attribuunt. Quod ſi vera eſt hæc ratio, exiſtimo ea ſignificari id quod quæritur de in confeſſo poſitis, et honores communes habentibus: cujus generis ſunt ibis, accipiter, cynocephalus, et ipſe Apis, ſic enim caprum ſcilicet, qui Mendete alitur, nominant.

LXXIV. Relinquitur, ut ad utilitatem, et notationem qua aliquid deſignant, reſpiciatur: quorum utrumque pleriſque, multis alterum adeſt. Bovem nimirum, et ovem, et ichneumonem liquet utilitatis gratia atque emolumenti honorem inveniſſe: qua ratione Lemnii galeritam honorant, quia bruchorum ova invenit ac confringit; et Theſſali ci-

οε'. Οὐ μὴν οὐδὲ ὁ κροκόδειλος αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμὴν, ἀλλὰ μίμημα θεοῦ λέγεται γεγονέναι, μόνος μὲν ἄγλωσσος ὢν, φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροσδεής ἐστι, καὶ δι' ἀψόφου βαίνων κελεύθου καὶ δίκης τὰ θνητὰ ἄγει κατὰ δίκην· μόνου δέ φασιν ἐν ὑγρῷ διαιτωμένῳ τὰς ὄψεις ὑμένα λεῖον καὶ διαφανῆ παρακαλύπτειν ἐκ τοῦ μετώπου κατερχόμενον, ὥστε βλέπειν μὴ βλεπόμενον, ὃ τῷ πρώτῳ θεῷ συμβέβηκεν· ὅπου δ' ἂν ἡ θήλεια τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον· ἐν ὑγρῷ γὰρ
C οὐ δυνάμεναι, πόρρω δὲ φοβούμεναι τεκεῖν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον ὥστε τῷ ποταμῷ προσελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δὲ ᾠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν· ἑξήκοντα δὲ τίκτουσι, καὶ

B. 6. κελεύθου καὶ δίκης] Delendum καὶ δίκης. Sententia eſt Euripidis Troad. 888.

B. 8. διαιτωμένῳ] Sic unus P. unde Squirius ſumpſit. Cæteri διαιτωμένου. Mox ὃ τῷ πρώτῳ Mez. Salm. Bentl. Markl. Squir. vulgo ᾧ τῷ πρώτῳ. Porro ἐπίςανται, ſcil. *homines* Mez. Markl.

C. 3. καὶ θαλπούσαι] Diſtinguendum λοχευόμεναι, καὶ θάλπουσαι δὲ τὰ ᾠὰ ξ. κ. ἀ. φ. Paulo ante δυνάμενοι—φοβούμενοι vulgatum erat. Fœmininum reſtituimus cum Mez. Markl.

LXXV. Crocodilus certe cultus ſui probabili cauſa minime deſtituitur; nam fertur exſtitiſſe exemplum dei, ſolus animalium elinguis; nimirum quia voce numen nihil indiget, ſed iter juſtitiæ citra ullum conficiens ſonitum, res humanas juſte temperat. Aiunt huic ſoli in humore verſanti oculos contegi a membrana tenui ac pellucida, quæ a fronte deſcendat: ita ut videns, non videatur ipſe: qua in re principi deo reſpondet. Præterea, quo loco regionis crocodilus fœmina parit, eum conſtat incrementorum Nili fore limitem: cum enim in humido parere non poſſint, et metuant longius ab aqua parere, ita præciſe norunt futuræ eluviei modum, ut fluvio quidem a partu et fovendi gratia accedant, ova tamen ſicca et humoris expertia conſervent: pariunt ſexaginta, totidemque dies excludendo fœtui impendunt, tot-

E μὴ ἔχον ὦτα· τῷ γὰρ ἄρχοντι καὶ κυρίῳ πάντων, οὐδενὸς ἀκούειν προσήκει. Τῷ δὲ τῆς Ἀθηνᾶς, τὸν δράκοντα Φειδίας παρέθηκε, τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ σιωπὴν πρέπουσαν. Ἡ δὲ τοῦ Ποσειδῶνος τρίαινα σύμβολόν ἐστι τῆς τρίτης χώρας, ἣν θάλαττα κατέχει μετὰ τὸν οὐρανὸν καὶ τὸν ἀέρα
F τεταγμένη· διὸ καὶ τὴν Ἀμφιτρίτην καὶ τοὺς Τρίτωνας οὕτως ὠνόμασαν. Οἱ δὲ Πυθαγόρειοι καὶ ἀριθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν προσηγορίαις· τὸ μὲν γὰρ ἰσόπλευρον τρίγωνον ἐκάλουν Ἀθηνᾶν κορυφαγενῆ καὶ τριτογένειαν, ὅτι τρισὶ καθέτοις ἀπὸ τῶν τριῶν γωνιῶν ἀγομέναις διαιρεῖται· τὸ δὲ ἕν, Ἀπόλλωνα, πείθουσα προφάσει καὶ διπλοτάτοις μονάδος. Ἔριν δὲ τὴν δυάδα καὶ τόλμαν. Δίκην δὲ τὴν τριάδα, τοῦ γὰρ ἀδικεῖν καὶ

F. 1. τεταγμένη] Sic E. Venet. Mez. Markl. Vulgo τεταγμένην.
F. 6. πείθουσα προφάσει καὶ διπλοτάτοις μονάδος.] Corrigo πλήθους ἀποφάσει καὶ ἁπλότητι τῆς μονάδος. Ita et Verſionem correxi.

ribus carens; non enim convenit audiri ab eo quenquam, qui omnium ſit rerum dominus atque princeps: et Minervæ ſimulachro draconem Phidias addidit, Veneris Elide teſtudinem; virgines cuſtodia habere opus, nuptis domi manſionem et ſilentium convenire, ſignificans: et Neptuni tridens ſignum eſt tertiæ regionis, quam mare obtinet poſt cœlum et aerem collocata: et a ternione etiam Amphitritæ ac Tritonum ſunt nomina. Pythagorei autem numeros quoque et figuras ornaverunt appellationibus deorum. Nam triangulum æqualium omnium laterum nominaverunt Minervam e vertice natam, et Tritogeneiam, quia tribus perpendiculis eductis e tribus angulis ſuis dividitur: Unitatem Apollinis vocabulo affecerunt, quod nomen multitudinem recuſat, ſimplicitatem profitetur unitatis: eundem binarium Contentionem et Audaciam vocaverunt: ternarium dignati ſunt Juſtitiæ titulo; æqualitas enim in medio poſita eſt eorum

θεῖον νομίζειν καλῶς· ἄξιόν τε μηδὲν ἔμψυχον ἀψύχου
μηδὲ ἀναίσθητον αἰσθανομένου κρεῖττον εἶναι· μηδ' ἂν τὸν
σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταυτὸ
συμφορήσῃ. Οὐκ ἐν χροιαῖς γὰρ, οὐδ' ἐν σχήμασιν,
οὐδ' ἐν λειότησιν ἐγγίνεται τὸ θεῖον, ἀλλὰ ἀτιμοτέραν
ἔχει νεκρῶν μοῖραν ὅσα μὴ μετέσχε μηδὲ μετέχειν τοῦ
ζῆν πέφυκεν. Ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως
ἀρχὴν ἐξ αὑτῆς ἔχουσα, καὶ γνῶσιν οἰκείων καὶ ἀλλο-
τρίων φύσις, ἄλλως τε ἔσπακεν ἀπόῤῥοιαν καὶ μοῖραν ἐκ
τοῦ φρονοῦντος, ὅπως κυβερνᾶται τό, τε σύμπαν καθ'
C Ἡράκλειτον. Ὅθεν οὐ χεῖρον ἐν τούτοις εἰκάζεται τὸ
θεῖον ἢ χαλκείοις καὶ λιθίνοις δημιουργήμασιν, ἃ φθορὰς
μὲν ὁμοίως δέχεται δὲ ἐπιχρώσεις, αἰσθήσεως δὲ πάσης
φύσει καὶ συνέσεως ἐστέρηται. Περὶ μὲν οὖν τῶν τιμωμένων
ζώων ταῦτα δοκιμάζω μάλιστα τῶν λεγομένων.

οη'. Στολαὶ δὲ αἱ μὲν Ἴσιδος, ποικίλαι ταῖς

B. 10. ἄλλως τε ἔσπακεν] Corruptum puto. Xylander legiſſe videtur ὅλως γε: mox idem τοῦτο τὸ σύμπαν.

etiam eſt hoc intelligi, nihil animatum inanimato, nihil ſenſu carens ſentiente præſtantius eſſe; etiam ſi quis univerſum aurum, et ſmaragdum in unum comportaret locum. Non enim in coloribus aut figuris aut lævitatibus ineſt divina natura: quinimo deteriore illud conditione eſt quam res vita exutæ, quod neque vixit unquam, neque vivendi habuit in ſe facultatem. Quæ vero natura vivit, videt, et in ſe principium motus, notitiamque ſibi convenientium et alienorum a ſe continet; omnino particulam aliquam defluentem hauſit ejus providentiæ, qua gubernari hoc Univerſum Heraclitus dixit. Itaque in his rebus nihilo deterius divinæ naturæ concipitur imago, quam in æreis aut lapideis operibus, quæ itidem interitui et mutationi obnoxia, ſenſu interim omni, omnique intellectu privavit natura. Atque hæc ſunt quæ maxime ex iſtis admitto, quæ de animalibus cultu dignatis diſputantur.

LXXVIII. Porro autem

δοξαστὰ καὶ μικτὰ καὶ παντοδαπὰ ταῦτα παραμειψάμενοι τῷ λόγῳ, πρὸς τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν
E καὶ ἄυλον ἐξάλλονται, καὶ θίγοντες ἄλλως τῆς περὶ αὐτὸ καθαρᾶς ἀληθείας, οἷον ἐντελῆ, τέλος ἔχειν φιλοσοφίαν νομίζουσι.

οθʹ. Καὶ τοῦτο ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ' εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος ἄρχει καὶ βασιλεύει τῶν τεθνηκότων, οὐχ ἕτερος ὢν τοῦ καλουμένου παρ' Ἕλλησιν Ἅδου καὶ Πλούτωνος ἀγνοούμενον ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ
F ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν δοκούντων· ὁ δ' ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. Ἀνθρώπων δὲ ψυχαῖς ἐνταῦθα μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνεί-

E. 9. διαταράττει] Sic Xyl. Salmaſ. Bent. Markl. Vulgo διαταράττειν.

ſcilicet homines ratione prætervecti opinabilia iſta, mixta, et omnigena, ad primum illud, ſimplex, et materiæ expers proſiliunt, veramque de eo ſententiam attingentes, perfectum ſe ad finem philoſophiæ perveniſſe exiſtimant.

LXXIX. Id etiam, quod hodie ſacerdotes veluti abominantes et occultantes trepide ſignificant, Oſiridem mortuis imperare, neque a Dite ſeu Plutone alium eſſe, ignoratum quo modo verum ſit, pleroſque turbat, ſuſpicantes in terra et infra terram ſacroſanctum iſtum vere Oſirin habitare, ubi corpora latent eorum qui jam eſſe deſiiſſe putantur. At vero ille ipſe longiſſime a terra abeſt impollutus incontaminatuſque et purus ab omni natura interitum mortemque ſuſtinente. Hominum autem animæ quamdiu hic a corporibus et adfectionibus continentur, nihil habent cum deo conſortii, niſi quatenus philoſophiæ adjumento veluti per ſomnium

ἐρατὸς ἀμαυρῶς θιγεῖν νοήσει διὰ φιλοσοφίας· ὅταν δὲ ἀπολυθεῖσαι μεταστῶσιν εἰς τὸ ἀειδὲς καὶ ἀόρατον καὶ ἀπαθὲς καὶ ἁγνὸν, οὗτος αὐταῖς ἡγεμών ἐστι καὶ βασιλεὺς 383
ὁ θεὸς, ἐξηρτημέναις ὡς ἂν ἀπ' αὐτοῦ καὶ θεωμέναις ἀπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν, μηδὲ ῥητὸν ἀνθρώποις κάλλος· οὗ τὴν Ἶσιν ὁ παλαιὸς ἀποφαίνει λόγος ἐρῶσαν ἀεὶ καὶ διώκουσαν καὶ συνοῦσαν, ἀναπιμπλάναι τὰ ἐνταῦθα πάντων καλῶν καὶ ἀγαθῶν, ὅσα γενέσεως μετέσχηκε. Ταῦτα μὲν οὖν οὕτως ἔχει τὸν μάλιστα θεοῖς πρέποντα λόγον.

π΄. Εἰ δὲ δεῖ καὶ περὶ τῶν θυμιωμένων ἡμέρας ἑκάστης εἰπεῖν, ὥσπερ ὑπεσχόμην, ἐκεῖνο διανοηθείη τις πρότερον, ὡς ἀεὶ μὲν οἱ ἄνδρες ἐν σπουδῇ μεγίστῃ τίθενται τὰ πρὸς ὑγείαν ἐπιτηδεύματα, μάλιστα δὲ B
ταῖς ἱερουργίαις καὶ ταῖς ἁγνείαις καὶ διαίταις οὐχ ἧττόν ἐστι τουτὶ τοῦ ὁσίου τὸ ὑγιεινόν. Οὐ γὰρ ᾤοντο καλῶς ἔχειν

A. 2. ἐξηρτημέναις ὡς ἂν ἀπ' αὐτοῦ] Tranſponendum ὡς ἂν ἀπ' αὐτοῦ ἐξηρτημέναις.
A. 3. μὴ φατὸν, μηδὲ ῥητὸν] Non ſatis fero hoc quidem loco. Forte μὴ φαντὸν, μηδὲ ῥητόν· vel μὴ φατὸν μηδὲ ὁρατόν.
B. 3. ἐστι τουτὶ τοῦ ὁσίου] Legendum ἔστι τοῦ ὁσίου.

intelligentia eum attingunt: at poſtquam ſolutæ migraverunt in purum, et viſui atque perpeſſionibus non obnoxium: ibi tum earum ipſe deus ductor eſt, ab ipſo pendentium, ſpectantiumque abſque ulla ſatietate et deſiderantium ineffabilem hominibus pulchritudinem: cujus amore priſca fabula Iſidem correptam ait, ea perſequenda et potiunda implere res caducas omnibus pulchris atque bonis. Hæc eſt harum rerum explicatio, maxime deorum naturæ conſentanea.

LXXX. Quod ſi eſt, ſicuti in me receperam, aliquid etiam dicendum de iis quæ quotidie adolentur: illud primo cogitandum videtur, viros iſtos ſtudium rerum ad ſanitatem conducentium nunquam non feciſſe maximi: in ſacrificiis autem, caſtimoniis, ac vitæ quotidianæ uſu non minorem pietatis duxiſſe quam ſanitatis rationem. Sentiebant videlicet neque corporibus ne-

οὔτε σώμασιν, οὔτε ψυχαῖς ὑπούλοις καὶ νοσώδεσι θερα-
πεύειν τὸ καθαρὸν καὶ ἀβλαβὲς πάντη καὶ ἀμίαντον.
Ἐπεὶ τοίνυν ὁ ἀὴρ ᾧ πλεῖστα χρώμεθα καὶ σύνεσμεν,
οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει διάθεσιν, καὶ κρᾶσιν, ἀλλὰ
νύκτωρ πυκνοῦται καὶ πιέζει τὸ σῶμα καὶ συνάγει τὴν
ψυχὴν εἰς τὸ δύσθυμον καὶ πεφροντικός, οἷον ἀχλυώδη
γινομένην καὶ βαρεῖαν, ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι
C Ῥητίνην, θεραπεύοντες καὶ καθαίροντες τὸν ἀέρα τῇ
διακρίσει, καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμα-
ρασμένον ἀναῤῥιπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν
καὶ καταπληκτικόν. Αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι
σφόδρα πολλὴν καὶ βαρεῖαν ἀναθυμίασιν ἀπὸ γῆς ἕλ-
κοντα βίᾳ τὸν ἥλιον καὶ καταμιγνύοντα τῷ ἀέρι, τὴν
Σμύρναν ἐπιθυμιῶσι· διαλύει γὰρ ἡ θερμότης καὶ σκίδ-
νησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες·
καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι

C. 6. καταμιγνύοντα] Sic Xyl. Mez. Markl. Squir. Vulgo καταμιγνύοντες.

que animis morbi ſuſpectis aut vitii recte coli eam poſſe naturam, quæ undiquaque pura, impolluta, atque illæſa eſt. Ergo quoniam aer, quo aſſidue utimur, inque eo degimus, non eodem ſemper affectus temperatuſque eſt modo: ſed noctu denſatur, corpus comprimit, animamque compellit ad mœſtitiam quandam et ſollicitudinem, veluti caligine ei quadam et gravedine inducta: ſtatim ut a ſomno ſurrexere, reſinam adolent, reficientes aerem et ſecretione purgantes, ſpiritumque qui concretus cum corpore languorem contraxit reſuſcitantes; habet enim odor reſinæ vehementiam quandam et vim percellendi. Rurſum meridie ſentientes Solem e terra attrahentem vi ſua admodum multum ac gravem vaporem, et aeri admiſcentem, myrrham ſuffiunt; nam calor diſſolvit atque diſſipat turbulentas fæces quæ in aere coeunt. Etenim medici cenſent adverſus peſtem remedio

Λαπάθου, πρὸς δὲ τούτοις, Ἀρκευθίδων ἀμφοῖν, ὧν τὴν μὲν, μείζονα, τὴν δὲ, ἐλάττονα καλοῦσι, καὶ Καρδαμώμου καὶ Καλάμου. Συντίθενται δὲ οὐχ ὅπως ἔτυχεν, ἀλλὰ γραμμάτων ἱερῶν τοῖς μυρεψοῖς, ὅταν ταῦτα μιγνύωσιν, ἀναγινωσκομένων. Τὸν δὲ ἀριθμὸν, εἰ δὲ πάνυ δοκεῖ τετράγωνος ἀπὸ τετραγώνου, καὶ μόνος ἔχων τὸν ἴσον
F ἰσάκις ἀριθμὸν τῷ χωρίῳ τὴν περίμετρον ἴσην ἀγαγέσθαι προσηκόντως, ἐλάχιστα ῥητέον εἰς γε τοῦτο συνεργεῖν ἄλλα πλεῖστα τῶν συλλαμβανομένων, ἀρωματικὰς ἔχοντα δυνάμεις, γλυκὺ πνεῦμα καὶ χρηστὴν μεθίησιν ἀναθυμίασιν, ὑφ' ἧς ὅ, τε ἀὴρ τρεπόμενος καὶ τὸ σῶμα διὰ τῆς πνοῆς κινούμενον λείως καὶ προσηνῶς, ὑπνοῦται καὶ κρᾶσιν ἐπαγωγὸν ἴσχει, καὶ τὰ λυπηρὰ καὶ σύντονα τῶν μεθημερινῶν φροντίδων, ἄνευ μέθης, οἷον ἅμματα χαλᾷ καὶ διαλύει· καὶ τὸ φανταστικὸν καὶ δεκτικὸν ὀνείρων

F. 1. περίμετρον ἴσην ἀγαγέσθαι] Legendum περίμετρον ἴσην, ἀγαπᾶσθαι προσηκόντως—συνεργεῖν ἀλλὰ τὰ πλεῖστα·

F. 6. λείως καὶ προσηνῶς, ὑπνοῦται] Auſus ſum hoc recipere veriſſimum loco mendoſiſſimi vulgati ὡς δεῖ καὶ πρὸς ἡμᾶς ὑπνοῦται. Et primum, ὡς δεῖ eſt Stephani correctio pro lectione vetere δεῖ ὡς quæ eſt in Ald. Baſ. Xyl. E. Ven. Flor. ex qua in promptu eſt colligere verum λείως. Porro προσηνῶς Mez. Bentl. Markl. Pro ὑπνοῦται καὶ κρᾶσιν Mez. etiam corrigit ὑπνοῦ τε κρᾶσιν.

que, (duas enim nominant, majorem ac minorem) cardamomi, et calami. Has autem ſpecies non temere componunt, ſed ſeplaſiariis, dum iſthæc miſcent, ſacræ recitantur litteræ. Ipſe numerus aliquid videtur habere, quod nimirum quadratus eſt a quadrato procreatus, ſolus talium pariter par, et areæ quantitatem cum ambitus numero eandem, proptereaque merito aſſumtus: ſed ad hoc conducunt plurima eorum quæ miſcentur, aromaticis prædita facultatibus. Itaque Kyphi ſuavem emittit utilemque exhalationem, qua aer mutatus ſpiritu ſuo etiam corpus afficit, temperiemque blandam adipiſcitur: et moleſtiam ac vehementiam diurnarum curarum quaſi vincula quædam animi citra ebrietatem relaxat: facultatemque animi imaginatricem et ſomniorum

μορίον ὥσπερ κάτοπτρον ἀπολεαίνει, καὶ ποιεῖ καθαρώτερον, 384
οὐδὲν ἧττον ἢ τὰ κρέματα τῆς λύρας, οἷς ἐχρῶντο πρὸ τῶν ὕπνων οἱ Πυθαγόρειοι, τὸ ἐμπαθὲς καὶ ἄλογον τῆς ψυχῆς ἐξεπᾴδοντες οὕτω καὶ θεραπεύοντες. Τὰ γὰρ ὀσφραντὰ πολλάκις μὲν τὴν αἴσθησιν ἀπολείπουσαν ἀνακαλεῖται, πολλάκις δὲ πάλιν ἀμβλύνει καὶ κατηρεμίζει διαχεομένων ἐν τῷ σώματι τῶν ἀναλωμάτων ὑπὸ λειότητος· ὥσπερ ἔνιοι τῶν ἰατρῶν τὸν ὕπνον ἐγγίνεσθαι λέγουσιν ὅταν ἡ τῆς τροφῆς ἀναθυμίασις οἷον ἕρπουσα λείως περὶ τὰ σπλάγχνα, καὶ ψηλαφῶσα ποιεῖ τινα γαργαλισμόν. Τῷ δὲ Κῦφι χρῶνται καὶ πόματι καὶ B
κράματι· πινόμενον γὰρ δοκεῖ τὰ ἐντὸς καθαίρειν, κοιλίας μαλακτικόν. Ἄνευ δὲ τούτων, Ῥητίνη μέν ἐστιν ἔργον ἡλίου καὶ Σμύρναν πρὸς τὴν σελήνην τῶν φυτῶν ἐκδακρυόντων. Τῶν δὲ τὸ Κῦφι συντιθέντων ἐστὶν ἃ

A. 1. μορίον] Aſſumpſimus ex E. P. Jun.
A. 7. διαχεομένων—λειότητος] Puto hæc tranſponenda poſt ὅταν.
B. 2. κοιλίας μαλακτικόν] Addendum ἦν. Pro κοιλίας habent χρῆ libri A. E. Venet. Ald. Baſ. Xyl. Unde Reiſkius χρῖμα conficit.
B. 4. τὴν σελήνην] Mez. τὸ σέλας. Reiſk. τὴν εἵλην. Tale quid requiritur.

capacem lævigat inſtar ſpeculi, purioremque reddit: non minus id quidem efficaciter, quam lyræ ſtrepitus, quibus ante ſomnum Pythagorei utebantur, brutam motibuſque ſubitis obnoxiam animæ partem ea ratione excantantes atque ſedantes. Odores enim ſæpe ſenſum deficientem revocant, ſæpe etiam contra hebetant ac ſopiunt, diffuſis ob lævitatem per corpus exhalationibus: ſicut medicorum nonnulli ſomnum oboriri aiunt, quando alimenti vapor veluti ſerpens leniter circum inteſtina et ea contrectans titillationem quandam inducit. Kyphi porro Ægyptiis etiam ad bibendum temperatur; potum enim videtur ob vim molliendi ſuam interiora purgare. Præter hæc, reſina Solis eſt opus: et myrrha lachryma eſt ad Lunam a ſtirpibus edita. Eorum porro quæ in Kyphi componuntur, ſunt quæ nocte magis

νυκτὶ χαίρει μᾶλλον, ὥσπερ ὅσα πνεύμασι ψυχροῖς καὶ σκιαῖς καὶ δρόσοις καὶ ὑγρότησι τρέφεσθαι πέφυκεν. Ἐπεὶ τὸ τῆς ἡμέρας φῶς ἓν μέν ἐστι καὶ ἁπλοῦν, καὶ τὸν ἥλιον ὁ Πίνδαρος ὁρᾶσθαι φησὶν ἐρήμης δι᾽ αἰθέρος· ὁ δὲ νυκτερινὸς ἀὴρ κρᾶμα σύμμιγμα πολλῶν γέγονε φώτων καὶ δυνάμεων, οἷον σπερμάτων εἰς ἓν ἀπὸ παντὸς
C ἄστρου καταρρεόντων. Εἰκότως οὖν ἐκεῖνα μὲν, ὡς ἁπλᾶ καὶ ἀφ᾽ ἡλίου τὴν γένεσιν ἔχοντα, δι᾽ ἡμέρας, ταῦτα δὲ ὡς μικτὰ καὶ παντοδαπὰ ταῖς ποιότησιν, ἀρχομένης νυκτὸς ἐπιθυμιῶσιν.

gaudent, ut quæ ſpiritibus frigidis, umbris, rore, et humoribus aluntur. Nam diei lux una eſt et ſimplex: et Solem Pindarus cerni ait per vacuum ætherem. Nocturnus autem aer mixtus temperatuſque eſt e variis luminibus atque facultatibus, quæ veluti ſemen in unum ab omnibus ſtellis confluunt. Ergo non abs re illa ut ſimplicia et a Sole procreata interdiu: hæc ut mixta et omnigenis qualitatibus prædita, ineunte nocte adolent.

[illegible]